Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λῆς τοῦτο Σωσαγαγών φησιν· ἀλλὰ τοῦτο λέγε, ὅτι ὥσπερ τοῦτον Σωσέβη, οὕτω καὶ ἐκεῖνο συμβήσεται). ἐνταῦθα μὲν γὰρ οὐκ ἐβούλοντο ἀ. ἐλθεῖν τοῦτοι ἔμελλον, ἀλλὰ τῶν αὐτῶν ἀπόντες ἀπήλαυσαν πᾶσ' ἐλπίδα καὶ τοῦδε τοῦ τυχεῖν προσδοκίαν. ὥσπερ οὖν τοῦτον πᾶσ' ἐλπίδα καὶ προσδοκίαν ἔξέβη, καὶ τῶν ἔμπροσθεν ἐβούλοντο ἴσοι ἀ. μὴ ταῦτα· οὕτω δὲ τοὐναντίον πλέον συμβήσεται καὶ τοῦδε ἔνδοξότερον, ὃ καὶ ἔμπροσθεν ἠμέλει τῶν προτέρων οὐκ ἐλάττους, καὶ μὴ τούτοις οὐ προτέρους. ὥστε ἕτερον σκῆνος, καὶ ἕτερον ὕδωρ. δοκεῖ δέ μοι ταῦτα λέγειν Ἰουδαίους αἰνιττόμενος, καὶ τῶν πίστιν οὐκ ἔχειν λαμβάνοντας, ὕστερον δὲ ἀμνήσαντας ἀρετῆς καὶ εἰς τὸ πίσω κατενεχθέντας· κἀκείνους πάλιν οὐκ ἀπὸ κακίας αἰνεγκόντας, καὶ πολλοὺς ὑπερακοντίσαντας. ὁρᾶτε γὰρ τὰς τοιαύτας μεταβολὰς καὶ ἐπὶ πίστεως καὶ ἐπὶ βίου γινομένας.

ἀ. ἐγένετο ὁ πρῶτος ἔμπροσθεν

ΗΘΙΚΟΝ

Διὸ παρακαλῶ, πολλοῦ ποιησώμεθα καταδῦναι, καὶ ἐπὶ τῆς πίστεως ἐσάναι τῆς ὀρθῆς, καὶ βίον ἐπιδείκνυσθαι ἄριστον. οὐ γὰρ μὴ ὁ βίον προσθῶμεν τῆς πίστεως ἄξιον, πλὴν ἐφάπλου δώσομεν δίκην. καὶ τοῦτο ἔδειξε μὲν καὶ ὁ ἀπὸ τῶν δένδρων χρόνον ὁ μακάριος Παῦλος, ὅτε ἔλεγε· Οἱ πατέρες δὲ αὐτὸ βρῶμα πνευματικὸν ἔφαγον, καὶ πάντες δὲ αὐτὸ πόμα πνευματικὸν ἔπιον· καὶ προσθείς, ὅτι οὐκ εὐώδησαν. κατεστρώθησαν γὰρ ἐν τῇ ἐρήμῳ. ἔδειξε δὲ καὶ ὅτι τῶν θυσιλείων ὁ Χριστὸς, ὅτε ἐξεπόμπευε δαίμονας ἐκβαλόντας καὶ προφητεύσαντας, καὶ εἰς κόλασιν ἀπαγομένους. καὶ πᾶσαν δὲ αὐτῶν αἱ παραβολαὶ, οἷς ἡ τῶν πρίθινων, ἡ τῆς σαγήνης, ἡ τῶν ἀκάνθων, ἡ τοῦ δένδρου τοῦ μὴ ποιοῦντος καρπὸν, πλὴν ἀπὸ τῶν ἔργων ἀρετὴν ἐπιζητοῦσι. σοὶ μὲν γὰρ δόγμα ὀλιγάκις παραλέγεται (οὐδὲ γὰρ δεῖται πόνου τὸ πρᾶγμα) σοὶ δὲ βίου πολλάκις, μᾶλλον δὲ πανταχοῦ. διωκεῖς γὰρ ὁ παρὼν πόλεμος, διὰ δὲ ὁ πόνος. καὶ τί λέγω πολιτείαν ὁλόκληρον; καὶ γὰρ μέρος αὐτῆς προφθὰν μεγάλα ἐπάγει κακὰ· οἷς ἐλεημοσύνη προφθάσασα εἰς γέενναν ἐμβάλλει τὸν ὑστερήσαντα, καίτοι οὐχ ὁλόκληρος οὖσα ἀρετή, ἀλλὰ μέρος αὐτῆς. ἀλλ' ὅμως καὶ αἱ παρθένοι ἔξω τοῦ μὴ ἔχειν ταύτην ἐκολάσθησαν· καὶ ὁ πλούσιος δὲ ἔξω τούτου ἀπετηγανίζετο· καὶ ὁ πεινάσας μὴ θρέψαντες, ἐντεῦθεν μὴ τοῦ διαβόλου καταδικάζονται. πάλιν τὸ μὴ λοιδορεῖν, μέρος αὐτῆς ἐστιν ἐλάχιστον. ἀλλ' ὅμως καὶ τοῦτο ἐκβάλλει τὸν μὴ κατορθοῦντα. Ὁ γὰρ εἰπὼν τῷ ἀδελφῷ αὐτοῦ, φησι, μωρε, ἔνοχος ἔσται εἰς τὴν γέενναν τοῦ πυρός. πάλιν ἡ σωφροσύνη καὶ αὐτὴ μέρος ἐστίν. ἀλλ' ὅμως χωρὶς ταύτης οὐδεὶς ὄψεται Κύριον. Εἰρωνίαν γάρ, φησι, διώκετε καὶ ἁγιασμόν, ὃ χωρὶς οὐδεὶς ὄψεται Κύριον. καὶ ἡ παρθενοφροσύνη ὁμοίως μέρος ἐστὶν ἀρετῆς. ἀλλ' ὅμως κἂν ἑτέραν τις ἐπιτελέσῃ καλὴν, ταύτην μὴ κατορθώσῃ, ἀκάθαρτος ἐστι τῷ Θεῷ. καὶ ἄλλον ἂν εἴποι τις Φαρισαῖον, ὃς μείζοις κομῶν ἀγαθοῖς, ἐντεῦθεν πάντα ἀπώλεσεν. ἐγὼ δέ τι καὶ τούτων πλέον εἰπεῖν ἔχω πάλιν. οὐ γὰρ δὴ μέγιον ἓν τι αὐτῶν προφθὰν ἀποκλείει θύραν οὐρανοῦ· ἀλλὰ κἂν ἥμπαν μὴ, μὴ μετὰ τῆς προσηκούσης ἀκριβείας καὶ ἐπιμελείας, οὐδὲν ὄφελος πάλιν ποιεῖ. Ἐὰν γὰρ μὴ περισσεύσῃ, φησὶν, ἡ δικαιοσύνη ὑμῶν πλέον τῶν γραμματέων καὶ Φαρισαίων, οὐκ εἰσελεύσεσθε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. ὥστε κἂν ἐλεημοσύνῃ δῷς, μὴ πλείονα ἢ ἐκείνων, οὐκ εἰσελεύσῃ. καὶ πόσοι σκῆνοι πρόσεχον ἐλεημοσύνῃ, φησί; τοῦτο γὰρ αὐτὸς εἰπεῖν βούλομαι νῦν, ἵνα μὴ μὴ διδόντες, παραιτῶσι πρὸς τὸ δοῦναι· μὴ δὲ διδόντες, μὴ μέγα φρονῶσιν, ἀλλὰ καὶ προσθήκην ἐργάζωνται. τί οὖν ἐδίδοσαν σκῆνοι; τῶν ὄντων ἁπάντων δεκάτην, καὶ πάλιν ἑτέραν δεκάτην, καὶ μετὰ ταύτην, τρίτην. ὥστε γὰρ ἐλάττον τὸ τρίτον τῆς οὐσίας πρόσεχον. τρεῖς γὰρ δεκάται Σωτηρίαν ἦν τοῦτο ποιοῦσι. καὶ μετὰ τούτων καὶ ἀπαρχὰς, καὶ προσφόρια, καὶ ἕτερα πλείονα· οἷς, τὰ ὑπὲρ ἀμαρτημάτων, τὰ ὑπὲρ καθαρισμῶν, τὰ ἐν ταῖς ἑορταῖς, τὰ ἐν τῷ ἰωβηλαίῳ, τὰ ἐν ταῖς τῶν χρεῶν ἀποκοπαῖς, καὶ ταῖς τῶν οἰκετῶν ἀφαιρέσεσι, καὶ τοῖς δανείσμασι τοῖς ἐκ τῶν ἀπηλλαγμένων. εἰ γὰρ ὁ δεύτερον δοὺς τῶν ὄντων, μᾶλλον δὲ ὁ ἥμισυ (μετὰ γὰρ τούτων σκῆνα Σωτηρίαν ὁ ἥμισύ ἐστιν) εἰς τοσοῦτον ὁ ὁ ἥμισυ διδοὺς, οὐδὲν μέγα

ἀ. πλεῖον

ἀ. παραβαρβαρῶν

Ρεπ. Κορ. ι. γ, δ. Ματθ. ζ. κβ. Ματθ. κε. Ματθ. ιγ. Μαρ. δ.

Ματθ. ε. κβ.

Ες. ιβ. ιδ.

Ματθ. ε. κ.

ἐργάζεται· ὁ μηδὲ τὸ δέκατον τοῦ ἔχων, ἵνος ἄξιος ἔσται; Εἰκότως οὖν ἔλεγον, ὀλίγοι ⓐ σῳζόμενοι. μὴ δὴ [οὖν] καταφρονῶμεν τῆς ⓦ βίου ἐπιμελείας. Εἰ γὰρ μέρος αὐτῆς καταφρονούμενον ἐν τοσαύτῃ φέρει τὴν ἀπώλειαν, ὅταν πρωταχόθεν ὦμεν ὑπεύθυνοι τῇ καταδικαζούσῃ ψήφῳ, πῶς ἀφυβρίζομεν τὴν κόλασιν; ποίαν οὖ δίκαιον; καὶ ποία ἡμῖν σωτηρίας ἐλπίς, φησίν, Εἰ τῶν ἀπειθημυρίων ἕκαστον τὴν γέενναν ἡμῖν ἀπειλῇ; κἀγὼ τοῦτο λέγω· πλὴν ἐὰν προσέχωμεν, δυνατὸν σωθῆναι τὸ τῆς ἐλεημοσύνης κατασκευάζοντας φάρμακον, καὶ τὰ πάθη θεραπεύοντας. οὐ γὰρ οὕτω σῶμα ῥώννυσιν ἔλαιον, ὡς φιλόθεος ψυχὴν καὶ ῥώννυσι, καὶ ἀχείρωτον παῖσιν ἐργάζεται, ⓒ δυάλωτον τοῖς ἀφροδόλῳ ποιεῖ. ὅπου γὰρ αὐ κατάκηται, διολισθαίνει λοιπόν, οὐκ ἐάντος τοῦ ἐλαίου τούτου τοῖς νώτοις τοῖς ἡμετέροις ἐνιζάνειν τὰ ἐκείνου λάβας. τούτῳ τοίνυν ἀλείφωμεν ἑαυτοὺς τὸν ἔλαιον ἀνεχῶς. καὶ γὰρ ὑγιείας ἐστὶν ἀπόδοσις, ⓒ φωτὸς χορηγία, καὶ φαιδρότητος ἀφορμή. ἀλλ' ὁ δῆνα, φησι, τόσα καὶ τόσα ἔχει τὰ λαπτὰ χρυσίου, καὶ ὑδὲν πρεσίεται. καὶ τί τοῦτο πρὸς σέ; ὕτω γὰρ θαυμαστότερος σὺ φανήσῃ, ὅταν ἀπὸ πενίας φιλοπιμότερος

C.Kορ.θ.C. ἐκείνου ᾖς. ὅπου καὶ Μακεδόνας ὁ Παῦλος ἐθαύμασεν, οὐχ ὅτι πλέον, ἀλλ' ὅτι καὶ ἐν πλοχείᾳ ὄντες πλέον. μὴ δὴ οὖν πρὸς τούτους ἴδοις, ἀλλὰ πρὸς ⓦ κοινὸν ἁπάντων " κύριον καὶ διδάσκαλον, ὃς οὐκ εἶχε ποῦ τὴν κεφαλὴν κλίνῃ. καὶ Ζαχαῖε, φησίν, ὁ δεῖνα καὶ ὁ δεῖνα τίνα ποιεῖ; μὴ κρίνε ἕτερον, ἀλλὰ σαυτὸν ἀπάλλαξον τῆς κατηγορίας. ἐπεὶ μείζων ἡ κόλασις, ὅταν καὶ ἑτέροις ἐγκαλῇς, καὶ αὐτὸς μὴ ποιῇς· ὅταν ἄλλοις κρίνῳς, τῷ αὐτῷ κρίματι πάλιν ὑπεύθυνος ᾖς καὶ αὐτός. εἰ γὰρ σὺ δὲ κατορθοῦσθαι κρίνειν ἀφίεις ἕτερος, πολλῷ μᾶλλον πάσχουσι. μὴ τοίνυν κρίνωμεν ἕτερος, μηδὲ πρὸς ἕτερος ῥᾳθυμῶμεν βλέποντες· ἀλλὰ πρὸς τὸν Κύριον Ἰησοῦν Χριστόν, καὶ ἐκεῖθεν τὰ ὑποδείγματα φέρωμεν. μὴ γὰρ ἐγώ σε ὑπηρέτησα; μὴ γὰρ ἐγώ σε ἐλυτρωσάμην, ἵνα πρὸς ἐμὲ βλέπῃς; ἄλλος ἐστὶν ὁ ταῦτα πάντα ζῳ παρασχών. τί τὸν δεσπότην ἀφεὶς, πρὸς τὸν ζωόλλυον ὁρᾷς; οὐκ ἤκουσας αὐτοῦ λέγοντος· Μάθετε

Ματθ.ια.κϑ. ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ; καὶ πάλιν, Ὁ θέλων ἐν ὑμῖν εἶναι πρῶτος, ἔστω

Ματθ.κ.κϛ. κϛ. κϐ. σαυτῶν διάκονος; καὶ πάλιν, Καθὼς ὁ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἦλθε διακονηθῆναι, ἀλλὰ διακονῆσαι; καὶ μετὰ ταῦτα πάλιν, ἵνα μὴ πρόσκομμα τοῖς ῥᾳθύμοις τῶν ζωοὐλλων μείνῃς ἐν ὀ-

Ιωαν.ιγ.ιε. λιγωρίᾳ, ἀφέλκων σε τούτων, φησίν· Ὑπόδειγμα δέδωκα ὑμῖν ἐμαυτὸν, ἵνα καθὼς ἐποίησα, καὶ ὑμεῖς ποιῆτε. ἀλλ' οὐκ ἔστι σοι διδάσκαλος ἀρετῆς τῶν ζώντων ἀνθρώπων οὐδείς, οὐδὲ οἷος ἐκεῖνος; οὐκοῦν πλείων ὁ ἔπαινος, μεῖζον τὸ ἐγκώμιον, ὅτι μηδὲ διδασκάλων δύπορῶν γέγονας σὺ θαυμαστός. καὶ γὰρ δυνατὸν τοῦτο καὶ σφόδρα ῥᾴδιον, ἐὰν θέλωμεν. καὶ δηλοῦσιν ⓐ πρῶτοι ταῦτα κατορθώκοτες· οἷ, ὁ Νῶε, ὁ Ἀβραάμ, ὁ Μελχισεδέκ, ὁ Ἰὼβ, καὶ ⓐ κατ' ἐκείνους αἱ θεσπέσιοι πάντες, πρὸς οὓς δυάλυτον καθ' ἑκάστην ἡμέραν ὁρᾶν, ἀλλὰ μὴ πρὸς τούτους, οὓς οὐδέποτε παύεσθε ζηλοιῶντες καὶ ἐν τοῖς συλλόγοις τοῖς ἡμετέροις πρεσφέροντες. καὶ γὰρ οὐδὲν ἄλλο πρωταχοῦ λεγόντων ἀκούω, ἀλλ' ἢ ταῦτα τὰ ῥήματα· ὁ δῆνα ἔκτισατο πλέθρα γῆς τόσα καὶ τόσα· ὁ δῆνα πλουτεῖ· ὁ δῆνα οἰκοδομεῖ. τί κέχηνας ἔξω, δαιμόνιε θεσπέ; τί πρὸς ἑτέρους βλέπεις; εἰ βούλει πρὸς ἑτέρους ἰδεῖν, τοῦτον κατορθοῦσθαι βλέπε, τοῦτον βδδοκιμοῦσθαι, τοῦτον τὸν νόμον μετὰ ἀκριβείας ἅπαντα πληροῦσθαι, μὴ τοῦτον πρὸς κερδαλέαν καὶ ἠπιωμένους. αἰ γὰρ πρὸς τούτους βλέπῃς, πολλὰ ἔνθεν συλλέξεις κακὰ, εἰς ῥᾳθυμίδα ἐμπίπτων, εἰς ἀπόνοιαν, εἰς τὸ καταδικάζειν ἑτέρους. αἰ δὲ τοῦτον κατορθοῦσθαι θριθμῇς, εἰς ταπεινοφροσύνην, εἰς κατάνυξιν, εἰς τὰ μέλεια σαυτὸν " λέ- 40 γε. ἐξαίρεις γε ἀγαθά. ἄκουσον τί ἔπαθεν ὁ Φαρισαῖος, ὅτι τοῦτον κατορθοῦσθαι ἀφεὶς, τὰ πλημμέλεια εἶδεν· ἄκουσον, καὶ φοβήθητι. βλέπε πῶς θαυμαστὸς ἐγένετο ὁ Δαβὶδ, ὅτι πρὸς τοῦτον πρὸς-

Ψαλμ.λϑ.ιϛ. Εϐ.ια.ιγ. νους αὐτοῦ τοῦτον κατ' ἀρετὴν ἔβλεπε. Παροικὸς γάρ, φησιν, ἐγώ εἰμι καὶ πάροικος, καθὼς πάντες ⓐ πατέρες μου. καὶ γὰρ τοῦτο, καὶ πάντες ⓐ κατ' αὐτὸν, τοῦτον ἡμαρτηκότας ἀφέντες,

ἀφέντες, τὸν δοκιμηκότα ἐνενόουν. Τοῦτο γὰρ σὺ ποιεῖς. οὐδὲ γὰρ δικαστὴς αὐτὸς κάθησαι τῶν ἑτέροις πεπλημμεληκότων, οὐδὲ ἐξεταστὴς τῶν ἄλλοις ἁμαρτηκόσιν· σεαυτῷ κρίνειν, ἀλλ' οὐκ ἑτέροις" τοῦτο ἐστὶ παίγνιον. εἰ γὰρ ἑαυτοὺς ἐκείνομεν, φησὶν, οὐκ ἂν ἐκεινόμεθα· κριθῶμεν δὲ ὑπὸ Κυρίου, παιδευόμεθα. σὺ δὲ τὴν ἔξιν" ἀνέστρεψας, σαυτὸν μὲν ἐν μεγάλοις, τὰ δὲ μικρὰ τῶν πταισμάτων ἀπαιτῶν ἀθῳώσας, τὰ δὲ ἑτέρων μετ' ἀκριβείας ἐξεργαζόμενος. ἀλλὰ μηκέτι τοῦτο ποιῶμεν· ἀλλὰ τῶν τοιούτων ἀφέντες τὴν ἀταξίαν, δικαστήριον [ἐν] ἡμῖν αὐτοῖς καθίσωμεν τῶν [ἐν] ἡμῖν αὐτοῖς ἁμαρτημάτων, αὐτοὶ καὶ κατηγόροι καὶ δικασταὶ καὶ δήμιοι τῶν πλημμελημάτων γινόμενοι. Εἰ δὲ βούλει καὶ τὰ ἑτέρων πολυπραγμόνει, τὰ κατορθώματα μὴ τὰ ἁμαρτήματα ἐξεργάζου· ἵνα καὶ ἐκ τῆς μνήμης τῶν οἰκείων πλημμελημάτων, καὶ ἐκ τοῦ ζήλου τῶν ἑτέρων κατορθουμένων, καὶ ἐκ τῆς τοῦ ἀνθρωπίνου δικαστηρίου καταδίκης, καθ' ἑκάστην, ὥσπερ πλήκτρῳ τινὶ τῇ συνειδήσει νυττόμενοι, εἰς ταπεινοφροσύνην καὶ μείζονα σπουδὴν ἑαυτοὺς" ἀνάγοντες, τῶν μελλόντων ἐπιτυγχάνωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ομιλ. ξε. 17 ΚΑΙ ΑΝΑΒΑΙΝΩΝ Ο ΙΗΣΟΥΣ ΕΙΣ ΙΕΡΟΣΟΛΥΜΑ, παρέλαβε τοὺς δώδεκα μαθητὰς κατ' ἰδίαν ἐν τῇ ὁδῷ, καὶ εἶπεν αὐτοῖς· 18 Ἰδοὺ ἀναβαίνομεν εἰς Ἱερουσόλυμα, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδοθήσεται τοῖς ἀρχιερεῦσι καὶ γραμματεῦσι, καὶ κατακρινοῦσιν αὐτὸν θανάτῳ· 19 καὶ παραδώσουσιν αὐτὸν τοῖς ἔθνεσιν εἰς τὸ ἐμπαῖξαι καὶ μαστιγῶσαι καὶ σταυρῶσαι, καὶ τῇ τρίτῃ ἡμέρᾳ" ἀναστήσεται.

ΕΙς Ἱεροσόλυμα οὐκ ἀθρόον ἀναβαίνει ἐκ τῆς Γαλιλαίας ἐλθών, ἀλλὰ πρότερον πολλὰ μαθητεύσας καὶ ὑποσημήνας φαρισαίους, καὶ σβέσας ἐξεταστὰς τοὺς μαθητὰς πρὸ ἀκριβεστέρας (εἰ γὰρ θέλεις τέλος ἴδῃ), φησὶ, πώλησόν σου τὰ ὑπάρχοντα) καὶ πρὸ πτωχείας (ὁ δυνάμενος χωρῆσαι, χωρείτω) καὶ πρὸ ταπεινοφροσύνης (ἐὰν μὴ στραφῆτε καὶ γένησθε ὡς τὰ παιδία, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν) καὶ πρὸ ἀνταποδόσεως τῶν ἐνταῦθα (ὅστις γὰρ ἀφῆκεν οἰκίας, ἢ ἀδελφοὺς, ἢ ἀδελφὰς, ἑκατονταπλασίονα λήψεται ἐν τῷ αἰῶνι τούτῳ) καὶ πρὸ ἀμοιβῆς τῆς ἐκεῖ (καὶ ζωὴν γὰρ αἰώνιον κληρονομήσει) τότε προσβάλλει τῇ πόλει λοιπὸν, καὶ μέλλων ἀνιέναι πρὸς τὸ πάθος πάλιν ἀθροίζεται. ὅπου γὰρ εἰκὸς ἦν αὐτὸν ἀθροίζεσθαι τὸ μὴ βουλεσθαι τοῦτο συμβῆναι, ὅπου λανθάνεσθαι, συνεχῶς αὐτὸν ἀναμιμνήσκει, ἐγυμνάζων αὐτὸν τὴν ἀθρόαν τῇ πυκνότητι τῆς ἀναμνήσεως καὶ τῷ λύπῃ ὑποτεμνόμενος. κατ' ἰδίαν δὲ αὐτοῖς ἀθροίζεται ἀναγκαίως. οὐ γὰρ ἔδει εἰς πολλοὺς ἐξενεχθῆναι Ⓦ πρὸς τούτων λόγον, οὐδὲ σαφῶς λεχθῆναι. οὐδὲν γὰρ ἂν τούτου πλέον ἐγένετο. Εἰ γὰρ Ⓤ μαθηταὶ ἐθορυβοῦντο ταῦτα ἀκούοντες, πολλῷ μᾶλλον ὁ τῶν πολλῶν δῆμος. Τί οὖν; οὐκ ἐλέχθη τοῖς πολλοῖς, φησὶν; ἐλέχθη μὲν καὶ πρὸς τοὺς πολλοὺς· οὐχ οὕτω δὲ σαφῶς. Λύσατε γάρ, φησὶ, Ⓦ ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν. καὶ, Σημεῖον ἐπιζητεῖ ἡ γενεὰ αὕτη, καὶ σημεῖον οὐ δοθήσεται αὐτῇ, εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ τοῦ προφήτου· καὶ πάλιν, ἔτι μικρὸν χρόνον μεθ' ὑμῶν εἰμι, καὶ ζητήσετέ με, καὶ οὐχ εὑρήσετε. τοῖς δὲ μαθηταῖς οὐχ οὕτως· ἀλλ' ὥσπερ τὰ ἄλλα σαφέστερον ἐλεγεν, οὕτω καὶ τοῦτο εἶπε. Τίνος ἕνεκεν, εἰ μὴ ζωσθέσαν Ⓤ πολλοὶ [τὴν δύναμιν] τῶν λεχθέντων, καὶ ἐλέγετο; ἵνα μάθωσι μετὰ ταῦτα, ὅτι προειδὼς ὅτι τὸ πάθος ἥξει καὶ ἐκὼν, * οὐκ ἀγνοῶν οὐδὲ ἀναγκαζόμενος.

Ioan. c. 18. καὶ Matth. 26. λθ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λόγος. Τοῖς μαθηταῖς ὁ ὐκ ἀλλὰ τοῦτο μόνον προσέλεγε, ἀλλ' ὅπερ ἔφην, ἵνα ἐγυμνασθέντες τῇ προσδοκίᾳ, ῥᾴδιον ἐνέγκωσι τὸ πάθος, καὶ μὴ ἀμηχάνητον ἐπελθὸν ταράξῃ σφόδρα αὐτούς. διὰ τί οὖν οὐδὲ ἀρχὴν μὴ τὸ θάνατον ἔλεγε μόνον· ὅτε γὰρ ἐμνημόνευσαν, καὶ τἆλλα πάντα προσέθηκαν· οἷον, ὅτι παραδώσουσι τοῖς ἔθνεσιν· ὅτι ἐμπαίξουσι καὶ μαστιγώσουσι τοῦτό τε ἔνεκεν, καὶ ἵν' ὅταν τὰ σκυθρωπὰ ἴδωσιν ἐπελθόντα, καὶ τὴν ἀνάστασιν ἀντεῖδον προσδοκήσωσιν· ὁ γὰρ τὰ λυποῦντα οὐκ ἀποκρυφάμενος καὶ τὰ δικαιοῦντα εἰκότως ἐποιήσατο, εἰκότως ἦλθε καὶ τὸν χρηστὸν πιστεύεται. σκόπει δέ μοι πῶς καὶ ἀπὸ τοῦ χαμηλοῦ σοφὸς ὁ προοίμιον οἰκονομεῖ. ὅτε γὰρ ἤρξατο αὐτοῖς εἰπεῖν, ἵνα μὴ ἀθρόα ταράξῃ· ὅτε πρὸς αὐτὴν τὴν χαμηλήν, ἵνα μὴ καὶ τοῦθεν θορυβήσῃ· ἀλλ' ὅτε πεῖραν αὐτοῦ τὴν δυνάμεως ἔλαβον ἀρκούσης, ὅτε μεγάλας ἔδωκε καὶ ἐπαγγελίας περὶ τῆς ζωῆς τῆς αἰωνίου, τότε καὶ τὸν περὶ τούτων ἐρίβαλλει λόγον καὶ ἅπαξ καὶ δὶς καὶ πολλάκις, ἀνυφαίνων αὐτὸν τοῖς θαύμασι καὶ ταῖς διδασκαλίαις. ἕτερος ὁ βαπτιστής φησιν, ὅτι καὶ τοὺς προφήτας πρὸ ἐμοῦ ἐμαρτύρατο· ἄλλος δὲ φησιν, ὅτι καὶ αὐτὸς ὁ Χριστὸς ἔλεγε τὸ ῥῆμα ἀπ' αὐτοῦ, καὶ ὅτι ἐθαμβοῦντο ἀκολουθοῦντες αὐτῷ. ὀκνοῦσι μὴ ὑπήρχετο, φησί, τῆς προρρήσεως ὁ κέρδος. εἰ γὰρ μὴ ἦδεσαν ἅπερ ἤκουον, οὐδὲ προσδοκᾶν εἶχον· μὴ προσδοκῶντες δέ, οὐδὲ γυμνάζεσθαι ταῖς ἐλπίσιν. ἐγὼ δὲ καὶ ἕτερον τοῦτο ἀπορώτερον φημί, ὅτι εἰ μὴ ἦδεσαν, πῶς ἐλυποῦντο; καὶ γὰρ ἕτερός φησιν, ὅτι ἐλυποῦντο. εἰ τοίνυν μὴ ἦδεσαν, πῶς ἐλυποῦντο; πῶς Πέτρος ἔλεγε· Ἱλεώς σοι, κύριε· οὐ μὴ ἔσται σοι τοῦτο; τί οὖν ἐστιν εἰπεῖν; ὅτι μὲν ἀποθανεῖται, ἦδεσαν. εἰ δὲ μὴ σαφῶς τῆς οἰκονομίας ἥπτοντο τὸ μυστήριον· ὅτε δὲ τὸν ἀνάστασιν σαφῶς ἥπτοντο, ὅτε οὐκέτι ἦλθε κατορθοῦν. καὶ τοῦτο καὶ αὐτὸς ἐθαμβοῦντο ἀκολουθοῦντες αὐτῷ· διὰ τοῦτο δὲ καὶ ἤλγουν. ἑτέρως μὲν γὰρ ὑφ' ἑτέρων ἀνασπάντας εἶδον· αὐτὸν δὲ μόνον ἀναστήσαντα ἑαυτόν, καὶ ὅτως ἀναστήσαντα ὡς μηκέτι λοιπὸν ἀποθανεῖν, οὐδέποτε εἶδον. τοῦτο οὖν οὐ μισεῖ πολλάκις λεγόμενον. ἀλλ' οὐδὲ αὐτὸς οἶδε ὁ θάνατος τί ποτέ ἐστι, καὶ πῶς ἐπελεύσεται, σαφῶς ἥπτοντο. διὸ καὶ ἐθαμβοῦντο ἀκολουθοῦντες αὐτῷ. οὐ διὰ τοῦτο μόνον, ἀλλ' ἐμοιγε δοκεῖ, καὶ "σκληρὸν ἐφαίνετο αὐτοῖς τὸ πάθος διαλεγόμενος. ἀλλ' ὅμως οὐδὲν τούτων ἐποίει θαρρεῖν αὐτούς, καὶ ταῦτα συνεχῶς περὶ τῆς ἀναστάσεως ἀκούοντας. καὶ γὰρ μᾶλλον τοῦ θανάτου καὶ τοῦτο μάλιστα αὐτοὺς ἐθορύβει, τὸ ἀκούειν ὅτι ἐμπαίξουσι καὶ μαστιγώσουσι, καὶ ὅσα τοιαῦτα. ὅτε γὰρ ἐνενόησε τὰ θαύματα, τοὺς δαιμονῶντας οὓς ἀπέθηρωσεν, τοὺς νεκροὺς οὓς ἤγειρε, τὰ ἄλλα πάντα ἅπερ ἔθαυμαστούργει, εἶτα ἤκουσαν ταῦτα, ἐξεπλήττοντο, εἰ ὁ ταῦτα ποιῶν ταῦτα πείσεται. διὰ τοῦτο καὶ εἰς ἀποστόλων ἐνέπιπτον· καὶ νεκρὸν μὲν ἐβάπτισεν, νεκρὸν δὲ ἤπτισεν, καὶ νοσοῦσαν οὐκ εἶχον τὰ λεγόμενα. οὕτω γοῦν οὐ ζωὴν ἁπλῶς ἐφοβοῦντο λεγόμενον, ὡς τοὺς υἱοὺς Ζεβεδαίου πρὸ αὐτῶν προσελθεῖν, καὶ περὶ προεδρίας αὐτῷ διαλεχθῆναι.

21 Θέλω γάρ, φησίν, ἵνα εἷς ἐκ δεξιῶν σου καθίσῃ, καὶ εἷς ἐξ εὐωνύμων.

Πῶς οὖν οὗτος ὁ βαπτιστής φησιν, ὅτι ἡ μήτηρ προσῆλθεν; ἀμφότερα γνώσθαι εἰκός. τὸν γὰρ μητέρα προσέλαβον, ὡς μείζονα τὸν ἱκετηρίαν ἐργασόμενοι, καὶ αὐτὴν Χριστὸν δυσωπήσοντες. ὅτι γὰρ τοῦτο ἀληθὲς ὅπερ ἔφην, καὶ αὐτὸς μᾶλλον ἡ αἴτησις δείκνυσιν, καὶ αἰσχυνόμενοι προσβάλλονται τὸν τεκοῦσαν, σκόπει πῶς πρὸς αὐτοὺς ἀποστρέφει Χριστὸς λόγον ὁ Χριστός· μᾶλλον δὲ προτέρων μάθωμεν τὴν αἰτοῦσι, καὶ ἀπὸ ποίας γνώμης, καὶ πόθεν ὁρμηθεῖσα ἦλθον. πόθεν οὖν ὁρμηθεῖσα ἦλθεν; ἑαυτῶν ἑαυτοὺς τιμωμένους προσδοκήσασα, καὶ προσεδόκησε σκιτοῦθεν ὁρμηθῆναι καὶ τῆς αἰτήσεως ταύτης. ἀλλὰ τί ποτέ ἐστιν ὁ αἰτοῦσιν; ἀνεκάσει ἑτέρου βαπτιστοῦ τοῦτο σαφῶς σκανδαλύσοντος διὰ γὰρ τοῦ εἰπεῖν, φησί, τῆς Ἱερουσαλήμ, καὶ δόξαν ὅτι ἡ βασιλεία τοῦ Θεοῦ ἤδη ἀναφανήσεται, ταῦτα ἤτουν. σκόπει γὰρ ὅτι ὁρμὴ φύσεως αὐτή, καὶ αἰσθητή· καὶ ἀπολαύσαντες ὧν ἤτουν, οὐδὲν ὑποστήσονται τοῦ λυπηρῶν. οὐδὲ γὰρ διὰ τοῦτο μόνον αὐτὸ ἐζήτουν, ἀλλ' ὡς καὶ διὰ φθονούμενοι τὰ δυσχερῆ. διὸ καὶ ὁ Χριστὸς πυνθάνων

χ. ἐξεπλήττοντο

χ. διὰ τοῦτο αὐτὸ μόνον

των προῶτον αὐτὸν ἀπάγει τῶν λογισμῶν, κελεύων σφαγὰς καὶ κινδύνους καὶ ἁγματα ἀναμένειν δεινά. δύναισθε γάρ, φησι, πίειν τὸ ποτήριον ὃ ἐγὼ πίνω; ἀλλὰ μηδεὶς θορυβείσθω, τῶν ἀποστόλων οὕτως ἀτελῶς διακειμένων. οὔπω γὰρ ὁ σταυρὸς ἦν τελεσθείς· οὔπω πνεύματος χάρις δεδομένη. Εἰ δὲ βούλει μαθεῖν αὐτῶν τὴν ἀρετήν, μὴ τὰ τότε αὐτοὺς κατάμαθε, καὶ ὄψει πολλοῦ πάθους ἀνώτερους. Διὰ γὰρ τοῦτο καὶ ἐκκαλύπτει αὐτῶν τὰ ἐλαττώματα, ἵνα μετὰ τὰ τότε γνῶς ἵνες ἀπὸ τῆς χάριτος ἐλάμποντο. ὅτι μὲν οὖν οὐδὲν πνευματικὸν ἦτοιμ, οὐδὲ ἔννοιαν τῆς ἄνω βασιλείας εἶχον, δῆλον ἐντεῦθεν. πάλιν ἰδωμεν καὶ πῶς προσέρχονται, καὶ τί λέγουσι. Θέλομέν, φησιν, ἵν', ὃ ἐὰν αἰτήσωμέν σε, ποιήσῃς ἡμῖν. καὶ πρὸς αὐτοὺς ὁ Χριστός· τί θέλετε; οὐκ ἀγνοῶν, ἀλλ' ἵνα ἀναγκάσῃ αὐτοὺς ἀποκρίνασθαι, καὶ ἀνακαλύψῃ τὸ ἕλκος, καὶ ὅπως ἐπιθῇ τὸ φάρμακον. Ⓐ οἱ ἐρυθριῶντες καὶ αἰσχυνόμενοι, ὅπερ [ἰσ. ἤεσαν,] καὶ μετὰ πάθους ἀνθρωπίνου πρὸς τοῦτο ἦσαν, κατ' ἰδίαν ἐκ τῶν μαθητῶν [τῶν ἄλλων] λαβόντες αὐτὸν ἠρώτησαν. προσεπορεύθησαν γάρ, φησιν, ὥστε μὴ ψεύσασθαι αὐτοῖς καταδηλοι, καὶ ὅτως εἶπον ἅπερ ἐβούλοντο. ἐβούλοντο δέ, ὡς ἔγωγε οἶμαι, ὅπερ ἦκουον, ὅτι ὅτι δώδεκα θρόνοις καθεδοῦσθε, τὴν προεδρίαν τῆς καθέδρας ταύτης λαβεῖν. καὶ ὅτι μὲν τῶν ἄλλων πλέον εἶχον, ἤδεσαν· ἐδεδοίκεσαν δὲ Πέτρον, καὶ λέγουσιν· Εἰπέ, ἵνα εἷς ἐκ δεξιῶν σου καθίσῃ, καὶ εἷς ἐξ εὐωνύμων. καὶ κατεπείγουσι λέγοντες, Εἰπέ. Τί οὖν αὐτὸς; δηλῶν ὅτι οὐδὲν πνευματικὸν ἦτοιμ, ὅτε εἰ ἤδεσαν πάλιν ὅπερ ἦτοιμ, ἐτόλμησαν δι' τοσοῦτον αἰτῆσαι, φησίν· 22 Οὐκ οἴδατε τί αἰτεῖσθε· Πῶς μέγα, πῶς θαυμαστόν, πῶς ὑπερβάλλον καὶ τὰς ἄνω δυνάμεις· Εἶτα ἐπάγει·

Δύνασθε πιεῖν τὸ ποτήριον, ὃ ἐγὼ μέλλω πίνειν, καὶ τὸ βάπτισμα, ὃ ἐγὼ βαπτίζομαι, βαπτισθῆναι; Εἶδες πῶς βύθιος ἀπήγαγε τῆς ὑπονοίας, ἀπὸ τῶν ἐναντίων αὐτοῖς διελεγχθείς; ὑμεῖς μὲν γὰρ περὶ ὑμῶν καὶ στεφάνων μοι διελέγεσθε, φησιν· ἐγὼ δὲ περὶ ἀγώνων ὑμῖν καὶ ἱδρώτων [διελέγομαι.] οὐ γάρ ἐστιν οὗτος ὁ τῶν ἐπάθλων καιρός, οὐδὲ νῦν ἡ δόξα μου φαίνεται ἐκείνη· ἀλλὰ σφαγῆς καὶ πολέμων καὶ κινδύνων καὶ πόνοι. καὶ ὅρα πῶς πρὸς τὸ ἔμπροσθεν τῆς ἐρωτήσεως καὶ παρηγόρησε καὶ ἐφείλκυσται. οὐδὲ γὰρ εἶπε, δύνασθε σφαγῆναι, δύνασθε τὸ αἷμα ὑμῶν ἐκχεῦν; ἀλλὰ πῶς; δύνασθε πιεῖν τὸ ποτήριον; Εἶτα ἐφιλοτίμησε φησιν, ὃ ἐγὼ μέλλω πίνειν· ἵνα τῇ πρὸς αὐτὸν κοινωνίᾳ προθυμότεροι γένωνται. καὶ βάπτισμα αὐτὸ πάλιν καλεῖ, δεικνὺς μέγα ἀπὸ τῶν γινομένων Ⓦ καθαρμὸν ἐσόμενον τῇ οἰκουμένῃ. Εἶτα λέγουσιν αὐτῷ· δυνάμεθα.

Ἀπὸ τῆς προθυμίας βύθιος ἐπῃνεῖ λοιπὸν, οὐδὲ τοῦτο εἰδότες ὅπερ εἶπον, ἀλλὰ προσδοκῶντες ἀκούσεσθαι ὅπερ ἤτησαν. τί οὖν αὐτός;

23 Τὸ μὲν ποτήριόν μου πίεσθε, καὶ τὸ βάπτισμα, ὃ ἐγὼ βαπτίζομαι, βαπτισθήσεσθε. Μεγάλα αὐτοῖς προεφήτευσεν ἀγαθά· τοιαῦτα, μαρτυρίου καταξιωθήσεσθε, καὶ ταῦτα πείσεσθε ἅπερ ἐγώ· βιαίῳ θανάτῳ τὸν ζωὸν καταλύσετε, καὶ τούτων μοι κοινωνήσετε.

Τὸ δὲ καθίσαι ἐκ δεξιῶν μου καὶ ἐξ εὐωνύμων, οὐκ ἔστιν ἐμὸν δοῦναι, ἀλλ' οἷς ἡτοίμασαι παρὰ τοῦ πατρός μου. Ἐπαίρας αὐτῶν τὰς ψυχὰς καὶ ὑψηλοτέρας ποιήσας, καὶ πρὸς λύπην ἀχειρώτους ἐργασάμενος, τότε διορθοῦται αὐτῶν τὸν αἴτησιν. ἀλλὰ τί ποτέ ἐστι τὸ νῦν εἰρημένον; καὶ γὰρ δύο ἐστὶ τὰ ζητούμενα παρὰ πολλῶν· ἓν μὲν, εἰ ἡτοίμασαί τισι τὸ καθίσαι ἐκ δεξιῶν αὐτοῦ· ἕτερον δὲ, εἰ ὁ πρώτων Κύριος, ἐκείνοις, οἷς ἡτοίμασαι, κύριος ἐστὶ παρασχεῖν. Τί οὖν ἐστι τὸ εἰρημένον; μὴ τὸ πρότερον λύσωμεν καὶ τὸ ἡμῖν ἐγχωρεῖ, τότε καὶ τὸ δεύτερον τοῖς ζητοῦσιν ἔσται σαφές. τί οὖν ἐστι τοῦτο; οὐδεὶς ἐκ δεξιῶν αὐτοῦ καθεδεῖται, οὐδὲ ἐξ εὐωνύμων. ἄβατος γὰρ πᾶσιν ὁ θρόνος ἐκεῖνος· οὐκ ἀνθρώποις λέγω καὶ ἁγίοις καὶ ἀποστόλοις, ἀλλὰ ἀγγέλοις καὶ ἀρχαγγέλοις καὶ πάσαις ταῖς ἄνω δυνάμεσιν. ὡς γοῦν ἐξαίρετον τοῦ μονογενοῦς ἴδιον ἀεὶ ὁ Παῦλος λέγων· Πρὸς τίνα δὲ τῶν ἀγγέ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λων εἰρηκέ ποτε, κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου;
Ψαλ. ργ. ς. καὶ τοῖς μὲν τοιαῦτα φησίν· Ὁ ποιῶν τὰς ἀγγέλους αὐτοῦ πνεύματα· τοῖς δὲ υἱόν, Ὁ θρόνος σου ὁ Θεός, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. πῶς οὖν φησι, τὸ κάθισαι ἐκ δεξιῶν καὶ ἐξ οὐρανῶν μου ἐστὶν ἐμὸν δοῦναι, ὡς οὐκ ὄντων ἄλλων τῶν καθεδουμένων; ἢ οὐκ ὄντων (ἄπαγε) δηλαδὴ τοῖς τοιούτοις ἀπεκρίνατο τῶν ἐρωτώντων, συγκαταβαίνων αὐτῶν τῇ ἀσθενείᾳ. 5
οὐδὲ γὰρ ἥδετο ὑψηλὸν θρόνον ἑκάτερον, καὶ τὸ ἐκ δεξιῶν τοῦ πατρὸς καθέδραν, ὅπου γε καὶ πολλῷ τούτων καταδεέστερα καθ' ἡμέραν αἰσχύνομαι ἀκούων. ἀλλ' ἓν ἐζήτουν μόνον, τῶν προτείων ἀπολαῦσαι, καὶ μηδένα εἶναι πρὸ αὐτοῦ. ὅπερ καὶ ἤδη ἔφθην εἰπών, ὅτι ὅπου δώδεκα θρόνους ἤκουσαν, ἀγνοήσαντες ὅ, τι ποτέ ἐστι τὸ εἰρημένον, τὴν πρεσβείαν ἐπεζήτησαν. ὁ τοίνυν φησὶν ὁ Χριστὸς τοῦτο ἐστιν· Ἀποθανεῖσθε μὲν δι' ἐμέ, καὶ σφαγήσεσθε τοῦ κηρύγματος ἕνεκεν, καὶ κινωνήσετέ μοι τοῦ πάθους· 10
ἡ μέν γε δεξιὰ τοῦτο ποιῆσαι τῆς προεδρίας ὑμᾶς ἀπολαῦσαι δὲ τὴν προτέραν ταξιν καταβαλεῖν. δεῖ γάρ τις ἕτερος ἔλθῃ καὶ τοῦ μαρτυρίου δὲ τὴν ἄλλην ἅπασαν ἀρετὴν κεκλημένος πολλῷ πλείονα ὑμῶν, οὐκ ὄντων φιλονεικούντων ὑμᾶς καὶ τῶν ἄλλων προκρίνω, ὅταν ἴδω παρασκάπτοντας ἐκείνους ἀπὸ τῶν ἔργων κηρυττομένους, ὑμῖν δώσω τὰ πρωτεῖα. ἀλλ' ἴδωμεν 15
οὐκ εἶπεν, ὡς μὴ λυπῆσαι· αἰνιγματωδῶς δὲ τοῦτο ἀνίστησιν λέγων· τὸ μὲν ποτήριον μου πίεσθε, καὶ τὸ βάπτισμα, ὃ ἐγὼ βαπτίζομαι, βαπτισθήσεσθε· τὸ δὲ καθίσαι ἐκ δεξιῶν μου καὶ ἐξ οὐρανῶν οὐκ ἔστιν ἐμὸν *δοῦναι, ἀλλ' οἷς ἡτοίμασαι παρὰ τοῦ πατρός μου. πῶς δὲ ἡτοίμασαι; τοῖς ἀπὸ τῶν ἔργων δικαιωθεῖσι γνησίως λαμπρῶς. διὰ τοῦτο οὐκ εἶπεν, οὐκ ἔστιν ἐμὸν *δοῦναι, ἀλλὰ τοῦ πατρός μου, ἵνα μὴ ἀσθενῆ μηδὲ ἀτονῆ αὐτὴν φαίνῃς πρὸς τὸ ἀποδοῦναι· ἀλλὰ πῶς; οὐκ ἔστιν ἐμόν, ἀλλ' ἐκείνων οἷς ἡτοίμασαι *. ἵνα δὲ ἀσφέστερον ὁ λέγω γνῷς, ὑπόδειγμα αὐτὸ γυμνάσωμεν, καὶ ὑποθώμεθά τινα ἀγωνοθέτην, εἶτα ἀθλητὰς ἀρίστους πολλοὺς εἰς τὸν ἀγῶνα καθέναι τοῦτον, καὶ δύο προσελθόντας τῶν ἀθλητῶν τῶν μάλιστα ὠκειωμένων τῷ ἀγωνοθέτῃ λέγειν, ὅτι ποίησον ἡμᾶς στεφανωθῆναι καὶ διακηρυχθῆναι, θαρροῦντας τῇ πρὸς αὐτὸν εὐνοίᾳ καὶ φιλίᾳ· ἐκεῖνος δὲ πρὸς αὐτοὺς λέγει, οὐκ ἔστιν ἐμὸν τοῦτο δοῦναι, ἀλλ' οἷς ἡτοίμασαι ἀπὸ τῶν πόνων καὶ τῶν ἱδρώτων, ἆρ' οὖν καταγνωσόμεθα αὐτοῦ ἀσθενείας; ἀδαμῶς· ἀλλ' ἀποδεξόμεθα αὐτοῦ τῆς δικαιοσύνης καὶ τὸ ἀπροσωπολήπτου. ὥσπερ οὖν ἐκεῖνον οὐκ ἂν φαίημεν ἀτονοῦντα μὴ δύνασθαι στέφανον, ἀλλὰ μὴ βουλόμενον διαφθεῖραι τὸν ἀγώνων νόμον, μηδὲ ξενιτεύσαι τὸ δικαίου τὴν ταξιν· οὕτω δὴ καὶ ὁ Χριστὸς ἔποιμι ἂν τοῦτο εἰρηκέναι, πάντα χθὲς ἀθλητὰς ξενιτεύοντα, μετὰ τοῦ Θεοῦ χάριν, εἰς τὴν τῶν οἰκείων κατόρθωμα δεῖξιν τὰς ἐλπίδας τῆς σωτηρίας καὶ τῆς εὐδοκιμήσεως ἔχειν. διὰ τοῦτό φησιν, οἷς ἡτοίμασαι. τί γάρ, φησιν, ἄν ἕτεροι φανῶσιν ὑμῶν βελτίους; τί δ' ἂν μείζονα ἐργάσωνται; μὴ γὰρ ὅπλων μαθηταί μου γεγόνατε, διὰ τοῦτο τὰ πρωτεῖα ἀπολαύσεσθε, ἐὰν μὴ τῆς ἐκλογῆς αὐτοὶ ἄξιοι φαίνητε; ὅτι γὰρ αὐτὸς κύριός ἐστι τοῦ πράγματος, δῆλον ἐξ ὧν αὐτὸς πᾶσαν ἔχει τὴν κρίσιν. καὶ γὰρ Πέτρῳ οὕτω φησίν·
Β. Τιμ. δ. κ. ἐγώ σοι δώσω τὰς κλεῖς τῆς βασιλείας τῶν οὐρανῶν. καὶ ὁ Παῦλος δὲ τοῦτο δηλῶν ἔλεγε· Λοιπὸν ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος, ὃν ἀποδώσει μοι ὁ Κύριος ὁ δίκαιος κριτὴς ἐν ἐκείνῃ τῇ ἡμέρᾳ· οὐ μόνον δὲ ἐμοί, ἀλλὰ καὶ πᾶσι τοῖς ἠγαπηκόσι τὴν ἐπιφάνειαν αὐτοῦ· ἐπιφάνεια δὲ τοῦ Χριστοῦ, τὰ ἠγγελμένα πρότερον λέγεται. ὅτι δὲ Παύλου οὐδεὶς προφητοτερος ἐγένετο, πολλαχοῦ που δῆλον. εἰ δὲ ἀσαφέστερον ταῦτα εἰρηκεν, μὴ θαυμάσῃς. πολλαπερπόμενός τε γὰρ αὐτοὺς οἰκονομικῶς, ὥστε μὴ ὑπὸ τῶν προτείων ἀσχολῆσθαι τὴν μάτην (καὶ γὰρ ἀπὸ πάντες τὸν ἔπαθον ἀνθρωπίνως) καὶ μὴ λυπῆσαι βουλόμενος αὐτούς, τῇ ἀσαφείᾳ ἀμφότερα ταῦτα κατορθοῖ.

γρ. ἵνα μὴ γένηται. ἀλλ. ἵνα γένηται.

24 Τότε ἠγανάκτησαν οἱ δέκα περὶ τῶν δύο.

Τότε,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τότε, πότε; ὅτε ἐπετίμησεν αὐλοῖς. ἕως μὲν γὰρ τοῦ Χριστοῦ ἡ φῆφος * ἰῶ, οὐκ ἠναπάκλωσε, ἀλλ' ὁρῶντες αὐλοὺς προπεμπομένους ἔστρεχον καὶ ἔσιγων, αἰδούμενοι Ⓐ διδάσκαλον καὶ πρύτανιν· καὶ εἰκῇ ᾠδήν ἤκουσε, ἀλλ' εἰς μέσον τοῦτο ἐξενεγκεῖν οὐκ ἐτόλμων. καὶ πρὸς Πέτρον δέ ποτε παθόντες δυσθεφτινον, ὅτε τὰ δίδραχμα ἔδωκεν, οὐκ ἐδυσχέρανάν, ἀλλ' ἠρώτησαν μόνον· τίς ἆρα μείζων ἐστὶν; ὅθεν ὁ σωτὴρ τοῦ μαθητοῦ ἡ αἴτησις ἦν, ἀγανακτῆσαι. ὃ καὶ ἐνταῦθα βυθέως ἀγανακτοῦσιν ὅτε ἠτήθη, ἀλλ' ὅτε αὐλοῖς ἐπετίμησεν ὁ Χριστός, καὶ ἔφησεν οὐκ ἀπολαύσεσθαι τοῦ προφητείου αὐτούς, εἰ μὴ προθήσουσιν ἑαυτοὺς ἀξίους ἦτον. εἶδες πῶς ἀτελέστερον πρώτης διέκειντο, καὶ ὅτοι κελεξαμισάμενοι τοῦ δέκα, καὶ ἑκάτοι φθονδύνιες τοῖς δύο; ἀλλ' ὅσῳ ἔφη, μᾶλλον ταῦτά μοι αὐτοὺς δεῖξον, καὶ ὅλῃ πάντων ἦτον ἀπηλλαγμένους τοῦ παθους. ἀκουσον γοῦν πῶς ἐστὶ αὐτὸς ὁ Ἰωάννης, ὁ νεῶν προσῳκοδομημένος αὐτῶν, πολλαχοῦ τοῦ προφητείου ὄν. Πέτρῳ προσχωρῶ, καὶ δημιουργοῦντι καὶ θαυματουργοῦντι ἐν τῇ πράξει τοῦ ἀποστόλου. καὶ οὐκ ἀποκρύπτει αὐτοῦ τὰ κατορθώματα· ἀλλὰ καὶ τὴν ὁμολογίαν λέγει, ἣν πρώτην σιγῶντων ἐπεδείξατο, καὶ τὴν εἰς τὸ ἅφον εἴσοδον, ὃ προεπίθησεν αὐτῷ Ⓦ ἀποστόλων. ὅθεν γὰρ ἀμφότεροι προέμενον φωρώμενοι, ὃ ἑαυτῷ ἐγκώμιον ὑποτεμνόμενος φησιν· ὅτι γνώριμος ἦν ὁ μαθητὴς ἀρχιερεῖ. ὁ δὲ Ἰάκωβος μακρὸν μὲν οὐκ ἐπέζησε χρόνον· οὐκ προοιμίων δὲ ὅτω διεθερμάνθη, καὶ πρῶτα τὰ δυσθεφτινα ἀφεὶς, πρὸς ὕψος δυσέφραμεν ἄφατον, ὡς θυθέως σφαλῆναι. ὅτω πρώτων ἔνεκεν μὴ ταῦτα ἄκροι [τὸν ἀρετὸν] ἐγένοντο. ἀλλὰ τότε ἠναπάκλησαν. Τί οὖν ὁ Χριστός; προσκαλεσάμενος αὐτοὺς φησιν·

Οἱ ἄρχοντες τῶν ἐθνῶν κατακυριεύουσιν αὐτῶν.

Ἐπειδὴ γὰρ ἐθορυβήθησαν καὶ ἐπαράχθησαν, τῇ τε κλήσει προσ τοῦ λόγου αὐτοὺς καταπροσκύνει, καὶ ταῖς πλησίον αὐτοὺς ἐπιπαύσασθαι. καὶ γὰρ Ⓐ δύο τοὺς χεῖρας τῶν δέκα ἑαυτὸν ἀπορρήξαντες ἐχθρότερον ἐστήκεισαν ἰδιολογούμενοι. ἀφ' τοῦτο δὲ τούτους πλησίον ἄγει, τούτῳ τε αὐτῷ, καὶ ᾧ ὃ εἰρημένον ἐκπορπεδοσας καὶ εἰς τοὺς ἄλλους ἐξαγαγεῖν προθυμούμενος ὃ πάθος καὶ τούτων κἀκείνων. καὶ οὐχ ὡς ἐμπροσθεν, ὅτω νῦν κατεγέλασε. πρότερον μὲν γὰρ παιδία ἄγει εἰς μέσον, καὶ ὃ ἀφελὲς αὐτῶν καὶ τὸ ταπεινὸν μιμεῖσθαι κελεύει· ἐνταῦθα δὲ πληκτικώτερον ἀπὸ τοῦ ἐναντίου ἐντρέπει λέγων· Ⓐ ἄρχοντες τῶν ἐθνῶν κατακυριεύουσιν αὐτῶν, Καὶ Ⓐ μεγάλοι κατεξουσιάζουσι.

Παρὰ δὲ ὑμῖν οὐκ ἔσται οὕτως· ἀλλ' ὃς θέλων ἐν ὑμῖν γενέσθαι μέγας, ἔστω ὑμῶν διάκονος,

Καὶ ὃς θέλων εἶναι πρῶτος, ἔστω πάντων ἔσχατος. Δεικνὺς ὅτι "ἐθικὸν τὸ τιμᾶσθαι, τὸ τῶν πρωτείων ἐρᾶν. καὶ γὰρ τυραννικὸν τὸ πάθος, καὶ ζωοχῶς ἐνοχλοῦν, καὶ μεγάλοις δυσφόροις· διὸ τοῦτο καὶ σφοδροτέρας δίδοται πληγῆς. διὸ καὶ αὐτὸς βαθύτερον αὐτῶν καθίσεται, τῇ τῶν ἐθνῶν προσκλήσει φλεγμαίνουσαν τὴν ψυχὴν ἐντρέπων· καὶ τῶν μὲν Ⓦ φθόνον, τῶν δὲ τὴν ἀπόνοιαν ἐκστέμνεται, μονονουχὶ λέγων· μὴ ἀγανακτῆτε, ὡς ὑβρισμένοι· ἑαυτοὺς μᾶλλα βλάπτοισί τε καὶ καταισχύνουσιν Ⓐ οὕτω τὰ προστάγματα τοιοῦτες. ἐν γὰρ τοῖς ἐσχάτοις εἰσίν. ὃ γὰρ "ὅστις πρῶτος ἦν ἡμῖν, οἷα τὰ ἔξωθεν. Ⓐ μὲν γὰρ ἄρχοντες τῶν ἐθνῶν κατακυριεύουσιν αὐτῶν· πρῶτος ἐμοὶ δὲ ὁ ἔσχατος ὅτος πρῶτός ὅστιν. ὅτι δὲ οὐχ ἁπλῶς ταῦτα λέγω, δι' ὧν ποιῶ καὶ πάσχω, λάβετε τὴν ἀπόδειξιν τῶν εἰρημένων. ἐγὼ γὰρ εἰ καὶ πλέον ἐποίησα. βασιλεὺς γὰρ τῶν ἄνω δυνάμεων ὤν, ἄνθρωπος ἠθέλησε γενέσθαι, καὶ καταφρονηθῆναι κατεδέξατο καὶ ὑβρισθῆναι· καὶ σταυρὸς τούτοις ἦρκεσθαι, ἀλλὰ καὶ ὀπτὶ θανάτου ἦλθον. διὸ τοῦτό φησιν·

Οὐ ὁ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἦλθε διακονηθῆναι, ἀλλὰ διακονῆσαι, καὶ δοῦναι τὴν ψυχὴν αὐτοῦ λύτρον ἀντὶ πολλῶν. Οὐδὲ γὰρ μέχρι τούτου ἔστιν, φησίν, ἀλλὰ καὶ τὴν ψυχὴν ἔδωκα λύτρον. καὶ τοῦ ἕνεκα; τῶν ἐχθρῶν. οὐ δ' ἂν ταπεινωθῇς, ὑπὲρ σαυτοῦ.

ἄ. ἄγλος

ἰσ. αὐτῶ

χ πρὸς τοσοῦτον ἀρετῆς ὕψος ἀνέφραμεν, ὡς

χ. ἐθνικῶ

κτιαῶτα τὰ

χ. ὡσοὶ ἔλεγλε, ἐ μέχρι τούτου ἔστιν μόνον, ἀλλὰ

τοῦ· ἐγὼ γὰρ σοῦ. μὴ τοίνυν φοβηθῇς, ὡς τῆς ψυχῆς σου καθαρμοῦ. ὅσον γὰρ οὐ ταπεινωθῇς, τοσοῦτον κατελθεῖν, ὅσον ὁ δεσπότης σου. ἀλλ' ὅμως ἡ καταβασις αὕτη πολλῶν ἀναβασις γέγονε, καὶ τῷ δόξαν ἀκλεμψαν πεποίηκε τῷ ἑαυτοῦ. πρὸ μὲν γὰρ τοῦ γνέσθαι αὐθεφπος, πᾶσ' ἀπέλεις ἐγνωείζετο μόνοις· ἐπεὶ δὲ θεὸς ἐγένετο καὶ ἐσαυρώθη, τοῦ μόνον ἐκείνων οὐκ ἀπέστησε τῷ δόξαν, ἀλλὰ καὶ ἑτέραν προσέλαβε, τῷ ἀπὸ τῆς γνώσεως τῆς οἰκουμένης. μὴ δὴ φοβηθῇς, ὡς τῆς ψυχῆς σου καθαρμοῦ, ἐὰν ταπεινώσῃς σαυτόν. ταύτῃ γὰρ μᾶλλον ἐπαίρεταί σε ἡ δόξα· ταύτῃ μείζων γίνῃ· αὕτη τῆς βασιλείας ἡ ὁδός. μὴ δὴ τῷ ἀνομίαν ἔλθωμεν, μὴ δὴ ἐκοῖς πολεμῶμεν. ἐὰν γὰρ βουληθῶμεν μεγάλοι φανῆναι, οὐκ ἐσόμεθα μεγάλοι, ἀλλὰ καὶ πάντων ἀτιμότεροι. εἶδες πῶς πάντα χῶ ἀπὸ τῆς ἀνομίας αὐτοῦ προτρέπει, διδοὺς ἀφορμὰς ὅπερ ὀπτῶμεν; καὶ γὰρ ἐν τοῖς ἔμπροσθεν δῆλα πολλῶν τοῦτο ἐδείξαμεν, καὶ ὅτι τῆς φιλοχρημοσύνης ἦν, καὶ τῆς κενοδοξοτάτου ὕστως ἐπτίπτε. τίνος γὰρ ἕνεκεν, φησιν, ἔμπροσθεν τῆς ἀνθεφπων ἐλεᾶς; ἵνα δόξης ἀπολαύσῃς; οὐκοῦν μὴ ποίει οὕτω, καὶ ἀπολαύσῃ πάντως. τίνος ἦν ἕνεκεν ἐλεημοσυνεύεις; ἵνα πλουτήσῃς; οὐκοῦν μὴ ἐλεημοσύνῃς, καὶ πάντως πλουτήσεις. ὅπου γάρ ἐστιν ἡ καρδία σου, ἐκεῖ καὶ ὁ θησαυρός σου. τίνος ἕνεκεν τῆς προσευχῆς ἐρᾷς; ἵνα παρὰ τῶν ἀλλων ᾖς; οὐκοῦν τῷ ἐκάστῳ ὀπτάνεσθαι βούλεσθαι, καὶ τότε τῆς προσευχῆς ἀπολαύσῃ. ὥστε εἰ θέλεις ἐλεᾶσθαι μέγας, μὴ ζήτει ἐλεᾶσθαι μέγας, καὶ τότε ἔσῃ μέγας. ἐκεῖνο γὰρ μικρόν ἐστιν ἐκεῖ. ὁρᾷς πῶς αὐτοῦ ἀπήγαγε τοῦ νοήματος, τὴν δεῖξαι ὅτι οὐκ ἐκεῖθεν σκοπεῖσθαι, οὐκ ἐντεῦθεν ὀπτυγχάνουσιν, ἵνα δὲ μὴ φύγωσι, δὲ ἦ διώκωσι; καὶ τῶν ἐθνῶν ἦ δηλοῦ τοῦτο ἐμνήμονευσεν, ἵνα καὶ ταύτῃ δὲ πρᾶγμα ἐπονείδιστον καὶ βδελυκτὸν ἀποδείξῃ. ὁ γὰρ ἀπονενοημένου ἀνάγκη ταπεινὸν εἶναι, οὐκ τοὐναντίον ὁ ταπεινόφρονα ὑψηλόν. τοῦτο γὰρ ὃ ὕψος ὃ ἀληθὲς καὶ γνήσιον καὶ οὐκ ἐν ὀνόματι μόνον, ἀλλ' ἐν πράγματι ὄν. οὐκ ὃ μὲν ἔξωθεν, ἀνάγκης ὄντι καὶ φόβου· τοῦτο ἦ, τὴν δὲ θεοῦ προσοικειον. ὁ Ἰουδαῖος, κἂν πᾶν ὑπερβαίνος θαυμάζηται, ὑψηλὸς μένει· ὥσπερ οὖν ἐκεῖνος, κἂν πάντων ἀνθρώπων θεραπεύηται, πάντων ἐστὶ ταπεινότερος. καὶ ἡ μὲν ἐκ ἀνάγκης ὄντι ψυχή, ὅταν καὶ ἁμαρτεῖ ῥᾳδίως· ἡ δὲ ἐκ προαιρέσεως, ὅταν καὶ μένει βεβαία. ἐπεὶ δὲ τοὺς ἁγίους ἅπαντα θαυμάζομεν, ὅτι πάντων ὄντες μείζους, πάντων μᾶλλον ἑαυτοὺς ἐταπείνουν. διὸ καὶ μένει τῆς σήμερον μένουσιν ὄντες ὑψηλοί, καὶ οὐδὲ ἡ τελευτὴ τὸ ὕψος ἐκεῖνο κατέσπεγκεν.

ΠΘΙΚΟΝ Εἰ δὲ βούλεσθε, ἐκ τῶν λογισμῶν ἐξετάσωμεν τοῦτο αὐτό. ὑψηλὸς εἶναι λέγεται ἢ τοι τοῦ μήκους τοῦ σώματος τοῦτο, ἢ ὅταν ἐφ' ὑψηλοῦ τόπου ἑστηκὼς τύχῃ· καὶ ταπεινὸς ὡσαύτως ἀπὸ τῶν ἐναντίων· ἰδωμεν οὖν τίς τοιοῦτός ἐστιν, ὁ ἀλαζών, ἢ ὁ μετριάζων· ἵνα μάθῃς, ὅτι ταπεινοφροσύνης οὐδὲν ὑψηλότερον, οὐδὲ ἀλαζονείας χαμαλώτερον. ὁ μὲν οὖν ἀλαζών, πάντων βούλεται εἶναι μείζων, καὶ οὐδένα ἄξιον αὐτοῦ εἶναι φησι, καὶ ὅσης ἂν τύχῃ τιμῆς, πλείονος ἐρᾷ καὶ ἀντέχεται ὃ δὲ οὐδεμιᾶς τετυχηκέναι νομίζει, καὶ διαπαίζει τοὺς αὐθέφπους, καὶ τῆς περὶ αὐτῶν ἐφίεται τιμῆς, ἵνα τί ἀληθέστερον ἂν ἀλαζόνευμα τοῦτο εἴποι; καὶ γὰρ αἰνίγματι τοῦτο εἴοικεν. ὃς γὰρ οὐδὲν ἡγεῖται, πάντων δοξάζεσθαι βούλεται. εἶδες πῶς ὁ ἐπερωτῆσαι βουλόμενος, καταπίπτει καὶ χαμαὶ ἔσηκεν; ὅτι γὰρ οὐδὲν εἶναι νομίζει ἀπὸ πάντας ἀνθέφπους πρὸς ἑαυτόν, αὐτὸς ἀποφαίνεται. τοῦτο γὰρ ἀλαζονεία. τί τοίνυν πρὸς οὐδὲν ὄντα τέχεις; τί περὶ ἐκείνου ζητεῖς πυνθάνῃ; τί τοσοῦτος ὄχλος πρεμάτης; ὁρᾷς ταπεινόν, καὶ ἐπὶ ταπεινοῦ ἑστηκότα; φέρε οὖν, ἐξετάσωμεν τοῦ ὑψηλόν. οἶδεν οὖν ὅσον ἀνθέφπος, καὶ ὅτι μέγα ἀνθέφπος, καὶ ὅτι πάντων ἐστὶν ἔσχατος, καὶ ὅτι τοῦτο εἰς αὐ ἀπολαύσῃ τιμῆς, μέγα τοῦτο εἶναι. ὥστε οὖν μὲ ἑαυτῷ ἀκολουθεῖ, καὶ ἔστιν ὑψηλός, καὶ τῷ ὄντι οὐ μεταλαμβάνουσιν. ὃς γὰρ ἡγεῖται μεγάλους, καὶ ταῖς πρὸς τούτων τιμαῖς μεγάλας εἶναι νομίζει, κἂν μικρὰ τύχωσιν ὄντα, ἐπὶ μεγάλοις ἐκείνοις ἡγεῖται. ὁ δὲ ἀλαζὼν τοὺς μὲν τιμῶντας οὐδὲν εἶναι νομίζει· ταῖς

χ. πάπαις

ὁ

ὑ πρ̀ς αὐτ̀ν ὑμᾶς, μεγάλας εἰ) ψηφίζε). πάλιν ὁ ταπεινὸς πρ̀ς τὸν ἐνδεᾶ ἀλίσκεται πάθους· οὐκ ὀργὴ τύπτω διενοχλῆσαί σε δωυήσε), ὐ δόξης ἔρως, ὐ βασκανία, ὐ ζηλοτυπία. τ̃ς ὑ τύπων ἀπηλλαγμένης ψυχ̃ς τί ἄλλοτ' ἄν ὑψηλότερον; ὁ ὑ ἀληζὼν ἅπασι τύτοις κατέχεται, καθάπερ τις σκώληξ ἐγκαλινδούμενος ἐν βορβόρῳ. κὴ γὰ ζηλοτυπία κὴ βασκανία κὴ θυμὸς ἀεὶ τὸν ἐκείνου διενοχλ̃ ψυχήν. τίς οὖν ὑψηλός; ὁ τ̃ν παθ̃ν ἀνώτερος, ἢ ὁ δοῦλος αὐτ̃ν; ὁ πέμων αὐτὰ κὴ δεδιϰώς, ἢ ὁ ἀχείρωτος κὴ ἀδαμ̃ς ὑπ' αὐτῶν ἀλισϰόμενος; ποῖον ὄρνιν ὑψηλότερα πέτεσθαι φήσομεν ἄν; ⓦ τ̃ν χειρῶν κὴ τ̃ν ϰαλάμων τὸ θηρατὸν ὑψηλότερον ὄντα, ἢ ⓦ μηδὲ ϰαλάμου ἀφιέντα δεηθῆναι ⓦ θηρατοῦ ὐ τὸ χαμαὶ πέτεσθαι, ἐ μὴ δυώασθαι μετεωρίζεσθαί ποτε; οὕτω τοιοῦτος ὁ ἀπονενοημένος ἐστί. κὴ γὰ ἑϰάστη παγὶς βιαίως αὐτὸν αἴρ̃, ἄτε ϰαλάμη ἕρπονται. εἰ ὑ βούλει, κὴ ἀπὸ τ̃ πονηρ̃ δαίμονος ἐκείνου τὸ τοῦτο ἐξέπασον. τί γὰ δ̣αβόλου ταπεινότερον ἤμοιτ' ἄν, ὅτ̃ ἐπήρθη; ἢ ὑ ἀνθρώπου ὑψηλότερον, τ̃ ταπεινοῦν ἑαυτὸν βουλομένου; ὁ μὲ γὰ χαμαὶ σύρεται ὑπὸ τ̃ σφέρνου τ̃ ἡμετέραν ϰείμενος (Πατ̃ρ γὰ, φησιν, ἐποίμ̃ ὄφεων κὴ σκορπίων) ὁ δὲ μ̃ ἀγέλων ἔσηϰεν ἄνω. εἰ ὑ ἐξ ἀνθρώπων τοῦτο βούλει μαθεῖν ἐμφανέστερον, ἀνάϰουσον ⓦ βαρβάρου σκήνους ⓦ τοιαύτ̃ ἀγέλης τραπ̃αι, ὅς οὐδὲ τὰ πᾶσι δῆλα ἠπίσατο· οἷ, ὅτι ὁ λίθος λ̃ λίθος, κὴ τὰ εἴδωλα, εἴδωλα. διὸ ἐ τούτων ϰατώτερος λ̃· ⓐ δὲ βύσεβ̃ς κὴ πιστὸς, κὴ ἐμφ̃ ⓦ ἥλιον ἴσταται, ὧν τί ἤμοιτ' ἂν ὑψηλότερον; οἱ ἐ αὐτ̃ς ἐμφορούμενοι τ̃ ὄφεως τὰς ἀμφίδας, κὴ ἀγέλους πτερωμένους πρεσβεύοντας αὐτ̃ τ̃ θεῷ τ̃ βασιλιϰῷ. ἵνα δὲ κὴ ἑτέρωθεν μάθ̃ς αὐτῶν τὴν ἐυτέλειαν, εἰπέ μοι, τίς ἂν ταπεινωθείη; ὁ βοηθούμενος παρὰ τ̃ Θεοῦ, ἢ ὁ πολεμούμενος; ἐδηλον ὅτι ὁ πολεμούμενος. οὐκοῦν ἄϰουσον παρὰ ἑϰατέρων τούτων τί φησιν ἡ γραφή. Ο Θεὸς ὑπερηφάνοις ἀντιτάσεται, ταπεινοῖς ἐ δίδωσι χάριν. πάλιν σε κὴ ἕτερον ἐρήσομαι· τίς ὑψηλότερος; ὁ ἱερώμενος ϰαὶ θυσίαν παρεσϰάγων τ̃ Θεῷ, ἢ ὁ πόρρω που τ̃ς παρ' αὐτὸν παῤῥησίας ὑπάρχων κὴ ποίαν θυσίαν παρεσφέρει ὁ ταπεινός, φησιν; ἄϰουσον τοῦ Δαβὶδ λέγοντος· Θυσία τ̃ Θεῷ, πνεῦμα συντετριμμένον, ϰαρδίαν συντετριμμένην κὴ τεταπεινωμένην ὁ Θεὸς οὐϰ ἐξουδενώσει. Εἶδες τύτυ ὃ ϰαθαρόν; βλέπε ἐ ἐκείνου ὃ ἀϰάθαρτον. ἀϰάθαρτος γὰ, φησι, παρὰ Κυρίῳ πᾶς ὑψηλοϰάρδιος. παρὰ τύτοις, ὁ μὲ ἔχει ἀναπαυόμενον ⓦ Θεὸν ἐπ' αὐτ̃ (Ἐπὶ τίνα γὰ ἐπιβλέψω, ἀλλ' ἢ ἐπὶ ⓦ ἡσύχιον κὴ πέμοντά μου τοὺς λόγους) ὁ δὲ μετὰ τ̃ δ̣αβόλου σύρεται. ὁ γὰ τετυφωμένος, ϰαὶ ἐκείνου πείσεται. διὸ κὴ ὁ Παῦλος ἔλεγε· * Μὴ πῶς τυφωθεὶς εἰς ϰρίμα ἐμπέσ̃ τ̃ δ̣αβόλου. ἐ τοιοῦτόν ὑ, ἃ ὁ βούλεται, αὐτ̃ συμβαίνει. βούλεται μὲ γὰ ἀπονοηθῆναι, ὡς τιμ̃σθαι· ὁ ὑ μᾶλλον πάντων ϰαταφρονούμενος, τοῦτ' ἔστιν. ⓐ γὰ ϰαταγέλασοι, ⓐ πᾶσιν ἐχθροὶ κὴ πολέμιοι, ⓐ θεῷ χείρωτοι τοῖς ἐχθροῖς, ⓐ ϰαὶ ὀργῇ βεβεμισμένοι, ⓐ ἀϰάθαρτοι πρ̀ς αὐτ̃, ἔστι μᾶλλον πάντων εἶσι. τί τοίνυν τύτων χεῖρον ἤμοιτ' ἄν; τὸ γὰ πέρας τοῦτο ἐστὶ τ̃ν ϰακ̃ν. τί ὑ τ̃ν ταπεινῶν ἥδιον; τί ὑ μαϰαριώτερον, ὅταν πεφυτοὶ κὴ ἐπέρασοι ὦσι τ̃ Θεῷ· κὴ τ̃ς πρ̀ς ἀνθρώπων ὑ μᾶλλον ἔστι ἀπολαύσεσι δόξης, κὴ πρύτες αὖλιες ὡς παστάδας ὑμιῶσιν, ὡς ἀδ̣ήφους ἀσπάζονται, ὡς οἰϰεῖα μέλη παρεσίενται. ἡμεῖς μὲν τοίνυν ταπεινοί, ἵνα ἡμεῖς μᾶλλον ὑψηλοί. κὴ γὰ μὴ ἐχθρολ̃ς πολλ̃ς ταπεινοῖ ἡ πόνοια. τύτο ἐταπείνωσε ⓦ Φαραώ. Οὐϰ οἶδα γὰ, φησι, ⓦ Κύριον, κὴ μιγὼν κὴ βατεάζων ἐ χάμπτης ἐγίνετο χείρων, κὴ μετὰ ταῦτα αὐλ̃ς ὁπλοις κὴ ἵπποις ϰατεπονθ̣ίζετο. ἀλλ' ἀπεναντίας τύτ̃ Λβραάμ. Ἐγὼ δέ, φησίν, εἰμι γ̃ κὴ ασοδὸς, ἐ μειόων βαρβάρων ἐχράτησε, κὴ εἰς μέσον ἐμπεσὼν Αἰγυπτίων ἐπήνεσι λαμπροτέρου τ̃ πρεσβείου ἔπαθλον φέρων, κὴ ταύτ̃ς λυτελούμενος τ̃ς ἀρετ̃ς ἀεὶ ὑψηλότερος ἐγίνετο. διὰ τύτο ἀδεται πανταχοῦ, διὰ τύτο θεφανοῦται ϰαὶ μαϰαρύτ̃ται). ὁ δὲ Φαραὼ γ̃ κὴ ασοδὸς, ϰαὶ εἰ τι τύτων ὑπελέστερον ἕτερον. οὐδὲν γὰ

ὕτως

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὅτως ἀποτρέφεται ὁ Θεὸς ὡς ὑπερηφανίαν. διὰ τοῦτο δὲ ἀρχῆς πάντα ἐποίησεν, ἵνα τοῦτο δείξῃ τὸ πάθος. διὰ τοῦτο ἠνεσχόμεθα, καὶ ἐν λύπαις καὶ ἐν ὀδυρμοῖς, διὰ τοῦτο ἐν πόνῳ καὶ ἐν ἱδρῶτι καὶ ἐν ἐργασίᾳ διήνεκεῖ καὶ πεταλαιπωρήμεθα. καὶ γὰρ δὲ ἀπονοίας ἥμαρτεν ὁ πρῶτος ἄνθρωπος, προσδοκήσας ἰσοθεΐαν· διὰ τοῦτο οὔτε ἅπερ εἶχεν ἔμεινεν ἔχων, ἀλλὰ καὶ τούτων ἐξέπεσε. τοιοῦτον γὰρ ἡ ἀπόνοια, οὐ μόνον οὐδὲν ἡμῖν προσίθησι κατόρθωμα βίου, ἀλλὰ καὶ ἃ ἔχομεν ἀποτέμνεται· ὥσπερ οὖν ἡ ταπεινοφροσύνη, οὐ μόνον τῶν ὄντων οὐδὲν ἀποτέμνεται, ἀλλὰ καὶ τὰ μὴ ὄντα προσίθησι. ταύτην τοίνυν ζηλώσωμεν, ταύτην διώξωμεν, ἵνα καὶ τῆς παρούσης ἀπολαύσωμεν ζωῆς, καὶ τῆς μελλούσης ἐπιτύχωμεν δόξης, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ δόξα καὶ κράτος σὺν τῷ ἁγίῳ πνεύματι, [νῦν καὶ ἀεί, καὶ] εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. γρ. σεναξμοῖς, γρ. ὧν ἔχομεν οὐδὲν ἀπολλύσιν,

Ομιλ. ξς'.

29 ΚΑΙ ΕΚΠΟΡΕΥΟΜΕΝΩΝ ΑΥΤΩΝ ΑΠΟ Ιερειχὼ, ἠκολούθησεν αὐτῷ ὄχλος πολύς.

30 Καὶ ἰδοὺ, δύο τυφλοὶ καθήμενοι παρὰ τὴν ὁδὸν, ἀκούσαντες ὅτι Ἰησοῦς παράγει, ἔκραξαν λέγοντες, ἐλέησον ἡμᾶς Κύριε, υἱὸς Δαβίδ.

Ιωαν. δ. α. γ.

ΠΟΘΕΝ ἆρα ἦλθεν εἰς τὰ Ἱεροσόλυμα; καὶ ποῦ ποτὲ τότε διέτριβεν· ὁ καὶ μάλα ζητήσεως ἄξιον εἶναί μοι δοκεῖ, διὰ τί μὴ εὐθέως ἐνταῦθα ἐκεῖθεν ἀπῆλθεν εἰς τὴν Γαλιλαίαν, ἀλλὰ διὰ τῆς Σαμαρείας. ἀλλὰ τοῦτο μὲν τοῖς φιλομαθέσιν ἀφήσομεν. εἴ γάρ τις ἀκριβῶς ἐξετάζειν ἐθέλοι, εὑρήσει τὸν Ἰωάννην ἀκριβέστερον αὐτὰ καλῶς, καὶ τὴν αἰτίαν πεφηκότα· ἡμεῖς δὲ τῶν προκειμένων ἐχώμεθα, καὶ τῶν τυφλῶν τούτων ἀκούσωμεν, οἳ πολλῶν βλεπόντων κρείττονες ἀμείνους. οὔτε γὰρ τὴν ὁδηγοῦντα ἔχοντες, οὔτε ἰδεῖν αὐτὸν δυνάμενοι διψῶντα, ὅμως ἐφιλονείκουν ἐλθεῖν πρὸς αὐτὸν, καὶ μεγάλῃ ἤρξαντο τῇ φωνῇ κράζειν· καὶ διωκόμενοι, μᾶλλον ἐβόων. τοιοῦτον γὰρ ψυχὴ καρτερικὴ, δι' αὐτῶν τῶν κωλυόντων αἴρεται. ὁ δὲ Χριστὸς ἐᾷ αὐτοὺς διωκομίζεσθαι, ἵνα μειζόνως αὐτῶν ἡ προθυμία φανῇ, καὶ μάθῃς αὐτοὺς ἀξίως ἀπολαύοντας θεραπείας. διὰ τοῦτο δὲ ἐρωτᾷ· Εἰ πιστεύετε, ὅπερ ὅτι πολλῶν ἐποίει. ἡ γὰρ κραυγὴ καὶ ἡ πρόοδος ἦρκει πᾶσι καταδῆλον ποιῆσαι τὴν πίστιν αὐτῶν. ἐντεῦθεν μάθωμεν ἀγαπητέ, ὅτι κἂν σφόδρα θέλῃς ὠφεληθῆναι καὶ ἀπερριμμένοι, μὴ ἀπογνῶμεν τὸν Θεὸν, καὶ δεῖ ἡμῶν αὐτῶν δυνησόμεθα δοῦναι ὅπερ αἰτώμεθα. ὁρᾷς πῶς οὐδένα τῶν ἀποστόλων ζωηρὸν ἔχοντες, ἀλλὰ καὶ πολλοὺς τοὺς ἐπιστομίζοντας, ἰσχυρᾷ προθυμίᾳ τὰ κωλύματα, καὶ πρὸς αὐτὸν ἐλθεῖν τὸν Ἰησοῦν. καίτοι πρόρρησίν βίου οὐδεμίαν αὐτοῖς ὁ διαλήψεως μάρτυρος, ἀλλ' ἦρκεσεν αὐτοῖς ἡ προθυμία. τούτους δὴ καὶ ἡμεῖς ζηλώσωμεν. κἂν ἀναβάλληται τὴν δόσιν ὁ Θεὸς, κἂν πολλοὶ οἱ ἀπάγοντες, μὴ ἀποστῶμεν αἰτοῦντες. ταύτῃ γὰρ μάλιστα τὸν Θεὸν ἐπιστασόμεθα. ἐρωτῶ καὶ ἐνταῦθα πῶς τὴν σφοδρὰν αὐτῶν προθυμίαν, οὐχ ἡ πενία, οὐχ ἡ πήρωσις, οὐ τὸ μὴ ἀκουσθῆναι, οὐ τὸ τῶν ὄχλων ἐπιπλῆξαι, οὐκ ἄλλο οὐδὲν διεκώλυσε. τοιοῦτόν ἐστι ψυχὴ ζέουσα καὶ πονουμένη. Τί οὖν ὁ Χριστός;

32 Εφώνησεν αὐτοὺς, καὶ εἶπε· τί θέλετε ποιήσω ὑμῖν;

33 Λέγουσιν αὐτῷ· Κύριε, ἵνα ἀνοιγῶσιν ἡμῶν οἱ ὀφθαλμοί. Τίνος ἕνεκεν αὐτοὺς ἐρωτᾷ; ἵνα μή τις νομίσῃ, ὅτι ἄλλα βουλομένοις ἄλλα δίδωσιν. ἔπειτα καὶ ἕτερος αὐτῷ γρ. ἀνοιχθῶσιν

τῶ πόντα χοῦ πρότερον τὴν ἀρετὴν τῆ θεραπαινίδι μόνων καταδηλον ποιῆν καὶ ἐκκαλύπτειν
ἅπασι, καὶ τότε ἐπάγειν τὴν ἰατρείαν· διὰ ἓν μόνον, ἵνα καὶ τοὺς ἄλλους εἰς ζῆλον ἀγάγῃ· διὰ ἕτερον δέ, ἵνα δείξῃ τῆς δωρεᾶς ἀξίους ἀπολαύοντας. τοῦτο γοῦν καὶ ὅπου τῆς Χαναναίας ἐποίησε γυναικός· τοῦτο καὶ ὅπου τοῦ ἑκατοντάρχου· τοῦτο καὶ ὅπου τῆς αἱμορροούσης. μᾶλλον δὲ ἡ θαυμασία γυνὴ ἐκείνη καὶ πρότερον ἔλαβε τοῦ δεσπότου τὴν πρόσρησιν· ἀλλ' ὅμως οὐδὲ ὕστερον αὐτὴν προέδραμον, ἀλλὰ καὶ μετὰ τὴν ἰατρείαν κατάδηλον αὐτὴν ποιῆ. ὕστερον αὐτῆ πρότερον ἐπεσκοτάδησεν ἵνα διακηρύττειν τῶν. προεστώτων αὐτῆς κατορθώματα, καὶ πολλῷ μείζονα ἀποφαίνειν τῶν ὄντων· ὃ δὴ καὶ ἐνταῦθα ποιῆ. εἶτα, ὅπερ εἶπον ὅπερ ἐβούλοντο, κολαγχιαθεὶς ἤφαλο αὐτῶν. αὕτη γὰρ μόνον ἡ αἰτία τῆς ἰατρείας, διὰ ἣν καὶ εἰς (ν) κόσμον ἦλθεν.
ἀλλ' ὅμως εἰ ἔλεος ἦν καὶ χάρις, οὐκ ἀξίους ἔπιζητῆ. ὅτι γὰρ ἀξιοι, δῆλον ἐξ ὧν ἐβόησαν, ἐξ ὧν λαβόντες οὐκ ἀπεπήδησαν, ὃ πολλοὶ ποιοῦσι, μετὰ ἐνεργεσίας ἀγνωμονοῦντες. ἀλλ' οὐκ ἐκεῖνοι τοιοῦτοι· ἀλλὰ καὶ μετὰ τῆς δόσεως καρτερικοί, ἐμμένοντες καὶ γὰρ ἠκολούθησαν αὐτῷ.

1 Καὶ ὅτε ἤγγισαν εἰς Ιερουσάλυμα, καὶ ἦλθον εἰς Βηθφαγῆ πρὸς τὸ ὄρος τῶν ἐλαιῶν, κεξς κα.
τότε ὁ Ιησοῦς ἀπέστειλε δύο τῶν μαθητῶν αὐτοῦ λέγων·

2 Πορεύεσθε εἰς τὴν κώμην τὴν ἀπέναντι ὑμῶν, καὶ εὑρήσετε ὄνον δεδεμένην, καὶ πῶλον μετ' αὐτῆς· λύσαντες ἀγάγετέ μοι·

3 Καὶ ἐάν τις ὑμῖν εἴπῃ τι, ἐρεῖτε ὅτι ὁ κύριος αὐτῶν χρείαν ἔχει· εὐθέως δὲ ἀποστελεῖ αὐτούς.

4 Τοῦτο δὲ ὅλον γέγονεν, ἵνα πληρωθῇ τὸ ῥηθὲν διὰ τοῦ προφήτου Ζαχαρίου,

5 Εἴπατε τῇ θυγατρὶ Σιών, ἰδοὺ, ὁ βασιλεύς σου ἔρχεταί σοι πραΰς, καὶ ἐπιβεβηκὼς ἐπὶ ὄνον καὶ πῶλον υἱὸν ὑποζυγίου. καίτοι πολλάκις ἐπέβη τῶν Ιεροσολύμων πρότερον, ἀλλ' οὐδέποτε μετὰ τοσαύτης προφανείας. τί οὖν δή ποτε προοίμια καὶ τότε τῆς οἰκονομίας· καὶ ὅτε αὐτὸς σφόδρα κατάδηλος ἦν, ὅτε ὁ καιρὸς ἦν παθεῖν ἑτοίμως. διόπερ καὶ διαφορώτερον αὐτοῖς ἐνεμίγνυτο, καὶ μᾶλλον κρύπτων ἑαυτόν. οὔτε γὰρ οὐ ἐθαυμάσθη φανερώτερος ὕστερον, καὶ εἰς μείζονα οὐ αὐτοῦ ἐξήγαγε ὀργήν. ὅθεν ὃ καὶ τῆς αὐτῆς δυνάμεως πεῖραν ἔδωκεν ἰσχυρὰν, καὶ ὁ σαφεστέρως ὅτι θεὸς ἦν, μειζόνως ἐκλάμπει λοιπὸν, καὶ μηδὲν πλείονος ἅπτηται προφητείας πρὸς τὰ μέλλοντα αὐτοῖς ἐκκαίειν. δυνατὸν μὲν γὰρ ἦν καὶ ἄνευ τοῦ ἐζευχθῆναι τὸν ὄνον θαυμασθῆναι· ἀλλ' οὐ χρήσιμον, οὐδὲ λυσιτελές οὕτω. σὺ δέ μοι θέα ὅσα θαύματα γίνονται, καὶ ὅσαι πληροφορίαι προφητείαι. εἶπεν, ὅτι εὑρήσετε ὄνον· προεῖπεν ὅτι οὐδεὶς κωλύσει, ἀλλ' ὅτι ἀκούσαντες σιγήσουσι. τοῦτο δὲ οὐ μικρὸν κρίμα Ιουδαίων, εἰ τοὺς οὐδέποτε γνωρίμους αὐτῶν οὐδὲ φθονέρως πείθῃ τὰ αὐτῶν προέσθαι καὶ μηδὲν ἀντέχειν· οὗτοι δὲ καὶ ἀπὸ τῶν μαθητῶν αὐτοῦ θαυμαζόντων πρόντες οὐκ ἐπείθοντο. μὴ δὴ μικρὸν εἰς νομίσῃς τὸ γεγονὸς θαῦμα. τίς γὰρ αὐλὴν ἔπεισε τὸν ἰδίων ἀφαρπασθῆναι, καὶ ταῦτα πένητας ὄντας ἴσως καὶ γεωργούς, μὴ δυσχερᾶναι; καὶ τί λέγω, μὴ δυσχερᾶναι; μὴ ἔρεσθαι, ἢ καὶ ἐρομένους σιγῆσαι καὶ συγχωρῆσαι; καὶ μὲν ἀμφότερα ὁμοίως θαυμαστὰ ἴσως, καὶ εἰ μηδὲν εἶπον ἑλκομένων τῶν ὑποζυγίων, καὶ εἰ εἰπόντες, καὶ ἀκούσαντες, ὅτι ὁ κύριος αὐτῶν χρείαν ἔχει, προεχώρησαν καὶ οὐκ ἀντέστησαν, καὶ ταῦτα οὐκ αὐτὸν ὁρῶντες, ἀλλὰ τοῦ μαθητοῦ. ἀπὸ τούτων οὖν δῆλον παιδεύει, ὅτι καὶ Ιουδαίους ἐδίωκον καὶ ἀκοντας κωλῦσαι δι' ὅλης μέλλοντας αὐτοῦ ὀπίσω, καὶ ἀφώνους κατασῆσαι· ἀλλ' οὐκ ἠδέλησε. καὶ ἕτερον δὲ μὴ τούτων διδάσκει τοὺς μαθητάς, ὅπερ δὴ αἰτήσῃ, δίδοναι, κἂν αὐτὸν κελεύσῃ τὸν ψυχὸν προέσθαι, καὶ ταύτην προέχειν καὶ μὴ ἀντιλέγειν. εἰ γὰρ (ω) ἀγνώσοι αὐτῷ προεχώρησαν, πολλῷ μᾶλλον ἀδεῶς ἀπάντων δέξασθαι δεῖ. πρὸς δὲ τοῖς εἰρημένοις καὶ ἑτέρωθεν πάλιν προφητείαν ἐπλήρου διπλῆν· τὴν μὲν, διὰ ἔργων· τὴν δὲ διὰ ῥημάτων. καὶ ἡ μὲν διὰ τῶν ἔργων ἦν, ἡ διὰ τῆς καθέδρας τῆς ὄνου· ἡ δὲ διὰ τῶν ῥημάτων, ἡ δὲ προ-

φήτου

φήτου Ζαχαρίου. καὶ γὰρ εἶπεν, ὅτι καθεδεῖται ὁ βασιλεὺς ἐπὶ ὄνου· καὶ καθίσας αὐτὸς καὶ πληρώσας αὐτὴν, ἑτέραν πάλιν ἐδίδου προφητείας ἀρχὴν, δι' ὧν ἐποίει, τὰ μέλλοντα προδιατυπῶν. πῶς καὶ τίνι τρόπῳ; τῶν ἀκαθάρτων ἐθνῶν τὴν κλῆσιν προανεφώνει, καὶ ὅτι αὐτοῖς ἐπαναπαύσεται, καὶ ἥξουσιν αὐτῷ καὶ ἕψονται, καὶ προφητεία διεδέχετο προφητείαν. γρ. περιαναπαύσεται, ἐμοὶ δὲ οὐ διὰ τοῦτο δοκεῖ μόνον ἐπὶ τὴν ὄνον καθίσαι· ἀλλὰ καὶ μέτρον ἡμῖν φιλοσοφίας παρέχων. οὐ γὰρ δὴ μόνον προφητείας ἐπλήρου, οὐδὲ δόγματα ἐφύτευε τὰ τῆς ἀληθείας· ἀλλὰ καὶ τὸν βίον ἡμῖν διώρθου δι' αὐτῶν τούτων, πανταχοῦ κανόνας ἡμῖν τιθεὶς τῆς ἀναγκαίας χρείας, καὶ διὰ πάντων τὴν ζωὴν κατορθῶν τὴν ἡμετέραν. διὰ τοῦτο καὶ ἡνίκα τίκτεσθαι ἔμελλεν, οὐκ ἐπεζήτησε λαμπρὰν οἰκίαν, οὐδὲ μητέρα πλουσίαν καὶ περιφανῆ· ἀλλὰ πενιχρὰν, καὶ μνηστῆρα τέκτονα ἔχουσαν, καὶ ἐν καλύβῃ γεννᾶται, καὶ ἐν φάτνῃ τίθεται· καὶ μαθητὰς ἐκλέγων, οὐ ῥήτορας καὶ σοφοὺς, οὐδὲ εὐπόρους καὶ εὐγενεῖς, ἀλλὰ πένητας καὶ ἐκ πενήτων καὶ πάντοθεν ἀσήμους ἐξελέξατο· καὶ τράπεζαν παρατιθέμενος, ποτὲ μὲν κριθίνους ἄρτους παρατίθεται, ποτὲ δὲ παρ' αὐτὸν τὸν καιρὸν ἐξ ἀγορᾶς τοῖς μαθηταῖς ὠνεῖσθαι κελεύων· καὶ στιβάδα ποιῶν, ἀπὸ χόρτου ποιεῖ· καὶ ἱμάτια ἀμφιεννύμενος, εὐτελῆ καὶ τῶν πολλῶν οὐδὲν διαφέροντα περιβάλλεται· οἰκίαν δὲ οὐδὲ ἔχει. εἰ δὲ καὶ μεταβῆναι ἐκ τόπου εἰς τόπον ἔδει, ὁδοιπορῶν τοῦτο ποιεῖ· καὶ οὕτως ὁδοιπορῶν, ὡς καὶ κοπιᾶν. καὶ καθήμενος, οὐ θρόνων δεῖται, οὐδὲ προσκεφαλαίου, ἀλλ' ἐπὶ τοῦ ἐδάφους, ποτὲ μὲν ἐν τῷ ὄρει, ποτὲ δὲ παρὰ τῇ πηγῇ· καὶ οὐ παρὰ τῇ πηγῇ μόνον, ἀλλὰ καὶ μόνος, καὶ Σαμαρείτιδι διαλέγεται. πάλιν λύπης μέτρα τιθεὶς, ἡνίκα θρηνῆσαι ἔδει, δακρύει ἠρέμα, πανταχοῦ κανόνας, ὅπερ ἔφην, καὶ ὅρους πηγνὺς, μέχρι ποῦ προβαίνειν δεῖ, καὶ παραιτέρω μηκέτι. διὰ δὴ τοῦτο καὶ νῦν, ἐπειδὴ συνέβαινέ τινας ἀσθενεστέρους ὄντας ὑποζυγίων δεῖσθαι, κἀν ταῦτα μέτρον ἔθηκε, δεικνὺς ὅτι οὐχ ἵπποις, οὐδὲ ἡμιόνους ζεύξαντας φέρεσθαι δεῖ, ἀλλ' ὄνῳ κεχρῆσθαι καὶ περαιτέρω μὴ προβαίνειν, καὶ πανταχοῦ τῆς χρείας εἶναι. ἴδωμεν δὲ καὶ τὴν προφητείαν τὴν διὰ τῶν ῥημάτων, τὴν διὰ τῶν πραγμάτων. τίς οὖν ἡ προφητεία; ἰδοὺ, ὁ βασιλεύς σου ἔρχεταί σοι πρᾶος καὶ ἐπιβεβηκὼς ἐπὶ ὑποζύγιον καὶ πῶλον νέον· οὐχὶ ἅρματα ἐλαύνων, ὡς οἱ λοιποὶ βασιλεῖς· οὐ φόρους ἀπαιτῶν, οὐ σοβῶν καὶ δορυφόρους περιάγων· ἀλλὰ πολλὴν τὴν ἐπιείκειαν κἀντεῦθεν ἐπιδεικνύμενος. ἐρώτησον τοίνυν τὸν Ἰουδαῖον, ποῖος βασιλεὺς ὀχούμενος ἐπὶ ὄνου ἦλθεν εἰς Ἱερουσαλήμ. ἀλλ' οὐκ ἂν ἔχοι εἰπεῖν, ἀλλ' ἢ τοῦτον μόνον. ἐποίει δὲ ταῦτα, ὅπερ ἔφην, τὰ μέλλοντα προδηλῶν. ἐνταῦθα γὰρ ἡ ἐκκλησία δηλοῦται διὰ τοῦ πώλου, καὶ ὁ λαὸς ὁ νέος, ὁ ποτὲ μὲν ἀκάθαρτος, μετὰ δὲ τὸ καθίσαι τὸν Ἰησοῦν, καθαρὸς γενόμενος. καὶ ὅρα δι' ὅλου τὴν εἰκόνα σωζομένην. οἱ γὰρ μαθηταὶ λύουσι τὰ ὑποζύγια. διὰ γὰρ τῶν ἀποστόλων κἀκεῖνοι καὶ ἡμεῖς ἐκλήθημεν· διὰ τῶν ἀποστόλων προσήχθημεν, ἐπειδὴ καὶ ἡ ἡμετέρα εὐδοκίμησις ἐκείνους παρεζήλωσε. διὰ τοῦτο φαίνεται ἡ ὄνος ἀκολουθοῦσα τῷ πώλῳ. μετὰ γὰρ τὸ καθίσαι τὸν Χριστὸν ἐπὶ τὰ ἔθνη, τότε ἥξουσι κἀκεῖνοι Ρω. ια. κε. κϛ. παραζηλοῦντες. καὶ τοῦτο δηλῶν ὁ Παῦλος ἔλεγεν· Ὅτι πώρωσις ἀπὸ μέρους τῷ Ἰσραὴλ γέγονεν, ἄχρις οὗ τὸ πλήρωμα τῶν ἐθνῶν εἰσέλθῃ, καὶ οὕτω πᾶς Ἰσραὴλ σωθήσεται. γρ. τότε ὅτι γὰρ προφητεία ἦν, δῆλον ἐκ τῶν εἰρημένων. οὐ γὰρ ἂν ἐμέλησε τῷ προφήτῃ μετὰ τοσαύτης ἀκριβείας τῆς ὄνου τὴν ἡλικίαν εἰπεῖν, εἰ μὴ τοῦτο ἦν. οὐ ταῦτα δὲ μόνον δηλοῦται διὰ τῶν εἰρημένων, ἀλλ' ὅτι καὶ μετ' εὐκολίας αὐτοὺς ἄξουσιν οἱ ἀπόστολοι. ὥσπερ γὰρ ἐνταῦθα οὐδεὶς ἀντεῖπεν εἰς τὸ κατασχεῖν, οὕτως οὐδὲ ἐπὶ τῶν ἐθνῶν οὐδεὶς ἠδυνήθη διακωλῦσαι τῶν κατεχόντων αὐτοὺς ἔμπροσθεν. οὐ κάθηται δὲ ἐπὶ γυμνὸν τὸν πῶλον, ἀλλ' ἐπὶ τὰ ἱμάτια τῶν ἀποστόλων. ἐπειδὴ γὰρ τὸν πῶλον ἔλαβον, ἅπαντα λοιπὸν προΐενται, β. Κορ. ιβ. ιε. καθὼς καὶ Παῦλος ἔλεγεν· Ἐγὼ δὲ ἥδιστα δαπανήσω καὶ ἐκδαπανηθήσομαι ὑπὲρ τῶν ψυχῶν ὑμῶν. σκόπει δὲ τὸ εὐήνιον τοῦ πώλου, πῶς ἀδάμαστος ὢν καὶ χαλινοῦ ἄπειρος, οὐκ ἐσκίρτησεν,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐσκίρτησεν, ἀλλ' ὑπάκλως ἐφέρετο. ὁ γὰρ ἁγὶος τὴν μέλλοντος ἰῶ, δηλοῦσα ὃ καταπειθὲς τῶν ἐθνῶν, καὶ τὴν ἀθεΐαν εἰς ὑπακοὴν μεταβολήν. καὶ γὰρ πάντα εἰργάσατο ὃ ῥῆμα ὃ λέγον· λύσαντες ἀγάγετέ μοι· ὥστε καὶ ἄπακτα εὐτακτα, καὶ τὰ ἀκάθαρτα ἡμέρας λοιπὸν καθαρά. ἀλλ' ὄρα ὃ ταπεινὸν τῶν Ιουδαίων. τοσαῦτα θαύματα εἰργάσατο, καὶ οὐδέποτε αὐτὸν οὕτως ὠξεπλάγησαν. ὅπου, ἦ εἶδον ὄχλον ζωοτρέχοντα, τότε θαυμάζουσιν.

Εστείθη γὰρ πᾶσα ἡ πόλις λέγουσα, Τίς ἐστιν οὗτος;

Οἱ δὲ ὄχλοι ἔλεγον· οὗτός ἐστιν Ιησοῦς ὁ προφήτης, ὁ ἀπὸ Ναζαρὲτ τῆς Γαλιλαίας. Καὶ ὅτε ἐδοξάζετο μέγα λεγὸν, τότε χαμαίζηλος ἦν αὐτῶν ἡ γνώμη καὶ ταπεινὴ καὶ σεσυρμένη. ταῦτα δὲ αὐτὸς ἐποίει, ὑ πομιμνήσκων ἵνα ἐπιδείκνυμθος, ἀλλ' ὁμοῦ μὲν, ὅπερ ἔλεγον, καὶ προφητείαν πληρῶν, καὶ φιλοσοφίαν παιδεύων· ὁμοῦ δὲ καὶ μαθητὰς προσαναθούμενος λυπουμένους διὰ τὸν θάνατον, καὶ δεικνὺς ὅτι ταῦτα πάντα πάθη ἑκών. σὺ δέ μοι θαύμασον τὸν προφήτην τὴν ἀκρίβειαν, πῶς πάντα προεῖπε· καὶ γὰρ ὁ Δαβὶδ, καὶ ὁ Ζαχαρίας προανεφώνησεν.

Οὕτω καὶ ἡμᾶς ποιῶμθα, καὶ ὑμνῶμθα, καὶ ἱμάτια προτιθώμεθα τοῖς αὐτὸν φέρουσι. Ὑνος γὰρ αὖ ἐπήνου ἄξιοι, ὅταν μὴ τὴν ὄνον προβάλλωσιν εἰς ὃ ἐκάθητο, ἀλλὰ τοῖς ποσὶν αὐτῆς ἐκστρωννύωσι τὰ ἱμάτια· ἡμᾶς δὲ αὐτὸν γυμνὸν ὁρῶντες, καὶ ὅλως ἀποδύσαι κελεύομθοι, ἀλλ' ἀπὸ τῶν χειμώνων δαπανᾶν, μηδὲ ὄντως ὦμθν φιλότιμοι; καὶ οἱ μὴ προακολουθοῦντες ἐμπροσθεν καὶ ὄπισθεν· ἡμεῖς δὲ καὶ προπέμποντα προπεμπόμθα καὶ διαχρυσώμθα καὶ ὑβρίζομθν; πόσης ταῦτα κολάσεως ἄξια; πόσης ἀμφορίας; προσέρχεταί σοι δεόμθος ὁ δεσπότης, καὶ οὐδὲ ἀκοῦσαι βούλει τῆς ἱκετηρίας, ἀλλ' ἐγκαλεῖς καὶ ἐπιπλήττεις, καὶ ταῦτα ἀκούσας τοιούτων ῥημάτων. Εἰ δὲ ἕνα αὐτὸν ἰδοὺς καὶ ὀλίγον ἀργύριον, οὕτω βαναύσος εἶ καὶ ὀλίγωρος καὶ ἀκηκοὼς, εἰ πάντα κενώσας ἔδει, τίς ἂν ἐγένου; οὐχ ὁρᾷς τοὺς ὀνῶ θεάτρῳ φιλοτίμως, ὅσα ταῖς πόρναις προσίενται; σὺ δὲ οὐδὲ ὃ ἥμισυ τούτων δίδως, οὐδὲ ὃ πολλοστὸν πολλάκις. ἀλλ' ὁ μὲν δεξιὸλαος χελεύει δοῦναι τοῖς τυχοῦσι, γέεννάν τε προξενῶν, καὶ δίδως· ὁ δὲ Χριστὸς τοῖς δεομένοις, βασιλείαν ἐπαγγελλόμενος, καὶ οὐ μόνον οὐ δίδως, ἀλλὰ καὶ ὑβρίζεις, καὶ αἱρῇ μᾶλλον ἐπακοῦσαι τοῦ διαβόλου ἵνα κολασθῇς, ἢ πεισθῆναι τοῦ Χριστοῦ καὶ σωθῆναι. καὶ τί ταύτης χεῖρον γένοιτ' ἂν τῆς προπαιδείας; ὁ μὲν γέεννάν σοι προξενεῖ, ὁ δὲ βασιλείαν· καὶ τούτων ἀφέντες, ἐκείνῳ προστρέχετε· καὶ ὦ μὴ προσιόντα παπεμπόμθα, ὦ μαχόμενον ὄντα προσκαλεῖσθε. καὶ ταῦτα ἔξω, οἷς ἂν εἰ βασιλεὺς μὴ ἀλυρηίδα ἔχων, καὶ δεόμθημα προστεινόμθος, μὴ πείθοι· λῃστὴς δὲ μάχαιραν ἐπισείων καὶ θάνατον ἀπειλῶν, πείθοι. ταῦτα οὖν ἐννοοῦντες, ἀγαπητοὶ, δεδιελέγχωμθν ὀλίγα τοῦτο ποτε καὶ ἀνανήψωμθν. καὶ γὰρ ἐγὼ λοιπὸν αἰσχύνομαι περὶ ἐλεημοσύνης διαλεγόμθος, διὰ τὸ πολλάκις περὶ ταύτης τῆς ἐπιτάσεως εἰπὼν, μηδὲν ἄξιον ἀνῦσαι τῆς παραινέσεως. γέγονε μὴν γὰρ τι πλέον, οὐ τοσοῦτον δὲ ὅσον ἐβουλόμην. ὁρῶ μὴν γὰρ ἀπιόντας ὑμᾶς, οὐ δακνηλῆ δὲ τῇ δεξιᾷ· διὸ καὶ φοβοῦμαι, μή πως καὶ φειδομένως θερίσητε. ὅτι γὰρ φειδομένως σπείρομθν, ἐξεπίσωμθν, εἰ δοκεῖ. τίνες εἰσὶ πλείονες ἐν τῇ πόλει, πένητες ἢ πλούσιοι; καὶ τίνες οὔτε πένητες οὔτε πλούσιοι, ἀλλὰ μέσῳ χώρᾳ ἔχοντες; οἶδ' ὅτι ὃ δέκατον μέρος πλουσίων, καὶ ὃ δέκατον πενήτων τῶν ὅλως ἐχόντων. οἱ δὲ λοιποὶ τῶν μέσων εἰσί. διέλωμθν τοίνυν εἰς τοὺς δεομένους ὃ πλῆθος τῆς πόλεως, καὶ ὄψεσθε τὴν αἰσχύνην ὅσην. οἱ μὲν γὰρ σφόδρα πλουτοῦντες, ὀλίγοι· οἱ δὲ μετ' ἐκείνους, πολλοί· πάλιν οἱ πένητες πολλῷ τούτων ἐλάττους. ἀλλ' ὅμως τοσούτων ὄντων τῶν δυναμένων τοῦ παραινεῖσθαι τὸ φεῖσθαι, πολλοὶ πεινῶντες καθεύδουσιν· ὑ διὰ τὸ μὴ δύνασθαι μετ' εὐκολίας αὐτοῖς ἐπιτρέπειν τοῦ ἔχειν, ἀλλὰ διὰ τὴν πολλὴν αὐτῶν ὠμότητα καὶ ἀπανθρωπίαν. Εἰ γὰρ διέλοιν-

Ὅρα πῶς ὑφειμένως εἰσάγει τὸν προφήτην καὶ ταπεινὸν καὶ δόξαν. πρότερον εἶπε, τί ὑμῖν δοκεῖ, τίνος υἱός ἐστιν; ὡς δι' ἐρωτήσεως εἰς ἀπόκρισιν αὐτοὺς ἀγαγεῖν. εἶτα ὅπερ εἶπον, τοῦ Δαυὶδ, ἐπειδὴ ὁ Δαυὶδ πάδε φησίν· ἀλλὰ πάλιν ἐν ἐρωτήσεως· πῶς οὖν Δαυὶδ ἐν πνεύματι Κύριον αὐτὸν καλεῖ; ὡς μὴ προσῆναι αὐτοῖς τὰ λεγόμενα. διὰ δὲ εἶπε, τί ὑμῖν δοκεῖ περὶ ἐμοῦ, ἀλλὰ περὶ τοῦ Χριστοῦ; διὰ τοῦτο καὶ οἱ ἀποστολοι ὑφειμένως διελέγοντο περὶ τοῦ πατριάρχου Δαυὶδ λέγοντες, Ἐξὸν εἰπεῖν μετὰ παρρησίας περὶ τοῦ πατριάρχου Δαυὶδ, ὅτι καὶ ἐτελεύτησε καὶ ἐτάφη, καὶ αὐτὸς ὁμοίως. διὰ τοῦτο ὡς ἐν ἐρωτήσεως τάξει καὶ συλλογισμοῦ τὸ δόγμα εἰσάγει λέγων· πῶς οὖν Δαυὶδ ἐν πνεύματι Κύριον αὐτὸν καλεῖ, λέγων· εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου; καὶ πάλιν, Εἰ οὖν Δαυὶδ καλεῖ αὐτὸν Κύριον, πῶς υἱὸς αὐτοῦ ἐστιν; οὐκ αἴρω τὸ εἶπεν) αὐτοῦ υἱὸς (ἄπαγε· ἡ γραφὴ αὖ Πέτρῳ ἐπετίμησε τάδε τοῦτο) ἀλλὰ τὴν ἐκείνων ὑποψίαν διορθούμενος. ὥστε ὅταν λέγῃ, πῶς υἱὸς αὐτοῦ ἐστι, τοῦτο λέγει· οὐχ οὕτως ὡς ὑμεῖς φατε. ἐκεῖνοι γὰρ ἔλεγον, ὅτι μόνον υἱὸς αὐτοῦ ἐστι, καὶ οὐχὶ καὶ Κύριος, καὶ τοῦτο μετὰ τὴν μαρτυρίαν· καὶ τότε ὑφειμένως. Εἰ οὖν Δαυὶδ Κύριον αὐτὸν καλεῖ, πῶς υἱὸς αὐτοῦ ἐστιν; ἀλλ' ὅμως καὶ ταῦτα ἀκούσαντες, οὐδὲν ἀπεκρίναντο. οὐδὲ γὰρ ἐβούλοντό τι τῶν δεόντων μαθεῖν. διὰ τοῦτο ἐπάγει λέγων, ὅτι Κύριος αὐτοῦ ἐστι· μᾶλλον δέ, οὐδὲ τοῦτο αὐτοὺς ἀπολελυμένως, ἀλλὰ τῷ προφήτῃ μὴ ἑαυτὸν ἀναλαβεῖν, διὰ τὸ σφόδρα ἀπιστεῖσθαι· ὑπὸ αὐτῶν δὲ μᾶλλον ἐβλήθαι περὶ αὐτοῦς.. ὃ δὴ μάλιστα χρὴ σκοπεῖν, καὶ ταπεινὸν δὲ ὑφειμένον τι λέγῃ περὶ αὐτοῦ, μὴ σκανδαλίζεσθαι. ἡ γὰρ αὐτὰ αὐτὴ μετὰ τῶν ἑτέρων πλειόνων, τὸ συγκαταβαίνοντα ἐκείνοις μᾶλλον λέγειν. διὰ τοῦ νῦν ἐν τάξει μὲν πτώσεως καὶ ἀποκρίσεως δογματίζει· αἰνίττεται δὲ καὶ οὕτω τὴν ἀξίαν αὐτοῦ. οὐ γὰρ ἴσον ἀκοῦσαι Ἰουδαίων Κύριον τοῦ Δαυίδ. σὺ δέ μοι σκόπει τὸ θαῦμα. ὅτε γὰρ εἶπεν, ὅτι εἷς ἐστι Κύριος, τότε καὶ περὶ ἑαυτοῦ εἶπεν, ὅτι Κύριός ἐστι· τὸ ἀπὸ προφητείας, οὐκ ἔτι ἀπὸ ἔργων μόνον· καὶ δείκνυσιν αὐτὸν ὑπὸ αὐτοῦ ἀμνημόνευτον αὐτοῦ πατέρα (ἕως ἂν θῶ γάρ, φησι, τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου) τὸ πολλῷ κάντεῦθεν ὁμόνοιαν τοῦ γεγεννηκότος πρὸς αὐτὸν τὸ τιμιον. καὶ τούτῳ τὸ τέλος ἐπιτίθησι τῇ προς αὐτὸν προαγωγῇ ὑψηλόν τε καὶ μέγα τὸ ἱκανὸν αὐτῷ ἀπορράψαι τὰ σώματα. καὶ γὰρ ἐσίγησαν δι' ἐκείνου, οὐχ ἑκόντες, ἀλλὰ τῷ μηδὲν ἔχειν εἰπεῖν· καὶ ὅτω καιρίαν ἐδέξαντο πληγήν, ὡς μηκέτι τολμῆσαι τοῖς αὐτοῖς ἐπιχειρῆσαι λοιπόν.

46 Οὐδεὶς γὰρ, φησιν, ἐτόλμησεν ἀπὸ τῆς ἡμέρας ἐκείνης ἐπερωτῆσαι αὐτόν.

Οὐ μικρὸν δὲ τοῦτο τοῖς ὀχλοις ὠφέλει· διὰ καὶ πρὸς αὐτοὺς λοιπὸν τρέπει τὸν λόγον, ἀποστήσας τοὺς λυκους καὶ ἀποκρουσάμενος αὐτοὺς ἀπὸ τῆς ἐπιβουλῆς. ἐκεῖνοι γὰρ οὐδὲν ἐκέρδαινον ὑπὸ κενοδοξίας ἁλόντες, καὶ εἰς τὸ δεινὸν ἦλθον πάθος ἐμπεσόντες. δεινὸν γὰρ τὸ πάθος καὶ πολυκέφαλον· οἱ μὲν γὰρ ἀρχῆς διὰ τὴν αὐτὴν, οἱ δὲ χρημάτων, ἄλλοι δὲ ἰχθύος ἐρῶσιν. ὁθεν δὲ βασίζουσι τὸ ὅπερ ἐλεγ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροια

μοσυνίω ἔρχεται ⸌ νηστείαν καὶ βύζας καὶ διδασκαλίαν, καὶ πολλαὶ αἱ τοῦ θηρίου τούτου κεφαλαί.

ΗΘΙΚΟΝ Ἀλλὰ ὃ μέ ὅτι τοῖς ἄλλοις ἐκείνης κενοδοξῶ, θαυμαστὸν οὐδέν· ὃ δ' ὅτι νηστείας καὶ βύζης, τοῦτο ἔστι τὸ ξένον καὶ δακρύων μεστόν. ἀλλ' ἵνα μὴ πάλιν ἐγκαλῶμεν μόνον, φέρε καὶ Ⓦ ζητ. γάμου. ζήτημα, δι' ὃ ἡμῶν αὐτῶν φθυξώμεθα, εἴπωμεν. πρὸς τίνας οὖν ἀποδυσόμεθα πρόφασιν; πρὸς τοὺς ὅτι γρηγόρασιν, ἢ τοὺς ὅτι ἱματίοις, ἢ τοὺς ὅτι ἀργυρᾶς, ἢ τοὺς ὅτι διδασκαλίας, ἢ τοὺς ὅτι σώματι, ἢ τοὺς ὅτι τέχναις, ἢ τοὺς ὅτι κάλλει, ἢ τοὺς ὅτι καλλωπισμοῖς, ἢ τοὺς ὅτι ὠμότητι, ἢ τοὺς ὅτι φιλανθρωπίᾳ καὶ ἐλεημοσύνῃ, ἢ τοὺς ὅτι πονηρίᾳ, ἢ τοὺς ὅτι πλούτῳ, ἢ τοὺς μὴ τὸ πλοῦτο κενοδοξοῦντας; καὶ γὰρ ὅπερ ἔφην, πολλὰς ἔχει τὰς πλεκτάνας τοῦτο τὸ πάθος, καὶ περὶ πέρα τῆς ζωῆς ἡμῶν πρόφασιν. καὶ γὰρ ὁ δεινά, φησιν, ἀπέθανε. καὶ ἵνα θαυμασθῇ, τὰ καὶ τὰ ἐπεσκηψε γενέσθαι. καὶ Διὰ τοῦτο ὁ δῆνα πένης, ⸌ ὁ δεῖνα πλούσιος. τὸ γὰρ χαλεπὸν τοῦτο, ὅτι καὶ ἀπὸ τῶν ἐναντίων ζωύσηκε. πρὸς τίνας οὖν σησόμεθα καὶ θαρραλεξόμεθα πρόφασιν; οὐ γὰρ ἀρκεῖ πρὸς πάντας εἷς καὶ ὁ αὐτὸς λόγος. βούλεσθε οὖν πρὸς τοὺς ὅτι ἐλεημοσύνῃ κενοδοξοῦντας; ἔμοιγε δοκεῖ. καὶ γὰρ σφόδρα τὸ πρᾶγμα τοῦτο φιλῶ, καὶ ἀληθῶ λυμαινόμενον ὁρῶν, καὶ καθάπερ τινὶ βασιλικῇ κόρῃ ⟨θφὸν [καὶ] περιαγωγὸν ἐπιβουλεύουσαν τὴν κενοδοξίαν. τρέφει μέν γὰρ αὐτὴν ἐπ' ἀρχμῇ ὃ καὶ ζημίᾳ μαστροπεύουσα · * τοῦ * καὶ μὲν παθὸς κελεύουσα καταφρονῆν, καλλωπίζεσθαι δ' πρὸς μισθὸν καὶ καταθύεσθαι πολλάκις ἀνδρῶν ἀρέσκειαν, ⸌ τοιοῦτον αὐτὴν πρόσωπον κόσμου, οἷς Ⓐ ἔξω βούλονται, αἰσχρὸν καὶ ἄτιμον, ἀχ οἷς ὁ πατήρ. φέρε δὴ οὖν πρὸς τούτους ἀποτεινώμεθα, καὶ ἔστω τις" ἐλεημοσύνη νομοθήτης μὴ δαψιλείας πρὸς τὸ τῶν πολλῶν ὑπόδειγμα. σκοπῶ πρόφασιν αὐτῇ δικαίαν τοῦ θαλάμου τοῦ παντεκοῦ. καὶ ὁ μὲν πατὴρ οὐδὲ τὴν ἀριστερᾶ φαίνεσθαι κελεύει· αὕτη δ' ἑαυτὸν τοῖς δούλοις ὑπεδείκνυσι καὶ τοῖς τυχοῦσι καὶ οὐδὲ ⸌ εἶδόσιν αὐτόν. ⸌ εἶδες πόρνην καὶ μαστρόπον εἰς ἔρωτα αὐτὸν ἐμβάλλουσαν ἀπίστων ἀνθρώπων, ἵν', ὡς ἀν ἐκεῖνοι κελεύωσιν, οὕτως αὐτὴ ῥυθμίζῃ; βούλει ἰδεῖν πῶς ὁ πόρνον μόνον, ἀλλὰ καὶ μανικὸν ποιᾷ τὸν τοιαύτην ψυχήν; σκόπει καταμάθανε αὐτῆς τὸν γνώμην. ὅταν γὰρ Ⓦ θέαμα ἀφεῖσα, πρέχῃ ὀπίσω φραπεῖν καὶ οἰκοτείχων, κᾆτα ἀμφοδα καὶ τοῖς ξενοποιοῖς διώκουσα τὸν μισοῦσαν αὐτὸν, τὸν αἰσχρὸν καὶ δυσειδῆ καὶ ὁδὲ ἰδεῖν αὐτὸν βδελυρόν, τὸν, ὅπερ πρόσεισι αὐτῇ, μισοῦσαν αὐτὸν, τί ἄν οἶσθ' ἂν τούτου μανικώτερον; ὁδένα γὰρ ὕτω μισοῦσιν Ⓐ πολλοί, ὡς τὸν δεομένους τῆς παρ' αὐτοῦ δόξης. μυρίας γοῦν κατηγορίας κατ' αὐτοῦ πλέκουσι, καὶ ἑαυτὸν ἔξω, οἷς ἂν εἴ τις παρθένον καὶ θυγατέρα βασιλέως ἀπὸ τοῦ θρόνου κατηγγυκὼν τῷ βασιλικῷ, κελεύοι μοιχοῖς ἀνδράσι καὶ ἀσελγέσιν αὐτὴν αὐτὸν ἐκδιδόναι· εἰ δ' ὅτι μὲν γὰρ, ὅσον ἀνδρὸς διώκεις, τοσοῦτόν σε ἀποστρέφον)· ὁ δὲ Θεὸς, ἀνθ' παρ' αὐτοῦ δόξαν ζητῆς, τοσούτῳ μᾶλλον καὶ ἐφέλκεταί σε καὶ ἐπαγγεῖ, καὶ πολλαπλασίονα ἀποδίδωσί σοι τὸν ἀμοιβήν. εἰ δ' βούλει καὶ ἑτέρωθεν αὐτῆς τὸ ζημίαν καταμαθεῖν, ὅταν δ' ὡς πρὸς ὑπόδειξιν καὶ φιλοτιμίαν, ἀλλὰ λόγισαι πόσοι σε λοιπὸν ἐπεισέρχεται λύπη, καὶ πῶς διωκικὴς ἡ ἀθυμία, ἐνοχλοῦντός σοι τοῦ Χριστοῦ καὶ λέγοντος, ὅτι πάντα ἀπώλεσας σε Ⓦ μαθόν. πάντα χοῦ μὲν γὰρ κενοδοξία κακόν· μάλιστα δ' ὅτι" φιλανθρωπία (ὃ τῆς ἑκάστης ἐστὶν ὠμότητος) καὶ ἀλλοτρίας ἐκπομπεύουσα συμφορᾶς, καὶ μόνον οὐχὶ ὀνειδίζουσα τοῖς ἐν πλουτείᾳ. εἰ γὰρ τὰ καὶ ἰδίας λέγειν εὐεργασίας, ὀνειδίζειν ἐστί· τὸ δὲ εἰς ἑτέρους πολλοὺς καὶ καὶ ἀλλ', τί οἴει εἶ); πῶς οὖν ἐκφθυξόμεθα τὸ δεινόν; ἂν μάθωμεν ἐλεεῖν, ἂν ἴδωμεν τίνων δόξαν ὑπιζητοῦμεν. εἰπὲ γάρ μοι, τίς ὁ τῆς ἐλεημοσύνης τεχνίτης ἐστίν; ὁ τὸ πρᾶγμα καταδείξας Θεὸς δηλονότι, ὁ μάλιστα πάντων αὐτὸ εἰδὼς, καὶ πρὸς ἀπειρον αὐτὸ μεταχειρίζων. τί οὖν; ἀν παλαιστὴς μανθάνῃς, πρὸς τίνας ὁρᾶς, ἢ τίσιν ὑπεδείκνυσαν τὰ ἐν τῇ παλαίστρᾳ, ταῦτα λαμβάνων πάλιν καὶ τὰς ἐμβάσεις, ἢ ταῦτα παιδοτρίβῃ; καὶ μὴν Ⓐ πάντες εἰσὶ πολλοί· ὁ δὲ εἷς. τί οὖν ἀν ἐκείνου θαυμάζοντος ἄλλοι καταγελῶσιν, οὐχὶ καὶ σὺ καταγελάσῃ μετ' ἐκείνων αὐτούς; τί δαί, ἀν πυκτεύειν

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

πυκτεύειν μανθάνης; οὐχ ὁμοίως πρὸς ἐκεῖνον ὄψῃ τ' τοῦτο παιδεύειν εἰδότα; ἀν' δὲ λόγοις μετίης, οὐχὶ τ' ῥήτορας τοὺς ἐπαίνους καταδέξῃ, καὶ τ' ἄλλων καταφονήσεις; πῶς οὖν οὐκ ἄξιον, ἐν μὲν ταῖς ἄλλαις τέχναις, πρὸς τ' διδάσκαλον ὁρᾶν μόνον· ἐνταῦθα δ', θεωμενίου ποιεῖν; καίτοιγε οὐκ ἴσον ἡ ζημία. ἐκεῖ μὲν γὰρ, ἀν' πρὸς ὃ δοκιμῶ τοῖς πολλοῖς παλαίης, καὶ μὴ πρὸς ὃ ὀρθῶς διδασκάλῳ, ἐν τῇ πάλῃ ἡ ζημία· ἐνταῦθα δ', ἐν ἀγωνίᾳ ζωῆς γένηται ὁμοίως Θεῷ κτ' ὃ ἐλεᾷν. ἦμοσ' οὖν αὐτῷ ὁμοίως καὶ κτ' ὃ μὴ βπιδείξασθαι. καὶ γὰρ ἔλεγε θεραπόντων, ἵνα μηδενὶ εἴπωσιν. ἀλλὰ βούλει ἐλεήμων κληθῆναι πρὸς τοῖς ἀνθρώποις; καὶ τί ὃ κέρδος; ὃ κέρδος μὴ οὐδέν, ἡ δ' ζημία ἀπειρος. αὖθις γὰρ ὕστοι, ὡς ἐὰς μάρτυρα καλᾷς, λήσεται γίνονται τ' θησαυρῶν τ' ἐν ὑρανοῖς· μᾶλλον δ' οὐχ ὕστοι, ἀλλ' ἡμᾶς ⓐ τὰ ἡμέτερα συλλέγοντες, καὶ σκορπίζοντες τὰ ἄνω κείμενα. ὧν τῆς καινῆς συμφορᾶς καὶ τ' ἀλλοκότου τύτου πάθους. ὅπου σὴς οὐκ ἀφανίζει, οὐδὲ κλέπτης διορύττει, κενοδοξία σκορπίζει. οὗτος ὁ σὴς τ' θησαυρῶν· οὗτος ὁ κλέπτης τ' ὑποκρισίας τῆς ἐν ὑρανοῖς· οὗτος τὸν ἄσυλον καταρρεῖ πλοῦτον· τοῦτο πάντα λυμαίνεται καὶ ἀφανίζει. ὅπου γὰρ εἶδεν ὁ διάβολος, ὅτι καὶ λῃστὰς καὶ σκώληκι καὶ ταῖς ἄλλαις ἐπιβουλαῖς ἀνάλωτον τὸ χωρίον ἐκκενοῖ, διὰ κενοδοξίας καταρρεῖ ⓦ πλοῦτον. ἀνὰ δόξης ἐπιθυμῆς; εἶτα οὐκ ἀρκεῖ σοι ἡ παρ' αὐτοῦ τοῦ λαμβάνοντος, ἡ παρὰ * τ' φιλανθρώπου Θεοῦ, ἀνὰ καὶ τ' παρὰ τ' ἀνθρώπων ἐρᾶς; ὅρα μὴ τοὐναντίον καταμείνῃς· μή τίς σε καταγνῷ ὡς οὐκ ἐλεοῦντος, ἀλλ' ἐκπορπτοῦντος ⓒ φιλοτιμυμένου, ὡς ἐκπεραγωδοῦντος ἀφορείας συμφοράς. καὶ γὰρ μυστήριόν ἐστιν ἡ ἐλεημοσύνη. κλεῖσον τοίνυν τὰς θύρας, ἵνα μή τις ἴδῃ ἅπερ ἐπιδείξαι θέμις. καὶ γὰρ τὰ μυστήρια τὰ ἡμέτερα τότε μάλιστά ἐστιν, ἐλεημοζύνη καὶ φιλανθρωπία Θεοῦ. κτ' γὰρ ὃ πολύ ἔλεος αὖθις οὕτως ἡμᾶς ἀπειθεῖς ἠλέησε. καὶ ἡ παρθένος ἡ δέησις ἐλέους γέμει, ὅταν ἐπὶ τ' συνεργουμένων παρακαλῶμεν· ⓒ ἡ δευτέρα πάλιν, ἐπὶ ἑτέρων τ' ἐν μετουσίᾳ πολὺ ὃ ἔλεος ἐπιζητοῦσα· καὶ ἡ τρίτη ἡ πάλιν ἐπὶ ἰδίων αὐτ'. καὶ αὕτη τὰ παιδία [τὰ ἄμωμα] τ' δήμου παρεβάλλεται, ⓦ Θεοὶ ὅτι ἔλεον παρακαλοῦντα. ὅπου γὰρ αὖθις κατεγνώκαμεν ἑαυτῶν ἁμαρτήματα, ἐπὶ μὲν τ' πολλὰ ἡμαρτηκότων καὶ ἐγκληθῆναι ὀφειλόντων αὖθις βοᾶμεν· ἐπὶ δ' ἡμῶν αὐτ' ⓐ παῖδες, ὧν τῆς ἁπλότητος οὐ ζηλωτὰς ἡ βασιλεία τ' ὑρανῶν μένει. ὁ γὰρ τύπος οὗτος τοῦτο ἐνδείκνυται, ὅτι ⓐ καὶ ἐκείνης οὐ παῖδας ταπεινοὶ καὶ ἁπλαστοι, ὅτοι μάλιστα δύνανται ἐξαπατᾶσθαι οὐ ἐνθυμούμενοι. αὖθις δ' ὃ μυστήριον πόσον ἐλέους, πόσης φιλανθρωπίας, ἴσασιν ⓐ μεμυημένοι. καὶ σὺ τοίνυν κτ' δύνασαι τ' ζῶν ἐλεᾶν ἀν' θεόν, ἀποκλεισον τ' θύραν· αὐτὸς ὁ ἐλεούμενος ἰδέτω μόνος· εἰ δὲ οἱόντε, μηδὲ οὗτος. ἀν' δ' ἀναπετάσῃς, ἐκπορπτεύεις σε τὸ μυστήριον. ἐνόησον ὅτι καὶ αὐτὸς ἐκεῖνος, οὗ τ' δόξαν ἐπιζητεῖς, καὶ αὐτὸς σε καταγνώσεται. καὶ μὲν φίλος ᾖ, πρὸς ἑαυτῷ σε κατηγορήσει· ἀν' δ' ἐχθρός, καὶ πρὸς ἑτέρους σε κωμῳδήσει, καὶ πανδημία ἐκπομπῆς ὢν ἐπιθυμεῖς. σὺ μὲν γὰρ ἐπιθυμεῖς, ἵνα εἴπῃ ὅτι ἐλεήμων· αὐτὸς δ' οὐκ ἐρᾷ τούτου, ἀλλ' ὁ κενόδοξος, ὁ ἀν' θεοπάρεσκος, καὶ ἕτερα πολὺ τούτων χαλεπώτερα. ἀν' δ' κρύψῃς, πάντα ἐρεῖ πάντα τοὐναντία τούτοις· ὁ φιλάνθρωπος, ὁ ἐλεήμων. οὐ γὰρ ἀφίησιν ὁ Θεὸς κρυβῆναι· ἀλλ' ἐὰν σὺ κρύψῃς, ἐκεῖνος καταδήλον ποιήσει· καὶ μεῖζον τὸ θαῦμα, καὶ πλέον τὸ κέρδος. ὥστε καὶ πρὸς τοῦτο αὖθις τὸ δοξάζεσθαι ἐναντίον ἡμῖν τὸ ἐπιδείκνυσθαι. πρὸς γὰρ ὃ κατεύδομεν καὶ ἐπειγόμεθα, πρὸς τοῦτο μάλιστα ἡμῖν αὖθις τοὐναντίον ἀνίστανται. οὐ γὰρ μόνον ἐλεήμονος δόξαν οὐ λαμβάνομεν, ἀλλὰ καὶ τ' ἐναντίαν· καὶ πρὸς ταύτῃ πολλῷ καὶ τ' ζημίᾳ ἐπομνύομεν. πάντων οὖν ἕνεκεν ἀπεχώμεθα ταύτης, ⓒ τῆς τ' Θεοῦ δόξης ἐραστὰς μόνης. οὕτω γὰρ καὶ τ' ἐνταῦθα ἐπιτυχόμεθα δόξης, καὶ τ' αἰωνίων ἀπολαύσομεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τ' αἰώνων. Ἀμήν.

Ομιλ.

κ. ὑποδείκνυσι.

κ. κλέπται διορύττουσι.

* αὐτῷ

κ. τὰς θύρας.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ομιλ. οβ. 1 ΤΟΤΕ Ο ΙΗΣΟΥΣ ΕΛΑΛΗΣΕ ΤΟΙΣ Ο-
χλοις καὶ τοῖς μαθηταῖς αὐτοῦ, 2 Λέγων, Ἐπὶ τῆς καθέδρας
Μωϋσέως ἐκάθισαν οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι.
3 Πάντα οὖν ὅσα ἂν λέγωσιν ὑμῖν ποιεῖν, ποιεῖτε· κατὰ δὲ τὰ ἔργα αὐτῶν μὴ ποιεῖτε.

Δαυ.ε.δ.

ΤΟτε, πότε; ὅτε ταῦτα εἶπεν, ὅτε αὐτοῖς ἐπεσόμισεν, ὅτε ἔσπευσεν εἰς τὸ μηκέτι τολμᾶν πειράζειν αὐτόν, ὅτε ἐδίδαξεν αὐτοὺς ἐχόντως. καὶ ὅπου Κυρίου καὶ Κυρίου ἐμνημόνευσε, πάλιν ὅτι τὸν νόμον αὐτοὺς ἔχει. κατοίγε ὁ νόμος τοιοῦτον οὐδὲν εἶπε, φησιν· ἀλλά, Κύριος ὁ Θεός σου, Κύριος εἷς ἐστιν. ἀλλὰ νόμον ἡ γραφὴ τὴν παλαιὰν ἅπας καλεῖ. ταῦτα δὲ λέγει, δείκνυσι δηλονότι πρὸς τοὺς τὴν πολλὴν πρὸς γογγυνοντας ὁμόνοιαν. εἰ γὰρ ἐναντίος ἦν, τοιοῦτον ἂν εἶπε πρὸς τὸν νόμον· νῦν δὲ τοσαύτην περὶ αὐτὸν ἐπιδείκνυται κελεύει τὴν αἴρεσιν, ὡς καὶ διεφθαρμένων ὄντων τῶν διδασκόντων αὐτὰ, ἐκείνου κελεύειν ἀντέχεσθαι. ἐνταῦθα δὲ καὶ βίου καὶ πολιτείας διαλέγεται, ἐπειδὴ τοῦτο μάλιστα αἴτιον τῆς ἀπιστίας ἦν τοῖς ἀκούουσιν, ὁ διεφθαρμένος βίος, καὶ ὁ τῆς δόξης ἔρως. διόρθωμα τοίνυν αὐτοῖς, ὃ πρῶτον μάλιστά ἐστιν εἰς σωτηρίαν συντελοῦν, τὸ τῶν διδασκάλων μὴ καταφρονεῖν, μηδὲ κατεξαίρεσθαι τῶν ἱερέων, ἂν ἐκ πονηρίας κελεύει. ἂν κελεύει δὲ μόνον, ἀλλὰ καὶ αὐτὸς ποιεῖ. καὶ γὰρ διεφθαρμένους ὄντας καὶ κατακρίνεσθαι τῆς τιμῆς, ἐκείνους μὲν πλέον τὸ κρίμα ἐργάζονται, τοῖς δὲ μαθητευομένοις οὐδὲν μέλλουσι παραλιμπάνειν πρὸς ἀκοῆς πρόφασιν. ἵνα γὰρ μή τις λέγῃ, ὅπερ ὅπου φαῦλος ὁ διδάσκαλος; διὰ τοῦτο ῥᾳθυμότερος γένηται, καὶ ταύτην αἰτίαν τὴν πρόφασιν. ἄνω γοῦν αὐτοῖς ἔσπευσε τὴν ἀρχήν, καί τοι πονηρῶν ὄντων, ὡς καὶ μετὰ τοσαύτην κατηγορίαν εἰπεῖν· πάντα ὅσα ἂν λέγωσιν ὑμῖν ποιεῖν, ποιεῖτε. οὐ γὰρ τὰ ἑαυτῶν λέγουσιν, ἀλλὰ τὰ τοῦ Θεοῦ, ἃ διὰ Μωϋσέως ἐνομοθέτησε. καὶ σκόπει πόσην πρὸς Μωϋσέα κέχρηται τιμῇ, πάλιν τὸ πρὸς τὸν παλαιὸν συμφωνίαν ἐνδεικνύμενος, ὅπουγε καὶ ἐντεῦθεν αὐτοὺς αἰδεσίμους ποιεῖ. ὅτι γὰρ τῆς Μωϋσέως καθέδρας ἐκάθισαν, φησίν. ὅπερ οὐκ εἶχεν αὐτοὺς ἀπὸ βίου ἀξιοπίστους ποιῆσαι, ἀπὸ τῶν ἐγχωρούντων τοῦτο ποιεῖ, τῆς καθέδρας καὶ τοῦ ἐκείνου διδασκαλίας. πάντα οὖν, ὅταν ἀκούσῃς, μὴ πᾶσαν ἄκρατον τὴν νομοθεσίαν· οἷς, τὰ περὶ βρωμάτων, τὰ περὶ θυσιῶν, καὶ ὅσα τοιαῦτα. πῶς γὰρ ἔμελλε ταῦτα λέγειν, ἃ πρὸς παλαιῶν ἦν; ἀλλὰ πάντα φησὶ τὰ διορθούμενα ἦθος, καὶ βέλτιω ποιοῦντα βίον, καὶ τοῖς τῆς καινῆς συμβαίνοντα νόμοις, ἃ οὐκ ἀφίεντα λοιπὸν ὑπὸ τὸν νόμον ζυγὸν εἶναι. διὰ τί οὖν οὐκ ἀπὸ τοῦ νόμου τῆς χάριτος ταῦτα διακρίζει, ἀλλ' ἀπὸ τοῦ Μωϋσέως; ὅτι οὐδέπω καιρὸς ἦν πρὸς τοὺς πολλοὺς ταῦτα σαφῶς διαλέγεσθαι. ἐμοὶ δοκεῖ πρὸς τοὺς Ἑβραίους καὶ ἕτερόν τι προοικονομῶν ταῦτα λέγειν. ὅπερ γὰρ μέλλει κατηγορεῖν αὐτῶν, ἵνα μὴ δόξῃ πρὸς τοῖς ἀνοήτοις τῆς ἀρχῆς αὐτοὺς ταύτης ἐρᾷν, ἢ δι' ἀπέχθειαν τοῦτο ποιεῖν, πρῶτον τοῦτο ἀναιρεῖ, καὶ ἀνύποπτον ἑαυτὸν ποιήσας τότε ἄρχεται τῆς κατηγορίας. καὶ τίνος ἕνεκεν αὐτοὺς ἐλέγχει καὶ μακρὸν λοιπὸν ἀποτείνει λόγους κατ' αὐτῶν; προφυλακτόμενος τοὺς ὄχλους, ὥστε μὴ τοῖς αὐτοῖς πεσεῖν. οὐδὲ γὰρ ὅμοιον ἀπαγορεύειν, καὶ οὐ παίσαντας δεικνύναι· ὥσπερ οὐχ ὅμοιον κωλύειν τὰ δέοντα, καὶ οὐ καρδιοῦντας εἰς μέσον ἄγειν. διὰ τοῦτο καὶ προσλαβὼν φησι· κατὰ δὲ τὰ ἔργα αὐτῶν μὴ ποιεῖτε. ἵνα γὰρ μὴ νομίσωσι διὰ τὸ ἀκούειν αὐτῶν, διὰ τοῦτο καὶ ζηλοῦν, ταύτῃ κέχρηται τῇ ἐπιδιορθώσει, καὶ τὴν δοκοῦσαν αὐτοῖς εἶναι τιμὴν, κατηγορίαν ποιεῖ. ἢ γὰρ διδασκάλου ζημία ἂν ἀθλιώτερον, ὅταν οὗτος μαθητὰς τὸ μὴ προσέχειν αὐτοῖς τῶν βίῳ διασώζῃ; ὥστε ἡ δοκοῦσα

γρ. καταφρόνει.

γρ. πάσης ἀπλῶς.

κηδοσα αὐτῷ εἶ) πρωΐ, μεγίστη κατηγορία ὄντι, ὅταν τοιοῦτον φαίνωνται βίον ἔχοντες, ᾧ ⓐ ζηλωτῶς προσφέρονται. διὰ τοῦτο γὰρ καὶ κατ' αὐτῶν ἐμπίπτει κατηγορίας· οὐ διὰ τοῦτο δὲ μόνον, ἀλλ' ἵνα δείξῃ, ὅτι καὶ ἡ πρότερα ἀπιστία ἰδοὺ ἠπίστησαν, καὶ ὁ φαρισαῖος ὁ μετὰ ταῦτα οὐκ ἐτόλμησαν, ἀ τοῦ φαρωθέντος δὲ ἀπιστηθέντος ἔγκλημα, ἀλλὰ τῆς ἐκείνων ἀγνωμοσύνης κατηγορία. θέα γὰρ πόθεν ἄρχεται, καὶ πόθεν αὔξει τὰ ἐγκλήματα. ὅτι λέγουσί, φησι, καὶ ἀ ποιοῦσιν. ἕκαστος μὲν γὰρ ἐγκλημάτων ⓦ νόμον, μάλιστα δὲ ὁ διδασκαλίας αὐθεντίαν ἔχων. διπλῆ γὰρ καὶ τριπλῆ δίκαιος κατακρίνεσθαι· δι' ἓν μέν, ὅτι παραβαίνει· δι' ἕτερον δέ, ὅτι οὐ τὰς ἄλλας ὀφειλὰς διῄρτωσε, εἶτα χιλιάδων, μείζονος ὑμωρίας ἄξιος διὰ τὸ ὑμεῖς· τρίτον δέ, ὅτι καὶ διαφθείρει μείζονας, ἅτε ἐν διδασκάλου τάξει τιθέντα παράνομα. μεθ' ὧν τούτων καὶ ἕτερον αὐτῷ πάλιν λέγει κατηγόρημα, ὅτι πικροί εἰσι τοῖς ὑποδεεστέροις.

4 Δεσμεύουσι γὰρ φορτία βαρέα καὶ δυσβάστακτα, καὶ ἐπιτιθέασιν ὄντι τοῦ ὤμους τῶν ἀνθρώπων· αὐτὸς δὲ δακτύλῳ αὐτῶν οὐ θέλουσι κινῆσαι αὐτά. Διπλοῦν τὸν τοῦτο λέγει κακόν, αὐτὸς πολλοὺς μὲν καὶ ἄκρων ἀπαιτῶν ἀσυγγνώστως παρὰ τῶν ἐρχομένων βίου ἀκριβείαν, πολλοὺς δὲ ἑαυτοῖς ἐπιτρέπων τὴν ἄδειαν· ὃ τοιοῦτόν ⓦ ἄδικον ἀρχὴν ἔχειν δεῖ· ἐν μὲν τοῖς καθ' ἑαυτόν, ἀσύγγνωστον εἶναι καὶ πικρὸν δικαστήν· ἐν δὲ τοῖς τῶν ἐρχομένων, συγγνωμονικὸν δὲ καὶ ἥμερον, ὧν ὅτοι ὃ ἐναντιώτερον ἐποίουν. τοιοῦτοι γὰρ πάντες ⓐ λόγοις φιλοσοφοῦντες, ἀσύγγνωστοι καὶ βαρεῖς, ἅτε ἀπείρως τῆς διὰ ἔργων διδασκαλίας. ἀ μικρὰ δὲ καὶ αὐτὴ ἡ κακία, οὐδὲ ὡς ἔτυχεν, ἐπιτείνει τὴν ἐμπροσθεν κατηγορίαν. σὺ δέ μοι σκόπει πῶς καὶ ἀ- 20 ζ αὔξει ὃ ἔγκλημα. ἀ γὰρ εἶπεν, ἀ δύανται, ἀλλ' οὐ θέλουσι. εἰ οὐκ εἶπε, βασάσαι· ἀλλὰ, δακτύλῳ κινῆσαι, τουτέστι, οὐδὲ ἐγεῖραι, οὐδὲ ἅψασθαι. ἀλλὰ ποῦ ἀσυδαῖοι καὶ εὔτονοι; ἐν τοῖς κεκωλυμένοις.

5 Πάντα δὲ τὰ ἔργα αὐτῶν ποιοῦσί, φησι, πρὸς τὸ θεαθῆναι τοῖς ἀνθρώποις.

ἴσ. ὕπερ Εἰς κενοδοξίαν αὐτοὺς διαβάλλων ταῦτα λέγει, "ἅπερ αὐτοὺς καὶ ἀπώλεσε. τὰ μὲν γὰρ ἔμπροσθεν, ὠμότητος ἦσαν καὶ ῥᾳθυμίας· ταῦτα δέ, δοξομανίας. τοῦτο ἀπέστησεν αὐτοὺς τοῦ Θεοῦ, τοῦτο ἐν ἑτέρῳ θεάτρῳ ἀγανίζεσθαι προσκαθίσαι, καὶ διέφθειρεν. οἷοις γὰρ αἰτίοις ἔ- χει τοῦ θεαθῆναι (ἐπεὶ τούτοις ἐπαιδεύθη) καὶ τοῦ ἀγῶνας. καὶ ὁ μὲν ἐν γυναιξὶ παλαίων, τοιαῦτα καὶ τὰ ἀγωνίσματα μέτεισιν· ὁ δὲ ἐν ψυχροῖς καὶ ἀναπεπτωκόσι, καὶ αὐτὸς ῥᾳθυμότερος γίνεται. εἰ, ἔχει τις θεατὴν γέλωτι χαίροντα· γίνῃ γελωτοποιὸς καὶ αὐτός, ἵνα τέρπῃ ⓦ θεατήν· ἕτερος ἀσυδαῖον καὶ φιλοσοφοῦντα· ἀσυδάζει καὶ αὐτὸς τοιοῦτος εἶναι, ὅπως τοιαύτην τοῦ ἐπαινουμένου ἡ γνώμη. ὅρα δὲ πάλιν καὶ ἐνταῦθα μετ' ὀπτασίας τὸ ἔγκλημα. οὐδὲ γὰρ τὰ μὴ ὄντα, τὰ δὲ ἕτερος ποιοῦσιν· ἀλλὰ πάντα ἁπλῶς ὄντως. εἶτα ἐγκαλέσας αὐτοῖς κενοδοξίαν, δείκνυσιν οὐδὲ ὅτι τοῖς μεγάλοις καὶ ἀναγκαίοις κενοδοξοῦσιν (οὐδὲ γὰρ εἶχον· ἔρημοι γὰρ ἦσαν κατορθωμάτων·) ἀλλ' ὅτι * ψυχροῖς καὶ ἀτελέσι, καὶ ἃ τῆς κακίας αὐτῶν τεκμήρια ἰδοὺ.

* μικροῖς καὶ

Πλατύνουσι γὰρ τὰ φυλακτήρια αὐτῶν, φησι, καὶ μεγαλύνουσι τὰ κράσπεδα τῶν ἱματίων αὐτῶν. Καὶ ἵνα ταῦτά ἐστι τὰ φυλακτήρια καὶ τὰ κράσπεδα; ὅπως ζωηρῶς ἐπελθὼν θαύμασον τὴν ἀνεργησίαν τοῦ Θεοῦ, ἐκέλευσεν ἐγγράφειν βιβλίοις μικροῖς τὰ ῥήματα αὐτά, καὶ ἐξαρτᾶσθαι αὐτὰ τῶν χειρῶν αὐτῶν (διὰ καὶ ἔλεγε· Ἔσται σοι ἀσάλευτα" ἐν Δευτ. ε. π. ὀφθαλμοῖς σου) ἃ φυλακτήρια ἐκάλουν· ὡς πολλὰ νῦν τῶν γυναικῶν βιαίως τῶν πραγμάτων ἐξαρτῶσαι ἔχουσι. καὶ ἵνα καὶ ἑτέρωθεν πάλιν ὑπομιμνήσκωνται, ὁ πολλοὶ πολλάκις ποιοῦσιν ὡς ὑπολαμβανόμενοι, λίνῳ ἢ χρόχῃ ⓦ δακτύλιον ἀποδεσμοῦντες, τοῦτο Αελθ. π. λπ. ὁ Θεὸς ὥσπερ παιδίοις ἐκέλευσε ποιεῖν, κλωσμα ὑακίνθινον ὑπὲρ τῶν ἱματίων ἐπὶ τῶν ὤμων τῶν ἐπὶ τοὺς πόδας ἀπορράπτεσθαι· ἵνα προσέχοντες ἀναμιμνήσκωνται τῶν ἐντολῶν, καὶ

ἐκλάθ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐκαλοῦντο κεφάσεδα. ἐν τούτοις τοίνυν ἦσαν οἱ σπουδαῖοι, τοὺς τελαμῶνας τῶν βιβλίων πλατυύοντες, καὶ τὰ κρᾶσπεδα μεγαλοποιοῦντες· ὅπερ ἐσχάτης κενοδοξίας ἦν. Τίνος γὰρ ἕνεκεν φιλοτιμῇ, καὶ πλατυύεις ταῦτα; μὴ γὰρ κατόρθωμά σου τοῦτο ἐστι; μὴ γὰρ τί σε ὀνίνησιν, ἐὰν μὴ τὰ ἀπ' αὐτῶν κερδάνῃς; οὐ γὰρ ὃ μεγαλυύειν ταῦτα καὶ πλατυύειν ὁ Θεὸς ζητεῖ, ἀλλὰ ὃ μεμνῆσθαι τῆς αὐτοῦ κατορθώσεως. Εἰ δὲ ὅτι ἐλεημοσυύης καὶ νηστείας, καίτοι ἐπιπόνοις οὖσι κατορθώμασιν οὖσιν ἡμετέρεσι, φιλοτιμεῖσθαι οὐ δεῖ· πῶς σὺ τούτοις ἐναβρυύῃ ὦ Ἰούδαϊε, ἃ μάλιστά σου κατηγορεῖ ῥᾳθυμίαν; ἢ οὐχὶ ἐν τούτοις μόνοις, ἀλλὰ καὶ ἐν ἑτέροις μικροῖς ταῦτα ἐνόσουν.

6 Φιλοῦσι γάρ, φησι, τὴν πρωτοκλισίαν ἐν τοῖς δείπνοις, καὶ τὰς πρωτοκαθεδρίας ἐν ταῖς συναγωγαῖς,

7 Καὶ τοὺς ἀσπασμοὺς ἐν ταῖς ἀγορᾶις, καὶ καλεῖσθαι ὑπὸ τῶν ἀνθρώπων Ραββί.

Ταῦτα γὰρ εἰ καὶ μικρά τις ἡγεῖται, ἀλλὰ μεγάλων ἐστὶν αἴτια κακῶν. Ταῦτα δὲ πόλεις καὶ ἐκκλησίας ἀνέτρεψε. καί μοι καὶ δακρῦσαι ἔπεισι νῦν, ὅταν τὰς πρωτοκαθεδρίας ἀκούσω καὶ τοὺς ἀσπασμούς, καὶ λογίσωμαι πόσα ἐντεῦθεν ἑτέχθη κακὰ ταῖς ἐκκλησίαις τοῦ Θεοῦ· ἅπερ οὐκ ἀναγκαῖον εἰς ὑμᾶς ἐξειπεῖν νῦν, μᾶλλον δὲ ὅσοι πρεσβύται σοφοὶ δέονται ταῦτα παρ' ἡμῶν μαθεῖν. σὺ δέ μοι σκόπει, πολλὰ τῆς κενοδοξίας ἐνταῦθα. ἔνθα ἐκελεύοντο μὴ κενοδοξεῖν· ἐν ταῖς συναγωγαῖς, ἔνθα εἰσήεσαν ῥυθμίζοντες ἑτέρους. Τὸ γὰρ ὅτι τῶν δείπνων τούτων παθεῖν ὅπως δήποτε, οὐχ οὕτω δοκεῖ δεινὸν εἶναι· καίτοιγε καὶ ἐκεῖ διδάσκαλον θαυμάζεσθαι ἔδει, οὐκ ὅτι τῆς ἐκκλησίας μόνον, ἀλλὰ πανταχοῦ. καθάπερ γὰρ ὁ ἀνθρωπος, ὅπουπερ αὐτὸν φανῇ, δῆλός ἐστι τῶν ἀλόγων διεσπικώς· οὕτω καὶ διδάσκαλον, καὶ φιλοῦμενον, καὶ σιγῶντα, καὶ ἀριστοποιούμενον, καὶ πανταχοῦ τοιοῦτον τοιοῦτα δῆλον εἶναι δεῖ, ἀπὸ τοῦ βήματος, καὶ ἀπὸ τοῦ βλέμματος, καὶ ἀπὸ τοῦ σχήματος, καὶ ἀπὸ πάντων ἁπλῶς. ἐκεῖνοι μὲν πανταχόθεν ἦσαν καταγέλαστοι, καὶ πανταχοῦ κατησχύνοντο, μηδεπώποτε διώκειν ἀφυγὴν ἔδει. φιλοῦσι γάρ, φησιν. Εἰ μὲν τὸ φιλεῖν ἔγκλημα, τὸ ποιεῖν καὶ θηρᾶν αὐτὰ καὶ σπουδάζειν ὥστε τυγχάνειν, πόσον κακόν; τὰ μὲν οὖν ἄλλα μέχρι τῆς ἐκείνων κατηγορίας ἔστησεν, ὡς μικρὰ καὶ βύτελῆ, καὶ μὴ δεομένων τῆς μαθητῆς καὶ ἐκεῖθεν τούτων διορθωθῆναι· ὃ δὲ πάντων αἴτιον οἶμαι τῆς κακίας, ἡ φιλαρχία, ἐστὶ τὸ μὴ θέλειν ἀρπάζειν διδασκαλικὸν, τοῦτο εἰς μέσον ἀγαγὼν διορθοῦται σπουδαίως, ὥσπερ τοῦτο σφόδρα αὐξῆς καὶ βύτινος ἐπισκήπτων. Τί γάρ φησιν;

8 Ὑμεῖς δὲ μὴ κληθῆτε Ραββί. Εἶπα καὶ ἡ αἰτία. Εἷς γάρ ὑμῶν ἐστιν ὁ διδάσκαλος· πάντες δὲ ὑμεῖς ἀδελφοί ἐστε· Καὶ οὐδὲν ἕτερος ἑτέρου πλέον ἔχει, κἂν τὸ μηδὲν ἔσῃ πρὸς ἑαυτόν. διὸ καὶ Παῦλος λέγει· Τίς γάρ ἐστι Παῦλος; τίς δὲ Ἀπολλώς; τίς δὲ Κηφᾶς; ἀλλ' ἀπόστολοι; ἢ οὐκ εἶπε, διδάσκαλοι. καὶ πάλιν·

9 Μὴ καλέσητε πατέρα· Οὐχ ἵνα μὴ καλῶσιν, ἀλλ' ἵνα εἰδῶσιν ὃν κυρίως πατέρα καλεῖν χρή. καθάπερ γὰρ ὁ διδάσκαλος οὐκ ἔστι διδάσκαλος ὠφεληθυμένος· οὕτως οὐδὲ ὁ πατήρ. ἐκεῖνος γὰρ πάντων αἴτιος, καὶ τῶν διδασκάλων, καὶ τῶν πατέρων. καὶ πάλιν ἐπάγει·

10 Μηδὲ κληθῆτε καθηγηταί. Εἷς γάρ ἐστιν ὑμῶν καθηγητής, ὁ Χριστός.

Καὶ οὐκ εἶπεν, ἐγώ. ὥσπερ γὰρ ἀνώτερῳ εἶπε· τί ὑμῖν δοκεῖ περὶ τοῦ Χριστοῦ; καὶ οὐκ εἶπε, περὶ ἐμοῦ· ὅπου καὶ ἐνταῦθα. ἀλλ' ἡδέως ἂν ἐρείμην ἐνταῦθα, τί ἂν εἶπειεν ὁ Εἷς καὶ Εἷς πολλάκις ἁρμόζοντες τῷ πατρὶ μόνῳ ὅτι ἀθετήσει τὸ μονογενοῦς, καθηγητὴς ὁ πατήρ; ἅπαντες ἂν εἶπειεν, καὶ οὐδεὶς ἀντερεῖ. καὶ μὴν Εἷς, φησίν, ἐστὶ καθηγητὴς ὑμῶν, ὁ Χριστός. ὥσπερ οὖν Εἷς καθηγητὴς λεγόμενος ὁ Χριστὸς οὐκ ἐκβάλλει τὸν πατέρα τῷ εἶναι καθηγητήν· οὕτω καὶ Εἷς διδάσκαλος λεγόμενος ὁ πατὴρ οὐκ ἐκβάλλει

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ⓦ μὸν τῦ εἶ διδάσκαλον. τὸ γὰρ Εἷς καὶ Εἷς πρὸς ἀλήθειαν εἶ-
ρηται καὶ τῆς λοιπῆς κλίσεως. ἀπαγορεύσας τοίνυν αὐτοῖς τὸ χαλεπὸν τῦτο νόσημα καὶ
διορθωσάμενος, παιδεύει καὶ πῶς αὖ αὐτὸ ἀφαιρήσεται, διὰ ταπεινοφροσύνης. διὰ
καὶ ἐπάγει·

11 Ο ὢν μείζων ὑμῶν, ἔστω ὑμῶν διάκονος.

12 Ὅστις γὰρ ὑψώσει ἑαυτόν, ταπεινωθήσεται· καὶ ὅστις ταπεινώσει ἑαυτόν, ὑψωθήσεται.

Οὐδὲν γὰρ τῦ μετεωρίζειν ἴσον. διὰ καὶ συνεχῶς αὐτὸν ἐστὶ μιμνήσκει ταύτης τῆς ἀρε-
τῆς, καὶ ὅτε τὰ παιδία εἰς μέσον ἦγε, καὶ νῦν, καὶ ἀρχόμενος ὅτι τῦ ὄρους τῶν μακα-
ρισμῶν ἐντεῦθεν ἦρξατο, καὶ ἐνταῦθα πρόῤῥιζον αὐτὸ ἀπαρτᾷ ἐντεῦθεν λέγων· ὁ ταπει-
νῶν ἑαυτὸν ὑψωθήσεται). Εἶδες πῶς ὀκ ἀφεμένου πρὸς τὸν ναὸν ἀπᾴει Ⓦ ἀκροατής;
οὐδὲ γὰρ δὴ μόνον τῶν πρωτείων ἐρᾶν κωλύει, ἀλλὰ καὶ τὰ ἔσχατα διώκειν. οὕτω γὰρ τεύξῃ τῆς ἐ-
πιθυμίας, φησί. διὰ τοῦτο ἡ τῶν πρωτείων τὸν ἐπιθυμίαν διώκοντα τὸν ἐσχάτου διώκειν τά-
ξιν. ὃς γὰρ ἂν ταπεινώσῃ ἑαυτόν, ὑψωθήσεται. καὶ πρὸς τὸν ταπεινοφροσύνην ταύτην
θυρήσομεν;

Βούλεσθε πάλιν ὅπου τὸν πόλιν τῆς ἀρετῆς ἴωμεν, καὶ τῶν ἁγίων σκιρτᾶς, καὶ ὄρη λέγω ΗΘΙΚΟΝ
καὶ νάπας; καὶ γὰρ ὁ ὕψος τῆς ταπεινοφροσύνης ὀνόματα τῦτο. ἂν ἄθρησον γὰρ Ⓦ
ἀπὸ τῶν ἔξωθεν ἀξιωμάτων, Ⓦ ἢ καὶ ἀπὸ χρημάτων· ὀνίνες λαμπρεσὶ, πρώτοθεν ἑαυτὸν κα-
τατέλλουσιν, ἀπὸ τῆς ἐσθῆτος, ἀπὸ τῆς οἰκίας, ἀπὸ τῶν θεραπευομένων, καὶ καθάπερ ἐν
γράμμασι διὰ πρώτων τὸν ταπεινοφροσύνην γράφουσι· καὶ ἄκρα ἐστὶν ὑποκαύματα
ἀλαζονείας, τὸ καλῶς ἀμφιέννυσθαι, καὶ τὸ λαμπρῶς οἰκοδομεῖν, καὶ τὸ πολλοὺς ἔχειν θερα-
πόντας, ἃ καὶ ἀκόντας πολλάκις εἰς ἀλαζονείαν ἐμβάλλει, ταῦτα ὀκ ἄπρακτα ἀνῄρηται. καὶ
αὐλὶ καίουσι πῦρ, αὐλὶ θερμαίνουσι ξύλα, αὐλὶ ἕψουσιν, ἀλλὰ τοῖς ἐρχομένοις θερμοποιῶνται.
Οὐκ ἔστιν ὑβρίζοντος ἀκοῦσαί τινος ὀκέτι, οὐδὲ ὑβριζόμενον ἰδεῖν, οὐδὲ ὑπερπαπόμενον, οὐδὲ
ὑπερπάπτοντα· ἀλλὰ πρῶτος τῶν θερακευομένων εἰσὶ, καὶ ἕκαστος αὐτῶν πόδας νίπτει τῶν ξένων,
καὶ πολλὴ ἡ περὶ τῦτο μάχη. καὶ ποῖ τῦτο, οὐκ ἐξεπάζων ὅστις ἐστὶν, ἤτε εἰ δοῦλος, ἤτε εἰ
ἐλεύθερος· ἀλλ' ὅτι πρῶτος τὸν θερακείαν ταύτην πληροῖ. οὐδεὶς ὀκέτι, οὐ μέγας, οὐδὲ
μικρός. τί οὖν; σύγχυσις; μὴ γένοιτο· ἀλλ' ἡ περῆτη εὐταξία. κἂν γὰρ ᾖ ὁ μικρὸς, ὁ μέ-
γας οὐχ ὁρᾷ τῦτο, ἀλλὰ τὸ ἐκείνου *καταδέεστερον εἶ) ἑαυτῦ νομίζει, καὶ ταύτῃ ἐστὶν μείζων.
μία τράπεζα πᾶσι, καὶ τοῖς θερακευομένοις, καὶ τοῖς θερακοῦσι, καὶ αὐτὰ ἐδέσματα, καὶ αὐτὰ
ὀνόματα, καὶ αὐτὰ οἰκήματα, ἡ αὐτὴ δίαιτα. μέγας ὀκέτι, ὁ τὸ τελεύτερον ἔργον ἁρπάζων.
ὀκ ἔστιν ἐκεῖ τὸ ἐμὸν καὶ τὸ σόν· ἀλλ' ἐξώσεται τῦτο τὸ ῥῆμα, τὸ μυρίων ἄπιον πολέμων. καὶ τί
θαυμάζεις, εἰ δίαιτα καὶ τράπεζα καὶ στολὴ μία πᾶσιν, ὅταν γε καὶ ψυχὴ μία πᾶσιν, οὐ κτῆ τῶν χρη-
σίαν μόνον (τῦτο γὰρ καὶ ὅτι πρώτων) ἀλλὰ καὶ κτῆ τὸν ἀγάπην. πῶς οὖν αὖτη καθ' ἑ-
αυτῆς ἐπιθείη ποτέ; ὀκ ἔστιν ὀκεῖ πενία καὶ πλοῦτος, δόξα καὶ ἀτιμία. πῶς οὖν δὴ εὕροι
πρόφασιν ἀπόνοια καὶ ἀλαζονεία; Εἰσὶ μὲν γὰρ καὶ μικροὶ καὶ μεγάλοι κτῆ Ⓦ τῆς ἀρετῆς
λόγον· ἀλλ' ὅπερ ἔφην, ὀκέτι τῦτο ὁρᾷ. ὁ μικρὸς ὀκ ἀλγεῖ ὡς καταφρονούμενος (οὔτε
γὰρ ὁ καταφρονῶν πᾶς ἐστὶ) κἂν ἀκπύσῃ δέ τις, οὕτω μάλιστα παιδεύονται καταφρονᾶν,
ἀμαυρύνεσθαι, ἀξιοῦτελίζεσθαι, ἀκὶ ῥημάτων, ἀκὶ πραγμάτων· καὶ πολλαχῆς ἡ ἀκαπήεσις συν-
αυξρέφον), καὶ αἱ τράπεζαι αὐτοῖς τῶν τοιῦτων γέμουσι τῶν δακτυμόνων· διὰ δὴ τοῦτο καὶ τὰ
θέρανα εἰσὶν ἄξιοι. καὶ ὁ μὲν θερακεύτης πολλὰ τραύματα τῶν λῃστῶν ἐχόντων· ὁ δὲ χειροτονητὸς
τυφλός· ὁ δὲ βαστάζει τὸ σκέλος πεπηρωμένον. Οὐκ εἶναι κολάκων ὀκέτι πλῆθος, οὐδὲ θωπα-
σίων· μᾶλλον δὲ οὐδὲ ὅ, τι ποτέ ἐστι κολακεία ἴσασι. πόθεν οὖν δὴ ἐπιτηδεῖόν ποτε; καὶ γὰρ
πολλὴ παρ' αὐτοῖς ἰσότης· διὰ καὶ εὐκολία πολλὴ τῆς ἀρετῆς. καὶ γὰρ τῦτοις μᾶλλον Ⓦ
καταδεέστεροι παιδεύον), ἢ εἰ ἀναγκάζοιντο αὐλοῖς παραχωρεῖν τῶν πρωτείων. ὥσπερ γὰρ
Ⓦ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ⓦ θραζω ὁ πλησίον μου καὶ ταραχωδῶς παιδεύει· οὕτω τὸ φιλότιμον ὁ μὴ φιλοτιμούμενος δόξης, ἀλλὰ καταφρονῶν. τοῦτο γὰρ μεγάλης ἀνθρωπείας οὐκ ποιοῦσι. καὶ ὅσῳ μάλιστα πρὸς ἡμᾶς ἐστὶ τὸ τυχεῖν τῶν παρόντων, τοσοῦτος ἀγὼν πρὸς αὐτοὺς ἐστὶ τὸ μὴ τυχεῖν, ἀλλὰ καὶ θορυβεῖσθαι· καὶ πολλὴ [ἡ] ταραχὴ, τίς πλεονεκτήσει μᾶλλον, ἀλλ' ὁ μᾶλλον φθονήσας· ἄλλως γε, καὶ αὐτὰ τὰ ἔργα μετεωρίζειν πείθει, καὶ οὐκ ἀφίησι φλεγμαίνειν. Τίς γὰρ, εἰπέ μοι, γλίσχρος σκαιότερος, καὶ ἀργὸς, καὶ φυτευόμενος, ἢ πλέκων σαγήνας, καὶ σάκκον ὑφαίνων, ἢ ἄλλα τινὰ μεταχειρίζων, μέγα φρονήσει ποτέ; τίς δὲ πενίαν συζῶν καὶ λιμῷ παλαίων, τοῦτο νοσήσει τὸ νόσημα; οὐκ ἔστιν οὐδείς. διὰ τοῦτο οὖν εὐκολος αὐτοῖς ἡ ταπεινοφροσύνη· καὶ ὥσπερ ἐνταῦθα χαλεπὸν τὸ μετεωρίζειν διὰ τὸ πλῆθος τῶν χρυσωμάτων καὶ θαυμαζόντων, ὅπως οὐκ σφόδρα εὔκολον. ἐν γὰρ τῇ ἐρημίᾳ παρέστηκε μόνον οὐρανὸς, καὶ ὄρνιθας ἰπταμένους ὁρᾷς, καὶ δένδρα στενόμενα, καὶ ζέφυρον πνέοντα, καὶ ῥάχας διὰ φαραγγῶν φερομένους. πόθεν οὖν ἂν ἐπαρθείη ὁ ἐρημίᾳ τοσαύτῃ συζῶν; οὐ μὴ διὰ τοῦτο ἀπολογίαν ἐντεῦθεν ἡμῖς ἔξομεν, ὅτῳ ἐν μέσοις τρεφόμενοι μέγα φρονοῦμεν. ἐν γὰρ ὁ Ἀβραὰμ μεταξὺ Χαναναίων ὢν ἐλεγεν, Ἐγὼ δέ εἰμι γῆ καὶ σποδός· καὶ ὁ Δαυὶδ ἐν μέσοις στρατοπέδοις, Ἐγὼ δέ εἰμι σκώληξ καὶ οὐκ ἄνθρωπος· καὶ ὁ ἀπόστολος ἐν μέσῃ τῇ οἰκουμένῃ, Οὐκ εἰμὶ ἱκανὸς καλεῖσθαι ἀπόστολος. ποία τοίνυν ἡμῖν ἔσται παραμυθία, ποία δ' ἀπολογία, ὅταν μηδὲ τοσαῦτα ἔχοντες παραδείγματα μετεωρίζωμεν; ὥσπερ γὰρ σκῆνοι μειρίων πεφυκότων ἄξιοι, παρῶνται τὴν ἀρετὴν ὁδὸν ἐλθόντες· οὕτως ἡμεῖς μειρίων ὑμνεισθαι τετυχότες, μήτε μετ' ἐκείνους ἀπελθόντας ἐν τοῖς γράμμασι κειμένους, μήτε μετὰ τούτους ζῶντας καὶ διὰ τὴν παροῦσαν θαυμαζομένους ὅπου τὸ ἴσον ἐλκόμενοι ζῆλον. πῶς γὰρ ἂν ἔχοις εἰπεῖν μὴ διαρθούμενος; οὐκ οἶδα γράμματα, οὐδὲ γραφῆς ἐπέκυψας, ἵνα μάθῃς τὴν παλαιὰν ταύτην ἀρετάς; μάλιστα μὲν ἡ τοῦτο ἔγκλημα, τῆς σκληρότητος διὰ τοῦτο ἐπιτεινούσης, μὴ ἐπιστένας ἐν μετέχειν τῶν καλῶν ἐκείνων ναμί. πλὴν ἀλλ' εἰ καὶ τοὺς ἀπελθόντας οὐκ ἔγνως διὰ τὴν γραφήν, τοὺς ζῶντας τούτους ἰδεῖν ἔχεις. ἀλλ' οὐδεὶς ὁ χειραγωγῶν. ἐλθὲ πρὸς ἐμέ, καὶ ἐγώ σοι δείξω τὰ καταγώγια τῶν ἁγίων τούτων· ἐλθέ, καὶ μάθε τι πρὸς αὐτὴν χρήσιμον. λύχνοι πανταχοῦ τῆς εἰσιν ὅτοι λάμποντες· τείχη ταῖς πόλεσι περικάθηται καὶ καθίστανται. διὰ ταῦτα τὰς ἐρημίας κατέλαβον, ἵνα καὶ σὲ παιδεύσωσι τῶν ἐν τῷ μέσῳ θορύβων καταφρονεῖν. Ⓐ μὴν γὰρ ἄτε ἰσχυροὶ ὄντες, καὶ ἐν μέσῳ ᾧ κλύδωνι δυνάμενοι γαλήνης ἀπολαύειν· σοὶ γὰρ ᾧ περιπλυνομένῳ πανταχόθεν ἡσυχίας δεῖ, καὶ τοῦ μικρὸν ἀναπνεῦσαι ἐκ τῶν ἐπαλλήλων κυμάτων. βάδιζε τοίνυν ἐκεῖ ζωηρῶς, ἵνα τὴν διηνεκῆ κηλίδα ἀποκαθάρας τοῦ ἐκείνων εὐχαῖς καὶ παραινέσεσι καὶ Ⓦ ἐντεῦθεν ἀρίστα διαγάγῃς βίον, καὶ τῶν μελλόντων ἐπιτύχῃς ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ δόξα, κράτος, τιμὴ, ἅμα ᾧ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

γρ. πλείων καταφρονητικός, ἀλλ'

Γεν. ιη. κζ. Ψαλμ. μα. ς. α. Κορ. ιε. θ.

γρ. καθεύδει

γρ. ἀλλαχόθεν

Ομιλ. ογ.

13 ΟΥΑΙ ΥΜΙΝ ΓΡΑΜΜΑΤΕΙΣ ΚΑΙ ΦΑΡΙΣΑΙΟΙ ΥΠΟΚΡΙΤΑΙ, 14 Οτι κατεσθίετε τὰς οἰκίας τῶν χηρῶν, καὶ προφάσει μακρὰ προσευχόμενοι διὰ τοῦτο λήψεσθε περισσότερον κρίμα.

ΕΝτεῦθεν λοιπὸν εἰς γαστριμαργίαν αὐτοὺς κωμῳδεῖ. καὶ τὸ δεινὸν, ὅτι οὐκ ἀπὸ τῶν πλουτούντων, ἀλλ' ἀπὸ τῶν χηρῶν ἐγαστρίζοντο, καὶ τῶν ἐκείνων πενίαν ἐπέτεινον, ὡς διαρθοῦσθαι ἔδει. οὐδὲ γὰρ ἁπλοῦς ἦθιον, ἀλλὰ κατήθιον. εἶτα καὶ ὁ τρόπος τῆς καπηλείας χαλεπώτερος, προφάσει μακρᾷ, φησι, προσευχόμενοι. πᾶς μὲν ἄξιος ὑμνεῖσθαι ὁ κακῶν ἢ ποιῶν· ὁ δὲ διὰ τοῦτο ἀπὸ πλεονεξίας λαμβάνων,

νων, καὶ τοσούτῳ χρώμενος τῆς πονηρίας, πολλῷ χαλεπωτέρας κολάσεως ὑπεύθυνος. καὶ διὰ τοῦτο ἔνεκεν ὧν ἀπεχειροτόνησεν αὐτούς; ὅτι ὁ κηδεὺς οὐκ ἐπέτρεπεν οὐδέπω. ἀλλὰ διὰ τοῦτο ἀφίησι μὲν αὐτοῦ τέως· ἀλλ' ἃ λέγει, κατασκευάζει τὸ αἰεξάπαστον τῷ δήμῳ, ἵνα μὴ ἀλλαχοῦ τὴν ἀξίαν αὐτῶν εἰς Ⓦ αὐτὸν ἕλκωνται ζῆλον. ὅπερ γὰρ εἶπεν, ὅσα ἂν 9 λέγωσιν ὑμῖν ποιῆσαι, ποιήσατε, δείκνυσι ποῖα· ὅσα μὴ τοσοῦτον ποιοῦσιν, ἵνα μὴ δι' ἐκείνου νομισθῇ τοῖς ἀκούουσι πρᾶγμα ὑβρίζεσθαι αὐτούς. Οὐαὶ ὑμῖν γραμματεῖς καὶ Φαρισαῖοι, ὅτι κλείετε τὴν βασιλείαν ἔμπροσθεν τῶν ἀνθρώπων. ὑμεῖς γὰρ οὐκ εἰσέρχεσθε, οὐδὲ τοὺς εἰσερχομένους ἀφίετε εἰσελθεῖν. Εἰ γὰρ τὸ μηδένα ὠφελεῖν, κατηγορία· τὸ καὶ βλάπτειν καὶ κωλύειν, ποίαν ἂν ἔχοι συγνώμην; τί δέ ἐστι, τοὺς εἰσερχομένους; τοὺς ὑπο- 10 κρινομένους. ὅταν μὲν γὰρ ὑπακούσῃ ἑτέρωθεν ἔδει, ἀφόρητα ἐποίουν τὰ φορτία· ὅταν δὲ ἑαυτοῦ ποιῆσαί τι τῶν δεόντων, τότε τὸ ἐνδυτῆρα, καὶ μόνον" οὐδὲν ἐποίουν αὐτοῖς, ἀλλ' ὁ πολλῷ πλέον ὄντα εἰς κακίαν, καὶ ἑτέρους διέφθειρον. ὅτοι εἰσὶν Ⓐ λεγόμενοι λοιμοί, Ⓐ ἔργῳ διαφθείροντες τὸν ἑτέρων ἀπώλειαν, οὐκ ἀφιέμενοι τοὺς τοῦ διδασκάλους ἐκτῶντες. εἰ γὰρ διδασκάλου, τὸ σώζειν Ⓦ ἀπολλύμενον, τὸ ἀπολλύειν Ⓦ σώζεσθαι μέλλοντα, λυμεῶνος. εἶπα πά- 15 λιν ἕτερον ἔγκλημα,

15 Ὅτι περιάγετε τὴν θάλασσαν καὶ τὴν ξηρὰν ποιῆσαι ἕνα προσήλυτον· καὶ ὅταν γένηται, ποιεῖτε αὐτὸν υἱὸν γεέννης διπλότερον ὑμῶν. Τί ἐστιν, οὐδὲ μὴ τὸ μόλις αὐτὸν σαγηνεῦσαι καὶ μὴ μικρῶν πόνων, φείδεσθαι αὐτῶν προσκυλίει ὑμᾶς· καίτοιγε τὸ μόλις κληθέντων φειδόμενα μειζόνως ὑμᾶς ἔδει τῶν ἐπιεικεστέρων ἐργάζεσθαι. ἐν τού- 20 τοις δύο αὐτοῖς ἐγκλήματα· εἰ μὲν, ὅτι ἀγρίων προσώπων πολλῶν, καὶ πολλοῦ δέοντας ἰδρῶτος, ὥστε κἂν ἕνα ἐφελκύσασθαι· ἕτερον δὲ, ὅτι ῥᾳθύμοις προσέρχονται τὴν φυλακὴν τῶν κληθέντων· μᾶλλον δὲ ῥᾳθύμοις μόνον, ἀλλὰ καὶ προδόταις, διὰ τῆς καθ' Ⓦ βίον πονηρίας διαφθείροντες αὐτὸν καὶ χεῖρω ποιοῦντες. ὅταν γὰρ ὅλως διδάσκαλος ἴδῃ τοιούτους ὁ μανθάνων, χείρων γίνεται. ὁ γὰρ ἴσος τῇ μέσῃ τῆς τοῦ διδασκάλου κακίας· ἀλλ' ὅταν μὲν ἀναρέτου ᾖ, 25 μιμεῖται· ὅταν δὲ φαῦλος, καὶ ὑπερβαίνει διὰ τὴν εὐκολίαν τὸν ὑπὸ τὸ χεῖρον. ὁμοίως δὲ καὶ γεέννης φησί, τοῦτέστιν αὐτοῦ γεέννης. εἶπε δὲ, διπλότερον ὑμῶν, ἵνα καὶ ἐκείνους φοβήσῃ, καὶ τοὺτων καθάψηται μειζόνως, ὅτι διδάσκαλοι πονηρίας εἰσί. καὶ οὐ τοῦτο μόνον, ἀλλ' ὅτι καὶ πλείονα τοῖς μαθηταῖς ἐντεῦθεν ἀπουδάζουσι τὴν κακίαν, ὑπερβαίνοντες αὐτοὺς ὅτι πολλῷ μείζονα φαυλότητα, ἧς ἔλαβον· ὅπερ μάλιστα ψυχῆς διεφθαρμένης ἐστίν. εἶτα καὶ εἰς δύοιαν 30 αὐτοὺς σκώπτει, ὅτι τῶν μειζόνων ἐντολῶν ἐκέλευον καταφρονεῖν. καὶ μὴν τοιοῦτον ἔμπροσθεν ἔλεγλον, ὅτι δεσμεύουσι φορτία βαρέα καὶ δυσβάστακτα· ἀλλὰ καὶ ταῦτα ἐποίουν πάλιν, καὶ πάντα ἔπραττον εἰς τὸν τῶν ἐμπτικόων διαφθοράν, ἐν τοῖς μικροῖς ζητοῦντες τὸν ἀκρίβειαν, καὶ τῶν μεγάλων καταφρονοῦντες.

23 Ἀποδεκατοῦτε γάρ, φησι, τὸ ἡδύοσμον καὶ τὸ κύμινον, καὶ ἀφήκατε τὰ βαρέα τοῦ νό- 35 μου, τὴν κρίσιν, καὶ Ⓦ ἔλεον, καὶ τὴν πίστιν. Ταῦτα ἔδει ποιῆσαι, κἀκεῖνα μὴ ἀφιέναι.

Ἐνταῦθα μὲν οὖν εἰκότως φησὶ ταῦτα, ἔνθα δικαίᾳ ἦν καὶ ἐλεημοσύνη. Τί γὰρ βλάπτει τὸ ἐλεημοσύνην διδόναι; ἀλλ' οὐχ ὡς νόμον τηρούμενα. οὐδὲ γὰρ αὐτὸς ὅταν φησί· διὰ τοῦτο ἐνταῦθα μὲν λέγει, ταῦτα ἔδει ποιῆσαι, κἀκεῖνα μὴ ἀφιέναι· ἔνθα δὲ περὶ καθαρῶν καὶ ἀκαθάρτων διαλέγεται, οὐκ ἔτι τοῦτο προστίθησιν, ἀλλὰ διαιρεῖ, καὶ δείκνυσιν ἐξ 40 ἀνάγκης τῇ ἐνδον καθαρότητι καὶ τὴν ἔξωθεν ἑπομένην· τοιοῦτον δὲ οὐκεῖ. ὅπου μὲν γὰρ φιλανθρωπίας λόγος ἦν, ἀδιαφόρως αὐτὸ προσεδέχετο, διά τε τοῦτο αὐτό, καὶ ὅτι οὐδέπω κηδεὼν ἦν διαῤῥήδην καὶ σαφῶς τὰ νομικὰ ἀνελεῖν· ἔνθα δὲ παρατήρησις σωματικὴ καθαρμῶν, σαφέστερον ἀναιρεῖται. διὰ δὴ τοῦτο ὅτι μὴ τῆς ἐλεημοσύνης φησί· ταῦτα ἔδει ποιῆσαι, κἀκεῖνα μὴ ἀφιέναι· ὅτι δὲ τῶν καθαρσιῶν οὐχ ὅτως· ἀλλὰ τί;

25 Καθαείζετέ, φησι, τὸ ἔξωθεν τῦ ποτηείου καὶ τῆς πρ̃οφίδος· ἔσωθεν δὲ γέμει ἁρπαγῆς καὶ πλεονεξίας.

26 Καθάεισον ο῀ὖν τὸ ἐντὸς τῦ ποτηείου καὶ τῆς πρ̃οφίδος, ἵνα γένηται καὶ τὸ ἐκτὸς καθαρόν. Καὶ ἔλαβεν αὐτὸ ἀπὸ παράγματος ὠμολογημένου καὶ δήλου, ἀπὸ ποτηείου καὶ πρ̃οφίδος. Εἶτα δείκνῦσ ὅτι ο῀ὐδεμία βλάβη ἐκ τ῀ῦ καταφρονῆ τ῀ῦ σωματικ῀ῦ καθαρμῶν, μεγίστη δὲ ζημωεία ἐκ τ῀ῦ μὴ φροντίζειν τ῀ῦ τῆς ψυχῆς καθαρσίων, ἅπερ ὄ῀στιν ἀρετή, κώνωπα μ῀ὲν ἐκβάλεσε ταῦτα (μικρὰ γὰρ ἰῶ καὶ ο῀ὐδέν) κάμηλον δὲ ἐκφέρα· ἀφόρητα γὰρ ἰῶ. διὸ καί φησι·

24 Τὸν κώνωπα διϋλίζοντες, καὶ τὴν κάμηλον καταπίνοντες. Καὶ γὰρ καὶ ἐκφέρα διὰ ταῦτα νενομοθέτηται, διὰ τ῀ὸ ἔλεον καὶ τὴν κρίσιν· ὥστε ο῀ὐδὲ τότε ὠφέλει μόνα γινόμενα. ὅτε γὰρ τὰ μικρὰ διὰ τὰ μεγάλα ἰῶ ἐνήργει, εἶτα ἐκφέρα μ῀ὴ ἠμέλει, ταῦτα δὲ ἐσπουδάζετο μόνα, ὑδὲν ἰῶ πλέον ο῀ὐδὲ τότε ἐντεῦθεν. τούτοις μὲν γὰρ ἐκφέρα ὐ῀χ ἕπετο· ἐκφέρα δὲ τούτοις πρώτως. Ταῦτα δὲ λέγ῀ε, δεικνύ῀σ ὅτι καὶ πρὶν ἢ τὴν χάριν π῀ροδεχθέναι, καὶ τ῀ῶν πεφηνημένων, ο῀ὐδὲ τ῀ῶν πεπιστευκότων ταῦτα ἰῶ, ἀλλ' ἕτερα ἰῶ τὰ ζητούμενα. Εἰ γὰρ πρὸ τῆς χάριτος τοιαῦτα ἰῶ, πολλῷ μᾶλλον ὑφηλῶν ἐλθόντων λοιπὸν π῀ροδηλ῀ῦ ταῦτα δύνηται, καὶ καθόλε μετιέναι αὐτὰ ὀ῀κ ἐχρεῶ. πρωταχ῀ῦ μ῀ὲν ο῀ὖν κακία χαλεπόν· μάλισα γ῀ὲ ὅταν μηδὲ νομίζη δεῖσθαι διορθώσεως· ἔ῀ε δ῀ὲ καὶ χαλεπώτερον, ὅταν καὶ ἑτέρους ἀρχειν οἴηται διορθοιῶ· ἅπερ δήλων ὁ Χρισός, ὁδηγοὺς αὐτ῀ῦς καλεῖ τυφλοὺς τυφλῶν. Εἰ γὰρ τὸ μὴ νομίζειν δεῖσθαι ὁδηγ῀ῦ τυφλόν, ἑκάτη συμφορᾶ καὶ ἀθλιότης· ὃ καὶ αὐτὸν ἐβέλειν ὁδηγεῖν ἑτέρους, ὅρα ὅπε πόσον ἀγὰ τὸ βάος ἔθεν. Ταῦτα γ῀ὲ ἔλεγε, ἀμυπόμνους διὰ πρώτων τὴν δοξομανίαν αὐτ῀ῶν, καὶ τὴν σφοδρὰν π῀ερὶ τὸ νόσημα τοῦτο λύσαθαι. τοῦτο γὰρ αἴτιον πρώτων τ῀ῶν κακ῀ῶν αὐτοῖς γέγονε, τὸ π῀ερὶς ὑπίδειξιν πρώτα ποιῆ. τοῦτο καὶ τῆς πίστεως αὐτ῀ὸν ἀπήγαγε, καὶ τῆς ὄντως ἀρετῆς ἀμβλῆ π῀ροσκάσε, καὶ π῀ερὶ καθάρσια ἀφροδίσθαι σωματικὰ μόνα ἔπεισε, τ῀ῶν τῆς ψυχῆς καθαρμ῀ῶν ἀμβλοιώσας. διὰ δὴ τοῦτο ἄγων αὐτ῀ὸν εἰς τὴν ὄντως ἀρετὴν καὶ τὰ καθάρσια τῆς ψυχῆς, ἐλέου καὶ κρίσεως καὶ πίστεως μέμνηται. Ταῦτα γὰρ τὰ ζωοέχοντα ἡμῖν τὴν ζωὴν, ταῦτα τὰ καθαίροντα τὴν ψυχὴν, δικαιοσύνη, φιλανθρωπία, ἀλήθα· ἡ μ῀ὲν εἰς συνήνωμεν ἡμᾶς ἄγουσα, καὶ μὴ ἀφίσα χαλεποὺς μ῀ὲν ἐπ῀ορθοῦν (ὅτω γὰρ δικαίᾳ κερδαίνομεν, φιλανθρωποί τε γινόμενοι, καὶ φιλανθρωπίας ἐντεῦθεν πολλῆς καὶ αὐτοὶ π῀ροδὲ τ῀ῶν ὅλων ἐπολαύοντες Θεοῦ) καὶ π῀ροδασκυάζουσα ζωοῦν τε τοῖς ἐπηρεαζομένοις καὶ ἀμυνεῖν αὐτοῖς· ἡ δ' ὀ῀ρθὴ σα ἀποτεσνας εἶ) καὶ ἐπαούλας. Ἀλλ' ὅτε, ὅταν λέγῃ, ταῦτα ἔδει ποιῆσαι, κἀκ῀ῖνα μὴ ἀφιέναι, ὡς νομικὰ π῀ροστήρησιν ἐισάγων λέγ῀ε (ἄπαγε· τοῦτο γὰρ ἀποδείξαμεν ἔμπροσθεν) ὅτε ὅτι τῆς πρ̃οφίδος καὶ τ῀ῦ ποτηείου ἔιπων, καθάεισον τὸ ἐντὸς τ῀ῦ ποτηείου καὶ τῆς πρ̃οφίδος, ἵνα γένηται καὶ τὸ ἐκτὸς καθαρόν, ὅτι τὴν παλαιὰν ἡμᾶς ἀγὰ μικρολογίαν· ἀλλὰ τοιωυτοτρόπον μ῀ὲν ο῀ὖν ἄπαν ποιῆ, καὶ δείκνυσιν αὐτὴν π῀ερισσὴν ὄσαν. ὑγὰρ ἔιπε, καὶ τὸ ἔξωθεν καθαείσατε· ἀλλὰ τὸ ἔνδον, ἔ῀ε πρώτως ἔπεται τούτῳ ἐκῆνο. ἄλλως δέ, ο῀ὐδὲ π῀ερὶ ποτηείου καὶ πρ̃οφίδος λέγ῀ε, ἀλλὰ π῀ερὶ ψυχῆς καὶ σώματος διαλέγεται· τὸ μ῀ὲν ἔξω καλῶν τὸ σῶμα, τὸ δ' ἔνδον τὴν ψυχήν. Εἰ δ' ὅτι τῆς πρ̃οφίδος" τ῀ὸ ἔνδον χρεία, πολλῷ μᾶλλον ὅτι σ῀ῶ. ὑμῆς δ' τοιωυτοτρόπον ποιῆτε, φησι· τὰ μικρὰ καὶ ἔξω φυλάττοντες τ῀ῶν μεγάλων καὶ ἔνδον ἀμελῆτε· ὅθεν μεγίστη γ῀ὴ βλάβη, ὅτι νομίζοντες τὸ πρ῀ῶν καπορθωκέναι, τ῀ὰ λοιπὸν καταφρονῆτε· καταφρονοιῶτες δ', ὑδὲ ὅτι σπουδάζετε ἢ ὅτι χάρῃτε αὐτὰ κατορθοιῶν. εἶτα πάλιν εἰσκενοδοξίαν αὐτ῀ὸν σκιάζει, τὰ φος κεχνιαμένους καλῶν, καὶ πᾶσιν ὅτι λέγων, ὑποκριταί· ὃ πρώτων αἴτιόν ὄ῀στι τ῀ὰ κακ῀ῶν, ἔ῀ε ἀπωλείας αὐτοῖς ἐπιτήδευσις. ὐ῀χ ἁπλῶς δὲ τὰ φος κεχνιαμένους ἐκάλεσεν, ἀλλὰ καὶ ἀκαθαρσίας γέμειν καὶ ἀνυποκρίσεως ἔφησε. Ταῦτα δὲ ἔλε-

γε,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

με, δεικνὺς τὴν ἁπλότητα, δι' ἣν οὐκ ἐπίστευσαν, ὅτι μετὰ ἦσαν· ἀποκρίσεως γὰρ δεῖται ἡ ἀνομία. Ταῦτα δὲ οὐχ ὁ Χριστὸς μόνον, ἀλλὰ καὶ ἡ θεοφῆτις συνεχῶς ἐγκαλοῦσιν, ὅτι ἁρπάζουσιν, ὅτι οὐ κρίνουσιν οἱ ἄρχοντες αὐτῶν τῷ δικαίου λόγον. Ὁ πάντα χρὼς βλέπων μὴ θυσίας ἐνεδέχετο τοιαύτας, ταῦτα δὲ ἐπιζητοῦντα· ὥστε οὐδὲν ξένον οὐδὲ καινόν, οὔτε τῆς νομοθεσίας, οὔτε τῆς κατηγορίας, ἀλλ' οὐδὲ τὸ τῆς εἰκόνος τοῦ ταύρου. μέμνηται γὰρ αὐτῆς ὁ θεοφήτης, οὐδὲ ἁπλῶς ταύρου καλέσας, ἀλλὰ ταύρου δύσφημον λαρυγγα αὐτῶν. Ψαλ. ε. ι.

Τοιοῦτοι καὶ νῦν εἰσι πολλοὶ* καλλωπιζόμενοι μὲν ἔξωθεν, πάσης δὲ ἀνομίας ἔνδον πεπληρωμένοι. Ὁ γὰρ καὶ νῦν τῶν μὲν ἔξωθεν καθαρμῶν πολὺς ὁ πόνος, πολλὴ ἡ φροντίς· τῶν δὲ κατὰ ψυχὴν οὐδὲ εἷς. Ἀλλ' εἴγε τὸ ἑκάστου ζωγράφου διαρρήξειέ τις, πολλοὺς εὑρήσει καὶ σκώληκας καὶ ἰχῶρα βρίθοντα καὶ δυσωδίαν ἄφατον· ὑπερθυμίας ἀπόπους λέγω καὶ πονηρίας, αἳ σκωλήκων εἰσὶν ἀκαθαρτότεραι. Ἀλλὰ τὸ μὲν ἐκείνοις εἶναι τοιούτους, οὐκ ὄντα δεινόν, καίτοι ὂν δεινόν· τὸ δὲ ἡμᾶς τοὺς καταξιωθέντας ναοὺς γεγενῆσθαι Θεοῦ, ταῖς ἐξαφνης γεγενῆσθαι τοσαύτην ἔχοντας δυσωδίαν, τοῦτο ἀθλιότητος ἑκάστης. ἔνθα ὁ Χριστὸς κατοικεῖ, καὶ πνεῦμα ἅγιον ἐνήργησε, καὶ μυστήρια τοσαῦτα, πάφον εἶναι τοῦτον, πόσης τοῦτο ἀθλιότητος; πόσων θρήνων καὶ ὀδυρμῶν, ὅταν τὰ μέλη τοῦ Χριστοῦ πάφος ἀκαθαρσίας γένηται; ἐννόησον πῶς ἐγεννήθης, τίνων κατηξιώθης, οἵαν ἔλαβες στολὴν, πῶς ναὸς κατεσκευάσθης ἀρρήτου, πῶς καλὸς, καὶ χρυσῷ καλλωπισθείς, οὐδὲ μυρσινίταις, ἀλλὰ ταῖς τούτων ὑμνωτέραις πνοαῖς. ἐννόησον ὅτι οὐδὲ ταῦρος ἐν πόλει κατασκευάζεται). Οὕτω οὖν οὐδὲ σὺ εἰς τὴν ἄνω φανεῖσαν δυνήσῃ πόλιν. Εἰ γὰρ ἐνταῦθα τοῦτο ἀπείρηται, πολλῷ μᾶλλον ἐκεῖ. μᾶλλον δὲ καὶ ἐνταῦθα πᾶσιν εἰσὶ καταγέλαστοι, νεκρὰν πορευόμενοι φυχήν· καὶ καταγέλαστος δὲ μόνον, ἀλλὰ καὶ φοβερός. Εἰπέ γάρ μοι, εἴ τις πορεύεται νεκρὸν ἐνδυσάμενον πορφύραν, οὐκ ἂν πάντες ἀπεπήδησαν; οὐκ ἂν πάντες ἔφυγον; ἆρα καὶ νῦν λογίζου. Ὁ γὰρ τοῦτο πολὺ χαλεπώτερον πορεύεται θέαμα πορφύραν, φυχὴν ἐκ τοσούτων ἁμαρτιῶν νενεκρωμένην, φυχὴν πρεπομένην. τίς οὖν ἐλεήσει τοιοῦτον; ὅταν γὰρ σὺ τὴν σαυτοῦ φυχὴν μὴ ἐλεῇς, πῶς ἕτερος ἐλεήσει πῶς ὠμὸν δὲ πολέμιον ὄντα σαυτῷ ἔχθρον; εἴ τις ἔνδον σκάνδυξ δὲ ἐδίπτυνεις κατώρυξε σῶμα νεκρὸν, τί οὐκ ἂν ἐποίησας; σὺ δὲ φυχὴν νεκρὰν κατορύττεις, οὐκ ἔνθα ἀνεσποίησε, οὐδὲ ἔνθα καθεύδῃς, ἀλλ' ἐν τοῖς μέλεσι τοῦ Χριστοῦ, καὶ ὃ δέδοικας, μὴ μυρίοι καταπεπεζεύσαν δώδωθεν ὑπὲρ τὴν σὴν κεφαλὴν σκηπτοὶ καὶ κεραυνοί; πῶς δὲ καὶ τολμᾷς σκηνὰς βεβαίνειν Θεοῦ καὶ ναοῖς ἁγίοις, ἔνδον τοσαύτης βδελυγμίας ὄζων; εἰ γὰρ εἰς τὰ βασίλεια φέρων τις νεκρὸν δὲ κατορύξας, τὴν ἑκάτην δὲ ἔδωκε δίκην· σὺ τὴν ἱερὰν βεβαίνων πορείαν καὶ τοσαύτης δυσωδίας πλήρης οἶκον, ἐννόησον ὅσην ὑπόσχῃ τιμωρίαν. μίμησαι τὴν πόρνην ἐκείνην, ἣ μύρῳ ἔχρισε τοῦ Χριστοῦ τοὺς πόδας, καὶ τὴν οἰκίαν ἅπασαν ἔπλησεν εὐωδίας· σὺ δὲ τοὐναντίον ποιεῖς εἰς οἶκον τοῦ Θεοῦ. τί γὰρ εἰ καὶ μὴ αἰθάλη νυὶ σὺ τῆς δυσωδίας; τοῦτο γὰρ μάλιστα δεῖ τὸ χαλεπὸν τοῦ νοσήματος· δεῖ καὶ αἴσθησιν καὶ χαλεπωτέραν τῶν τὰ σώματα λελωβημένων τε καὶ ὀδωδότων. ἐκείνη μὲν γὰρ ἡ νόσος καὶ αἴσθησιν τοῖς κάμνουσι παρέχει, καὶ οὐδὲν ἔγκλημα ἔχει, ἀλλὰ καὶ ἐλέους ἐστὶν ἀξία· αὕτη δὲ μίσους καὶ κολάσεως. ἐπεὶ οὖν καὶ ταῦτα χαλεπώτερα, καὶ τὸ μηδὲ αἰσθάνεσθαι αὐτῆς ὡς χρὴ νοσοῦντα, φέρε, βλέπουσά σου τὸν λόγον, ἵνα σε διδάξω σταφὶς αὐτῆς τὸ λυμαῖνον. παρὸν οὖν ἄκουσον τί φάλλων λέγεις· Κατάβηθι ἡτοιμασμένη μου, ὡς θυμίαμα ἐνώπιόν σου. ὅταν οὖν μὴ θυμίαμα, ἀλλὰ κάπνος ἀπὸ σοῦ καὶ τῶν σῶν προσευχῶν ἀναβαίνῃ δυσώδης, ποίαν δίκην οὐκ ἄξιος εἶ ὑποσχεῖν; ἆρα οὖν ὁ κάπνος ὁ δυσώδης; πολλοὶ ἴσασι καλλιγυναικῶν προβλέποντες, ἄλλοι παίδων ὥρας προεργαζόμενοι. εἶτα θαυμάζεις πῶς σκηπτοὶ φέρονται, καὶ πόθεν οὐκ βάθεν δύνανται; καὶ γὰρ ἄξια μὲν σκηπτῶν καὶ γεέννης

Ψαλ. ρμ. β.

Ιωαν. ια. β. καὶ ιβ. γ. Ματθ. κς. ζ.

* ἄνθρωποι

ΗΘΙΚΟΝ.

* ἐπλήρωσεν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὰ γινόμενα· ἀλλ' ὁ Θεὸς, μακρόθυμος ὢν καὶ πολυέλεος, ἀνέχει τέως τὴν ὀργὴν, εἰς μετάνοιάν σε καλῶν καὶ διόρθωσιν. τί ποιεῖς δῦ Θεσπε; κάλλη γυναικῶν περιεργάζῃ, καὶ ὁ φρίττειν ὅτως συνεθίζων εἰς τὸν ναὸν τοῦ Θεοῦ; πορνεῖον εἶναι δοκεῖ σοι ἡ ἐκκλησία καὶ τῆς ἀγορᾶς ἀπιμοτέρα; ἐν ἀγορᾷ μὲν * δέδοικας καὶ αἰσχύνῃ φανῆναι γυναῖκα περιεργαζόμενος· ἐν δὲ τῷ ναῷ τοῦ Θεοῦ, αὐτὸν τοῦ Θεοῦ καταλεγομένου σοι καὶ ἀπειλοῦντος ταῦτα, πορνεύεις καὶ μοιχεύεις κατ' αὐτὸν τὸν καιρὸν, καθ' οὗ ἀκούεις μὴ ταῦτα ποιεῖν· καὶ ὁ φρίττεις, οὐδὲ ἐξέφυγας; ταῦτα ὑμᾶς τὰ δεινὰ διδάσκει τῆς ἀσελγείας, ὁ λοιμὸς ὁ δυσκατάλυτος, τὰ δηλητήρια φάρμακα, αἱ χαλεπαὶ τῶν ἀνθρωποκτόνων πάγαι, ἡ μὲν ἡδονῆς τῶν ἀκολάστων ἀπώλεια. διὰ τοῦτο δὲ ὁ σοφὸς ἐγκαλῶν ἔλεγεν· οὐκ εἰσὶν οἱ ὀφθαλμοί σου, οὐδὲ ἡ καρδία σου καλή. βέλτιον τοὺς τοιούτους πηρεῖς εἶναι, βέλτιον νοσεῖν, ἢ εἰς ταῦτα κατακεχεῖσθαι τοῖς ὀφθαλμοῖς. ἐγχεῖν μοι. ὃν ἔνδον εἶχεν τὸ τεῖχος τὸ διέρρηξεν ὑμᾶς τῶν γυναικῶν· ὅπερ οὐ βούλεσθε, ἀναγκαῖον ἐνόμισαν εἶναι οἱ πατέρες καὶ ταῖς σανίσιν ὑμᾶς ταύταις διαπεῖρισαι· ὡς ἐγὼ μὲν αἰσχύνω τὸν πρεσβύτερον, ὅτι τὸ παλαιὸν οὐδὲ ταῦτα ἰδὼν τὰ πείσματα (Εν γὰρ Χριστῷ Ιησοῦ οὐκ ἔνι ἄρσεν καὶ θῆλυ) εἰς ἔπος τῶν ἀποστόλων οὐ ὁμοῦ καὶ ἄνδρες καὶ γυναῖκες ἦσαν. καὶ γὰρ οἱ ἄνδρες, ἄνδρες ἦσαν· καὶ αἱ γυναῖκες, γυναῖκες· νῦν δὲ πολὺ τοὐναντίον· αἱ μὲν γυναῖκες εἰς τὰ τῶν ἑταιρίδων ἐαυτὰς ἐξώκησαν ἤθη· οἱ δὲ ἄνδρες ἵππων μαινομένων οὐδὲν ἄμεινον διάκεινται. οὐκ ἠκούσατε, ὅτι ἠχμαλωτισμένοι ἄνδρες εἰς γυναῖκες ἐν τῷ ἐμπορίῳ; καὶ τῶν ἀνδρῶν ἐκεῖνος ὁ σύλλογος ἄξιος ἦν· καὶ μάλα εἰκότως. πολλὴ γὰρ καὶ γυναῖκες τότε φιλοσοφίαν ἤσκουν, καὶ ἄνδρες σεμνότητα καὶ σωφροσύνην. ἀκούσατε γοῦν τῆς πορφυροπώλιδος λεγούσης· Εἰ κεκρίκατέ με πιστὴν τῷ Κυρίῳ εἶναι, εἰσελθόντες εἰς τὸν οἶκόν μου, μείνατε παρ' ἐμοί. ἀκούσατε τῶν γυναικῶν, αἳ ἔπεισαν μὲν τῶν ἀποστόλων, αἰδέσιμον ἀναλαβοῦσαι φρόνημα, τῆς Πεισκίλλης, τῆς Περσίδος, τῶν ἄλλων, ὧν αἱ πρόσθεν γυναῖκες τοσοῦτον ἀπέχουσιν, ὅσον οἱ ἄνδρες τῶν ἀνδρῶν ἐκείνων. τότε μὲν γὰρ ἡ ἀποδημοῦσα οὐκ ἐλάμβανον δόξαν ποτηρίου· νῦν δὲ καὶ θαλάμων τερφόμεναι, μόλις ταύτην διαφθείρουσι τὴν ἀσωτίαν. ταῦτα δὲ ἀπὸ τῶν καλλωπισμῶν γίνεται καὶ τῆς τρυφῆς. τότε ἐκείναις ἔργον ἦν, ἀνῦσαι τὸ κήρυγμα· νῦν δέ, βύρσης καὶ καλάθου φανῆναι βυρσοδώποις. τοῦτο ἡ δόξα αὐταῖς, τοῦτο ἡ σωτηρία· τὰ δὲ ὑψηλὰ καὶ μεγάλα κατορθώματα οὐδὲ ὄναρ φροντίζουσι. Τίς γυνὴ ἀπουδὴν ἐποιήσατο ἀνδράβγιτον ποιῆσαι; Τίς ἀνὴρ ταύτην ἔθετο φροντίδα, ὥστε γυναῖκα διορθώσασθαι; οὐκ ἔστιν οὐδείς· ἀλλὰ τῇ μὲν γυναικὶ πᾶσα ἀπουδὴ περὶ χρυσίων ὑπιμέλειαν * εἰ ματίων εἰ τῶν λοιπῶν τοῦ σώματος καλλωπισμῶν, ἢ ὥστε τὴν ψυχὴν ἀνῦσαι· τῷ δὲ ἀνδρὶ καὶ αὐτῇ, καὶ ἑτέρᾳ πλείσσ, πᾶσαν μηχανὴν βιωτικήν. τίς μέλλων γαμεῖν, ζητεῖ ποῦ ἀσκήσασα καὶ ἀνατροφὴν κόρης; οὐδείς· ἀλλὰ χρήματα εὐθέως καὶ κτήματα, καὶ μέτρα οὐσίας ποικίλης καὶ διαφόρου, καθάπερ τι πρίασθαι μέλλων, ἢ ζωάλλαγμά τι κοινὸν ὑπιτελεῖν. διὰ τοῦτο δὲ ὅτε καλοῦσι γάμον. πολλὴν γὰρ ἴσκασι τὴν λεγόντων· ζωπύλαξεν ὁ δεῖνα τῇ δεῖνι, τουτέστιν, ἔγημε, καὶ εἰς τὰ τοῦ Θεοῦ δωρεὰς συνορίζουσι, καὶ ὥσπερ ὠνούμενοι καὶ πωλοῦντες, ὅτε γαμοῦσι καὶ γαμιοῦνται· εἰ γραμματεῖα πλείονος ἀσφαλείας δεόμενα ζωπυρεῖσιν, ἢ τὰ περὶ τοιούτους καὶ ἀγορασίας. μάθετε πῶς οἱ παλαιοὶ ἐγάμουν, καὶ ζηλώσατε. πῶς οὖν ἐγάμουν ἐκεῖνοι; ζήτουν [ἀγαθοὺς] καὶ ἦν ἡ ζήτησις ἀρετή· διὰ τοῦτο γραμμὴ αὐδεὶς οὐκ ἔδει, οὐδὲ τῆς ἀπὸ χρήτου εἰ μέλανος ἀσφαλείας. ἤρκει γὰρ αὐτὶ πινάκων αὐδεὶς ὁ τῆς νύμφης ζῆτος. καλῶς τοίνυν καὶ ὑμᾶς μὴ χρήματα ζητεῖν καὶ προικισθῆναι· ἀλλὰ ζῆτον καὶ ἐπιείκειαν ζήτησον, καὶ "Αβελβειαν, καὶ φιλόσοφον κόρην, καὶ μυρίων σοι ταῦτα θησαυρῶν ἔσαι βελτίων. διὰ τοῦτο ζητῆς, καὶ ταῦτα ἔξεις· διὰ δὲ ἐκεῖνα παραδραμὼν, ὅπου ταῦτα τρέχῃς, οὐδὲ ταῦτα ἔφθασας. ἀλλ' ὁ δεινά, φησιν, ἀπὸ γυναικὸς πόρρω γέγονεν. οὐκ ἀκμὴν παιδία παραδείγματα

Γεν. γ. κα. Πρξ. ιε. ιε. Πρξ. ιη. ιη. κ. κε. Ρω. ιε. ιβ.

* γρ λίθων

* γρ ἀλλαῦ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δείγματα φέρων; μυριάκις ηλοίμην πένης, πολλαὶ ἡκουσα λεγόντων, ἢ τοσοῦτος γυναικὸς λαβοίμι πλοῦτον. Τί γὰρ ἀνδρεῖον ἐκείνου τοῦ πλούτου; τίς ταύτης πικρότερον τῆς ὕβρεως; τί δὲ αἰσχρότερον τοῦ ἐπίσημον εἶναι ἐντεῦθεν, καὶ λέγεσθαι τοσοῦτος πλούτων, ὁ δεῖνα. ἀπὸ γυναικὸς ὕβρεως γέγονε; ταῖς γὰρ ἔνδον ἀνδρίας ἀφίημι, ὅσας ἐκ τούτου συμβαίνειν ἀνάγκη· ὁ φεῦ μα τῆς γυναικός, τοῦ δυσθεραπεύτου, "ταῖς μάχαις, τὰ τοῦ οἰκετῶν ὀνείδη· ὁ πένης, ὁ ῥακοδύτης, ὁ ἄτιμος καὶ ὀξ ἀτίμων. τί γὰρ ἦλθεν ἔχων; "ἢ πλοῦτα τῆς κυρίας; ἀλλ' οὐδέν σοι μέλει τῶν ῥημάτων τούτων· οὐδὲ γὰρ ἐλεύθερος εἶ. ἐπεὶ καὶ ⓐ τοσοῦτοι τούτων καταδεέστερα ἀκούουσι, καὶ οὐκ ἀλγοῦσιν οὐδὲ ὅτου, ἀλλὰ καὶ ἐγκαλλωπίζονται τῇ αἰσχύνῃ· καὶ ὅταν ταῦτα λέγωμεν αὐτοῖς· ἔστω, φησίν, ἡδύ τι καὶ γλυκύ, καὶ ἀποπνίγεσθε με. ὦ τοῦ σκώμματος. οἵας προοιμίας ἐποιήσατο τῷ βίῳ, ὁλόκληρον τὸν ζωὸν" τῶν τοιούτων ἀναπλέσαι δυναμένας; ὅσα γοῦν αὐτὸν ταῦτα τὸν σκωμμικὸν καὶ ὀλεθρίαν ῥῆσιν, ὅσους γέμει τῆς ἀπωλείας. οὐδὲν γὰρ ἄλλο φησίν, ἀλλ' ἢ ταυτὶ τὰ ῥήματα· μηδείς σοι τοῦ σεμνοῦ, μηδείς σοι τοῦ δικαίου λόγος ἔστω· πλοῦτα ἐρρίφθω σκῦλα. ἓν μόνον ζήτησον, τὸν ἡδονήν. κἂν ἀνάγκη σε ὁ τοσοῦτος, αἴρετον ἔστω· κἂν πάντες ἐμπίπτωσιν ⓐ ἀπλουτοῦντες, κἂν τῇ ὀφρύϊ τοσοῦτος βρύωνται βόρβορον, κἂν ὡς κυσὶ ἐλακύνωσι, πάντα φέρε. καὶ τί γὰρ ἄλλο χοῖρες φωνὴν λαβόντες εἶπον; τί δὲ κύνες ⓐ ἀκάθαρτοι; πάλαι δὲ γὰρ ἐκεῖνοι τοιαῦτα ἐφθέγξαντο, οἷα ἂν θέσθαι ἔπεισεν ὁ σκάβολος λυπᾶν. διὸ τοσοῦτος καλῶ τὴν ἀναθησίαν σωτηρίας τοσοῦτος τοιούτων ῥημάτων, φεύγειν τὰς τοιαύτας προοιμίας, καὶ τὰς ἀπὸ τῆς γραφῆς ἐκλέγειν ἀπενθυμίας αὐτάς ὄσας. Τίνες δέ εἰσιν αὗται; Μὴ πορεύου, φησίν, ὀπίσω "τῶν ἐπιθυμιῶν σου ψυχῆς σου, καὶ ἀπὸ τοῦ ὀρέξεώς σου κωλύου. καὶ τοσοῦτος πόρνης πάλιν φησὶν ἀπενθυμίας τῇ παροιμίᾳ ταύτῃ· Μὴ τοσοῦτος σχῇς φαύλῃ γυναικί. μέλι γάρ "σταζει ἀπὸ χειλέων γυναικὸς πόρνης, καὶ τοσοῦτος κατὰ βραχὺ λιπαίνει ⓦ φαρυγγα· ὕστερον μέντοι πικρότερον χολῆς βυρσοτις, καὶ πάνυ μάλλον μαχαίρας δίστομον. τούτων τοίνυν ἀκούσωμεν, μὴ ἐκείνων. καὶ γὰρ ἐντεῦθεν ⓐ ἀπελεύθεροι, ἐντεῦθεν ⓐ δουλοπρεπεῖς λογισμοὶ φύονται· ἐντεῦθεν ἄλογα ⓐ αἰσθητοὶ γίνονται, ὅτι πλουτοῦν τοῖς ἡδονὴν διώκειν ἐθέλουσι καὶ τὴν παροιμίαν ταύτην, ἣ ἔχουσι τῶν ἡμετέρων λόγων αὐτόθεν δεῖ κατάλυσις. μὴ γὰρ ὁ ἀποπνιγῶμεν, τί ὁ κέρδος τῆς γλυκύτητος; παύσασθε τοίνυν τοσοῦτον κατασκευάζοντες γέλωτα, καὶ γέενναν ἀνάπτοντες καὶ πῦρ ἄσβεστον, καὶ σκωλέκωμεν κἂν ὀφθῶμεν ποτε ὡς χρὴ τοῦς τὰ μέλλοντα, τοῖς τῶν ὀφθαλμῶν λήμην ἀποβαλόντες· ὅπως καὶ ⓦ ἐνταῦθα βίον κοσμίως καὶ μετὰ πολλῆς τῆς σεμνότητος καὶ εὐλαβείας προέλθωμεν, καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

κ.τ κεγχάρματα, κ. ἰχῆ

κ. τότων

κ.τ ἐπιθυμίας κ. ἀποπάζει

Σειρ. ιιι. λ. Ρωμ. ιγ. ιδ. καὶ ε. ε. Παροιμ. ε. γ. δ.,

Ομιλ. οδ'. 29 ΟΥΑΙ ΥΜΙΝ ΓΡΑΜΜΑΤΕΙΣ ΚΑΙ ΦΑ-
ρισαῖοι ὑποκριταί, ὅτι οἰκοδομεῖτε τοὺς τάφους τῶν προφητῶν,
30 Καὶ κοσμεῖτε τὰ μνημεῖα αὐτῶν, καὶ λέγετε, Εἰ ἦμεν ἐν ταῖς ἡμέραις τῶν πατέρων ἡμῶν, οὐκ ἂν ἦμεν κοινωνοὶ αὐτῶν ἐν τῷ αἵματι τῶν προφητῶν.

ΟΥΑΙ ὅτι οἰκοδομοῦσιν, ἀλλ' ὅτι ἐγκαλοῦσιν, ἐκείνοις φησίν· ἀλλ' ὅτι καὶ ταύτῃ καὶ δι' ὧν λέγουσι, καταγινώσκειν προσαποιούμενοι τῶν πατέρων, κείσονται προφάσεις. ὅτι γὰρ προσαπόισις ἐστὶν ἡ κατάγνωσις, ὁ Λουκᾶς φησιν· ὅτι καὶ συνευδοκεῖτε, ὅτι οἰκοδομεῖτε. Οὐαὶ γὰρ ὑμῖν, φησιν, ὅτι οἰκοδομεῖτε τὰ μνήματα τῶν προφητῶν· ⓐ οἱ πατέρες ὑμῶν ἀπέκτειναν αὐτούς. ἄρα μαρτυρεῖτε καὶ συνευδοκεῖτε τοῖς ἔργοις τῶν πατέρων

Λυκ. ια. μζ. μη.

πατέρων ὑμῶν, ὅτι αὐτοὶ μὲν ἀπέκτειναν αὐτούς· ὑμεῖς δὲ οἰκοδομεῖτε τὰ μνήματα αὐτῶν. ἐνταῦθα γὰρ τὴν γνώμην αὐτῶν διαβάλλει, μετὰ ἧς ᾠκοδόμουν· ὅτι δὲ δι' ὑμῶν τὰ σφαγίων, ἀλλ' ὡς ἐμπεπλήσθαι ταῖς σφαγαῖς, καὶ δεδοικότες, μήποτε τῷ μεγέθει τῶν ταφῶν ἀφανισθέντων μηδαμοῦ ἡ τοσαύτη τόλμης ὁ ἔλεγχος καὶ ἡ μνήμη. οὕτως ᾠκοδόμουν αὐτῶν τοὺς τάφους, ὥσπερ τι θέατρον ἱστῶντες λαμπρὰς καὶ οἰκοδομάς, καὶ καλλωπιζόμενοι τοῖς ἐκείνων τολμήμασι καὶ ὀπτιδεικνύμενοι. τὰ γὰρ νεκρὰ τολμῶμενα πρὸς ὑμῶν δείκνυσιν ὅτι καὶ τοῦτο τὸ τύπῳ ποιεῖτε τῷ θέατρῳ. καὶ γὰρ τὰ ἐναντία λέγητε, φησίν, ὡς καταγνώσκοντες αὐτῶν, οἷς οὐκ ἂν ἤμην κοινωνοὶ αὐτῶν, εἰ ἤμην ἐν ταῖς ἡμέραις ἐκείναις, ἀλλ' ἡ γνώμη δῆλη ἡ ταῦτα λέγουσα. διὸ καὶ ἐκκαλύπτων αὐτὴν, αἰνιγματωδῶς μοι, εἴρηκε δι' οὗ ὅμως. εἰπὲ γάρ· λέγετε ὅτι εἰ ἤμην ἐν ταῖς ἡμέραις τῶν πατέρων ἡμῶν, οὐκ ἂν ἤμην κοινωνοὶ αὐτῶν ἐν τῷ αἵματι τῶν προφητῶν, ἐπήγαγε. 31 Ὥστε μαρτυρεῖτε ἑαυτοῖς, ὅτι υἱοί ἐστε τῶν φονευσάντων τοὺς προφήτας. Καὶ ποῖον ἔγκλημα υἱὸν εἶ ἀνδροφόνου, μὴ μὴ κοινωνῇ τῇ γνώμῃ τοῦ πατρός; οὐδέν. ὅταν δῆλον ὅτι τοῦτο αὐτοῖς προφέρει, τὴν κατὰ καιρὸν συγγένειαν ἀνιπτόμενος. καὶ τοῦτο καὶ ὁ ἑξῆς δηλοῖ. ἐπήγαγε δι' οὗ·

33 Ὄφεις, γεννήματα ἐχιδνῶν. Ὥσπερ γὰρ ὄνομα ἐοικὲ τοῖς γονεῦσι κατὰ τὴν τοῦ ἰοῦ λύμην, οὕτω καὶ ὑμεῖς τοῖς πατράσι κατὰ τὸ φονικόν. εἶτα δείκνυσι γνώμην ἐστίζειν ἀδηλον τοῖς πολλοῖς οὖσαν, καὶ ἀφ' ὧν μέλλουσι τολμᾶν τὴν πᾶσιν ἐσομένων δῆλων κατασκευάζει τὰ εἰρημένα. δῆλον γὰρ εἶπεν, ὥστε μαρτυρεῖτε ἑαυτοῖς, ὅτι υἱοί ἐστε τῶν φονευσάντων τοὺς προφήτας, δῆλαδὴ ὅτι τὴν κατὰ πονηρίαν συγγένειαν λέγει, καὶ ὅτι πλάσμα ἐστὶ τὸ λέγειν, ὅτι οὐκ ἂν ἤμην αὐτῶν κοινωνοί, ἐπήγαγε·

32 Καὶ ὑμεῖς πληρώσατε τὸ μέτρον τῶν πατέρων ὑμῶν. πλ. πληρώσετε

Οὐκ ὀκνηρῶν, ἀλλὰ προφανῶν τὸ ἐσόμενον, τουτέστι, τὸ ἑαυτοῦ σφαγιοῦ. διὰ δὴ τοῦτο ἐπάγων Ⓦ ἔλεγχον, καὶ δείξας ὅτι πλάσματα ἐστὶ ἃ περ ἔλεγεν ὑπὲρ ἑαυτῶν ἀπολογούμενοι, οἷς, ὅτι οὐκ ἂν ἤμην κοινωνοὶ αὐτῶν (Ⓒ γὰρ τοῦ διαφόρου μὴ ἀπεχόμενοι, πῶς ἂν τῶν δούλων ἀπέχοντο) καταφορικωτέρῳ τῷ μὴ ταῦτα κέχρηται λόγῳ, ὄφεις καλῶν καὶ γεννήματα ἐχιδνῶν, καὶ λέγων· Πῶς φεύξησθε ἀπὸ τῆς κρίσεως τῆς γεέννης,

Τοιαῦτα τολμῶντες καὶ ἀρνούμενοι, καὶ τὴν γνώμην κρύπτοντες; εἶτα καὶ ἑτέρωθεν αὐτοῦ ἐλέγχων ἐκ προφορικοῦ, φησίν·

34 Διὰ τοῦτο ἰδοὺ ἀποστέλλω πρὸς ὑμᾶς προφήτας καὶ σοφοὺς καὶ γραμματεῖς, καὶ ἐξ αὐτῶν ἀποκτενεῖτε καὶ σταυρώσετε καὶ μαστιγώσετε ἐν ταῖς συναγωγαῖς ὑμῶν. 30

28 Οπου γὰρ ἂν ᾖ τὸ πτῶμα, ἐκεῖ συναχθήσονται καὶ οἱ ἀετοί. Πληρώσας τὰ περὶ Ιερουσαλήμ, εἰς τὴν ἀοίδιον λοιπὸν μεταβαίνει παρουσίαν, καὶ λέγει ἀοίδιος τὰ σημεῖα, οὐκ ἐκείνοις χρήσιμα μόνον, ἀλλὰ καὶ ἡμῖν καὶ τοῖς μετ' ἡμᾶς ἐσομένοις πᾶσι. τότε, πότε; ἐν ταύτῃ, ὁ πολλάκις εἶπον, οὐχὶ τῆς ἀκολουθίας ὅτι τοῦ χαρακτῆρος ἕνεκεν εἰρημένων τὸ τότε· ὅπου γὰρ ἀκλυσθῆναι ἐβούλετο εἰπεῖν, ἐπήγαγεν, εὐθέως μετὰ τὴν θλῖψιν τῶν ἡμερῶν ἐκείνων· ἐν ταύτῃ οὖν οὐχ ὅτως, ἀλλὰ τότε, ἀντὶ τοῦ μετὰ ταῦτα εὐθέως δηλοῖ, ἀλλὰ τὰ ἐν τῷ καιρῷ, ᾧ μέλλει ταῦτα γίνεσθαι ἅπερ ἔμπροσθεν λέγων. ὅτε οὖν ὅταν λέγῃ, ἐν ἐκείναις ταῖς ἡμέραις ὠδαγίνει) Ιωάννης ὁ βαπτιστής, καὶ οὐκ εὐθέως λέγει καιρόν, ἀλλὰ μετὰ πολλὰ ἔτη, ἐν καιρῷ, καθ' ὃν ταῦτα ἐγένετο ἅπερ ἔρχεται ἔμπροσθεν. καὶ γὰρ τῆς γεννήσεως διαλαμβάνει τοῦ Ιησοῦ, καὶ τῆς τῶν μάγων παρουσίας, καὶ τῆς τελευτῆς Ηρῴδου, εὐθέως φησίν· Εν ἐκείναις ταῖς ἡμέραις ὠδαγίνετο Ιωάννης ὁ βαπτιστής, καιροὶ τεσσαράκοντα μεταξὺ γέγονεν ἔτη. Ματθ. γ. α. ἀλλ' ἔξεστι τοῦτο τῇ γραφῇ τρόπῳ κεχρῆσθαι τῆς ἱστορίας τὸ ζῆτημα. οὕτω δὴ καὶ ἐνταῦθα, τὸν μέσον ἄπαντα χρόνον παρέλθων καὶ ἀπὸ τῆς ἀλώσεως τῶν Ιεροσολύμων, ἕως τῆς τελειοποιίας τῆς συντελείας, λέγει καὶ ὀλίγῳ πρὸ τῆς συντελείας. Τότε οὖν ἐάν τις ὑμῖν εἴπῃ, φησίν, ἰδοὺ ὧδε ὁ Χριστός, ἢ ὧδε, μὴ πιστεύσητε. πῶς ἀπὸ τοῦ τόπου αὐτὸς ἀσφαλίζεται), λέγων τὰ ἰδιώματα τῆς αὐτοῦ παρουσίας τῆς δευτέρας, καὶ τὰ τῶν πλανώντων δείγματα. οὐ γὰρ ὥσπερ ἐν τῇ πρώτῃ ἐν Βηθλεὲμ ἐφάνη, καὶ ἐν γωνίᾳ μικρᾷ τῆς οἰκουμένης, καὶ οὐδενὸς εἰδότος ἦλθε καὶ ἔμαθεν, οὕτω καὶ τότε φησίν· ἀλλὰ φανερῶς καὶ μετὰ πολυφημείας ἁπάσης, καὶ ὡς μὴ δεῖσθαι τοῦ ταῦτα ἀπαγγέλλοντος. οὐ μικρὸν δὲ τοῦτο σημεῖον τοῦ μὴ λανθανόντως παραγίνεσθαι. σκόπει δὲ πῶς ἐνταῦθα οὐδὲν περὶ πολέμου διαλέγεται (τὰ γὰρ περὶ τῆς παρουσίας αὐτοῦ διηκριβωμένα λέγων) ἀλλὰ περὶ τῶν ἀπατώντων ὅπου χειροήθων. καὶ μὴ γὰρ ὅτι τοὺς ἀποστόλους τοὺς πολλοὺς ἠπάτων (ἐλεύσονται γάρ, φησι, καὶ ἀπατήσουσι πολλούς) καὶ ὅταν τοὺς δυστυχεῖς αὐτοῦ προσοίσας, οἱ καὶ ἐκείνων ἔσονται πικρότεροι. δώσουσι γάρ, φησι, σημεῖα καὶ τέρατα, ὥστε πλανῆσαι, εἰ δυνατόν, καὶ τοὺς ἐκλεκτούς. ἐνταῦθα καὶ ἀντίχριστον φησι, καὶ δείκνυσι τίνας καὶ Μακεδονομάχους αὐτοῦ· περὶ δὲ καὶ Παύλος φησιν ὅτι. καλέσας γὰρ αὐτὸν ἀνθρωπον ἁμαρτίας καὶ υἱὸν ἀπωλείας, ἐπήγαγεν· Οὗ ἐστιν ἡ παρουσία κατ' ἐνέργειαν τοῦ Σατανᾶ, ἐν πάσῃ δυνάμει καὶ σημείοις καὶ τέρασι ψεύδους, ἐν πάσῃ ἀπάτῃ τῆς ἀδικίας ἐν τοῖς ἀπολλυμένοις. καὶ ὅρα πῶς ἀσφαλίζεται). μὴ ἐξέλθητε, φησίν, εἰς τὴν ἔρημον, μὴ εἰσέλθητε εἰς τὰ ταμεῖα· οὐκ εἶπεν, ἀπέλθετε καὶ μὴ πιστεύσητε· ἀλλὰ μὴ εἰσέλθητε, μηδὲ ἐξέλθητε. καὶ γὰρ πολλὴ τότε ἡ ἀπάτη, διὸ καὶ σημεῖα γίνεσθαι ἀπάτης. Εἰπὼν τοίνυν πῶς ἐκφύγωμεν ὠδαγίνει), οἵ ὅτι ἐν τούτῳ, λέγει πῶς καὶ αὐτός. πῶς οὖν αὐτός; ὥσπερ ἡ ἀστραπὴ ἐξέρχεται ἀπὸ ἀνατολῶν, καὶ φαίνεται ἕως δυσμῶν, οὕτως ἔσται καὶ ἡ παρουσία τοῦ υἱοῦ τοῦ ἀνθρώπου. ὅπου γὰρ ἂν ᾖ τὸ πτῶμα, ἐκεῖ καὶ οἱ ἀετοί. πῶς οὖν ἡ ἀστραπὴ φαίνεται; οὐδεὶς ἀπαγγέλλοντος, οὐδὲ εἷς κήρυκος, ἀλλὰ καὶ τοῖς ἐν οἰκίαις καθημένοις, καὶ τοῖς ἐν θαλάμοις ἐν ἀκαριαίᾳ ῥοπῇ καὶ τῷ οἰκουμενικῷ δείκνυσι) πᾶσι. οὕτως ἔσται ἡ παρουσία ἐκείνη, οὐ μόνον πάντα καταφανισθήσεται διὰ τὴν ἐκλαμψιν τῆς δόξης. λέγει δὲ καὶ ἕτερον σημεῖον· ὅπου τὸ σῶμα, ἐκεῖ καὶ οἱ ἀετοί· τὸ πλῆθος τῶν ἀγγέλων, τῶν μυρίων, τῶν ἀγίων ἀπόντων δηλονότι. εἶτα λέγει θαύματα φοβερά. Ἵνα δὲ ἴδῃς τὰ θαύματα;

29 Εὐθέως μετὰ τὴν θλῖψιν τῶν ἡμερῶν ἐκείνων, φησίν, ὁ ἥλιος σκοτισθήσεται.

Θλῖψιν ποίαν λέγει ἡμερῶν; ἢ ἀντιχρίστου καὶ τῶν ψευδοπροφητῶν. θλῖψις γὰρ τότε ἔσται μεγάλη, τοσαύτη οὐ γέγονε τῶν ἀπάντων· ἀλλ' οὐκ ἐκτείνει) εἰς χρόνου μῆκος. Εἰ γὰρ ὁ Ιουδαϊκὸς πόλεμος διὰ τοὺς ἐκλεκτοὺς ἐκολοβώθη, πολλῷ μᾶλλον οὗτος ὁ πειρασμὸς συναλήσεται

ἴσ. ποίαν

συσαλήσεται δηλ. τοὺς ἀγγέλους τούτους. δηλ. τὸ οὐκ εἶπε, μὴ τῷ θλίψει, ἀλλ' οὐχ ὡς μὴ τῇ θλίψει τῶν ἡμερῶν ἐκείνων ὁ ἥλιος σκοτισθήσεται). ὁμοῦ γὰρ πάντα γίνεται. οἵ τε γὰρ ψευδοπροφῆται καὶ ⓦ ψευδόχριστοι θορυβήσουσι πολλοὺς λέγοντες, καὶ οὐδέποτε αὐτοὺς παύσαι. ὁ γὰρ ὢν μηκέτι τότε μέλλει κατέχειν παρεχὶ τῶν οἰκουμένων. πῶς οὖν πολεμήσεται; μεταχηματιζομένης λοιπὸν ταύτης τῆς κτίσεως. ὁ γὰρ ἥλιος σκοτισθήσεται), οὐκ ἀφανιζόμενος, ἀλλὰ νικώμενος τῇ φωτὶ τῆς προόσεως αὐτοῦ. Καὶ τὰ ἄστρα πεσοῦνται.

Τίς γὰρ αὐτῶν ἔστι χρεία λοιπὸν, νυκτὸς οὐκ οὔσης; Καὶ αἱ δυνάμεις τῶν οὐρανῶν σαλευθήσονται). Καὶ μάλα εἰκότως, ὁρῶσαι τοσαύτην μεταβολὴν γινομένην. εἰ γὰρ ὅτε ἐλύετο τὰ ἄστρα, ὅτως ἔφριξαν καὶ ἐτρόμαξαν (Οτε γὰρ ἐλύπησε ἄστρα, φησί μοι, Φησι, Ιω. λπ.ζ.β. φωνῇ μεγάλῃ πάντες ἀγγελοι) πολλῷ μᾶλλον ὁρῶντες πάντα μεταρρυθμιζόμενα, καὶ τοὺς ζωδύλους αὐτῶν διδόντας οὐθενὸς, καὶ τὴν οἰκουμένην ἅπασαν φοβερῷ παρεσταμένην δικαστηρίῳ, καὶ τοὺς ἐκ τοῦ Αδαμ μέχρι τῆς αὐτοῦ προόσεως ἠγορασμένους λόγον ἀπαιτουμένους ἀναπάντων ὧν ἐπράξαν, πῶς οὐ φρίξουσι καὶ σαλευθήσονται;

30 Τότε φανήσεται τὸ σημεῖον τοῦ υἱοῦ τοῦ ἀνθρώπου ἐν τῷ οὐρανῷ. Τουτέστιν, ὁ σωτὴρ ἡλίου φαιδρότερος ὤν, εἴτε σκῆνος μὴ σκοτίζεται καὶ κρύπτεται, οὗτος φανεῖ), οὐκ ἂν φανείη, εἰ μὴ πολλῷ τῶν ἡλιακῶν ἀκτίνων φαιδρότερος ἦν. τίνος οὖν ἕνεκεν τὸ σημεῖον τοῦτο φανεῖ); ὥστε ἐκ προόσεως πολλῆς ἐπισημαθῆναι τὴν τῶν Ιουδαίων ἀναίσχυντον. καὶ γὰρ δικαίωμα μέγιστον ἔχων ⓦ σωτὴρ, ὅτω προσῆλθε εἰς σκῆνος τὸ δικαστήριον ὁ Χριστὸς, οὐχὶ τὰ πταίσματα μόνον, ἀλλὰ καὶ ⓦ θάνατον τὸν ἐπονειδιστον δικαιεῖ.

Τότε κόψονται) αἱ φυλαί. Οὐ γὰρ χρεία κατηγορίας, ὅταν ἴδωσι ⓦ σωτῆρα. κόψονται, ὅτι ἀποθανόντος, οὐδὲν ὠφελήσουσιν, ὅτι ἐσταυρωμένον οὐ προσεκύνησαν ἔδει. Εἶδες πῶς ἐπέγραψε τὴν προόσιν αὐτοῦ φοβερὰν; πάλιν ἀνέστησε τὰ φερώνυμα τῶν μαθητῶν; δηλ. τοίνυν τοῦτο πρότερον τὰ λυπηρὰ ἴδωσι, ἵνα τὰ χρηστὰ, ἵνα τούτοις αὐτοὺς παραμυθήσηται καὶ ἀναπαύσῃ. καὶ πρὸς τοὺς παθοῦς οὖν αὐτοὺς ἐπαναμιμνήσκει πάλιν καὶ τῆς ἀναστάσεως, καὶ μὴ λαμπροτέρᾳ τῇ σχήματος μέμνηται) τοῦ σωτῆρος, ὥστε μὴ αἰσχύνεσθαι αὐτοὺς, μήτε ὀδυνᾶσθαι, ὅπουγε αὐτὴ σημείου τότε ἔρχεται προφθάνοντος αὐτὸν. ἄλλως δὲ φησιν, Οτι ὄψον) εἰς ὃν ἐξεκέντησαν. δηλ. δὲ τοῦτο κόψον) αἱ φυλαὶ, ἰδοῦσαι ὅτι οὗτος ἐκεῖνός ἐστιν. ὅπου γὰρ καὶ σωτὴρ ἀνέμνησε, προσέθηκεν ὅτι ὄψονται ⓦ υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον, οὐκ ἐπὶ ὅπῃ τοῦ σωτῆρος, ἀλλ' ὅπῃ τῶν νεφελῶν τοῦ οὐρανοῦ μετὰ δυνάμεως καὶ δόξης πολλῆς. μὴ γὰρ ὅπῃ τὸν σωτῆρα ἠκουσάς, φησι, νομίσῃς πάλιν σκυθρωπόν εἶναί τι (μετὰ γὰρ δυνάμεως ἥξει καὶ δόξης πολλῆς) φέρει γὰρ αὐτὸν, ἵνα μὴ ἀναπάκειτος αὐτῷ γένηται ἡ ἁμαρτία· ὥσπερ οὖν εἴ τις λίθῳ πλήσειε, αὐτὸν ὑπεδείξε ⓦ λίθον, ἢ τὰ ἱμάτια ἡμαγμένα. καὶ ὁ νεφέλη ἔρχεται ὡς ἀνελήφθη· καὶ τοῦτο ὁρῶσαι θρηνοῦσιν αἱ φυλαί. οὐ μὴν τοι μέχρι θρηνίων ἔσονται αὐτοῖς τὰ δειναὶ, ἀλλ' ὁ μὲν θρηνῶν ἔσται, ἵνα οἰκτρὸν τὸν ψῆφον ἐξενέγκωσι τὸ ἑαυτοῖς καταδικάσωσι τότε ὁ πάλιν

31 Αποστελεῖ τοὺς ἀγγέλους αὐτοῦ μετὰ σάλπιγγος μεγάλης, καὶ ζωάξουσι τοὺς ἐκλεκτοὺς αὐτοῦ ἐκ τῶν τεσσάρων ἀνέμων ἀπ' ἄκρων οὐρανῶν ἕως ἄκρων αὐτῶν.

Οταν οὖν ταῦτα ἀκούσῃς, σπεύδει τῶν μυρόντων τὴν κολασιν. οὐδὲ γὰρ ἐκείνῳ δώσει τὴν δίκην μόνον, ἀλλὰ καὶ τούτῳ. καὶ ὥσπερ ἀνωτέρω ἔλεγεν, ὅτι ἐρεῖ, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου· ὅτως ἐνταῦθα, ὅτι κόψονται. ὅπου γὰρ πολέμων αὐτοῖς διελέχθη χαλεπῶν, ἵνα μάθωσιν, ὅτι μὴ τῶν ἐνταῦθα δεινῶν καὶ τὰ ἐκεῖ αὐτοὺς διαμένει βασανιστήρια, καὶ κατωλοφυρομένους ἐπάγει, καὶ χωριζομένους τῶν ἐκλεκτῶν καὶ γεέννῃ παραδιδομένους· καὶ ἐντεῦθεν πάλιν τοὺς μαθητὰς διεγείρων καὶ δείκνυσι, ὅσων μὲν ἀπαλλαγήσονται δεινῶν, ὅσων δὲ ἀπολαύσονται ἀγαθῶν. καὶ ἵνα δήποτε δι' ἀγγέλων αὐτοὺς καλεῖ, οὕτω φανερῶς ἐρχόμενος;

ἀπὸ μακρὰ

ἰσ. ἔσαι

χ. λαμπρότερα

χ. κακῶν ἢ χ. εἰ ὧν φανερῶς ἔρχεται;

α. Θεσσ. δ'. ιζ. ιε. λθος; ὑμῶν αὐλοὶς ἢ ᾠδαὶ ἐν ταύτῃ. ὁ δὲ Παῦλος, Ὅτι ἁρπαγήσονται ἐν νεφέλαις, λέγει. Εἶπε δὲ ἢ τοῦτο, ὅτε τῶν αἰσθήσεων διελέγετο αὐλοῖς. Αὐτὸς γάρ, φησίν, ὁ Κύριος καταβήσεται ἀπ' οὐρανοῦ ἐν κελεύσματι, ἐν φωνῇ ἀρχαγγέλου. ὥστε συνάσας μὲν συλλέξουσιν ἄγγελοι, συλλεγέντας δὲ ἁρπάσουσιν αἱ νεφέλαι, καὶ πάντα πρώτα ἐν ἀκμαιοτάτῃ ἡλικίᾳ, ἐν ἀτιμίᾳ. οὐ γὰρ δὴ αὐλοὺς δύο μόνων καλεῖ, ἀλλ' αὐτὸς ἔρχεται ἐν σάλπιγγι. καὶ τί βούλεται; αἱ σάλπιγγες καὶ ἡ ἠχή; τοὺς ἀγγέλους φησίν, τοὺς εὐφροσύνῃ, τοὺς ἁρπάσαι τὸ τῶν μυρίων ἐκπλήξεως, τοὺς ἐλευθέρους τῶν ἀπολιμπανομένων.

ΗΘΙΚΟΝ Οἴμοι ἀπὸ τῆς ἡμέρας ἐκείνης τῆς φοβερᾶς. δέον ἡμᾶς χαίρειν ὅταν ταῦτα ἀκούωμεν· "ἀλλ' ἀλγοῦμεν καὶ κατηφεῖς ἐσμεν [καὶ σκυθρωπάζομεν.] ἢ μόνος ἐγὼ ταῦτα πάσχω· ὑμεῖς δὲ χαίρετε ἐν τῇ τούτων ἀκροάσει; ὡς ἐμοιγε καὶ φρίκη τις ἐπισέρχεται λεγομένων τούτων, καὶ πικρὸν ὀδύρομαι, καὶ ἐκ βαθυτάτης σπαράττω καρδίας. οὐδὲν γὰρ τούτων πρὸς ἐμέ· ἀλλ' ἐκείνων τῶν μὴ ταῦτα λεχθέντων, τῶν πρὸς τὰ πρῶτα γένους, τῶν πρὸς Ⓦ καταχώσαντα τὸ τάλαντον ὅπερ ἔλαβε, τῶν πρὸς Ⓦ πονηρὸν δοῦλον. Διὰ ταῦτα δακρύω, ὅσης δόξης ἐκπίπτειν μέλλομεν, ὅσης ἐλπίδος ἀγαθῶν, καὶ τοῦτο διηνεκῶς καὶ εἰς ἀεί, ἵνα μὴ μικρὸν ἀποδυσάμενοι. εἰ μὲν γὰρ πόνος πολὺς ἦν ἢ νόμοι βαρεῖς, ἔδει μὲν καὶ οὕτω πρᾶττα ποιεῖν· πολλῷ δὲ καὶ πρὸ φασίν ἵνα ἐδόκουν ἔνιοι πολλοὶ τῶν ῥᾳθύμων, ψυχρὸν μὲν, ἐδόκουν δ' οὖν ἔχειν ὃ ἐπεφώνουν τῷ ὑποταγμένῳ, καὶ ὅτι μέγας ὁ πόνος, καὶ ἀπειρος ὁ χρόνος, καὶ ἀφόρητον τὸ φορτίον· νυνὶ δὲ οὐδὲν τοιοῦτόν ἐστι προβαλέσθαι, ὅπερ μάλιστα τῆς γεέννης ἡμᾶς οὐκ ἦττον Διαπρῶτειν μέλλει ἢ Ⓦ καιρὸν σκῶμεν, ὅταν δὲ μικρὰν ῥοπὴν καὶ ὀλίγην ἰδρῶτα Ⓦ οὐρανὸν ὠνούμενοι καὶ τὰ ἀπόῤῥητα ἀγαθά. καὶ γὰρ καὶ ὁ χρόνος βραχὺς, καὶ ὁ πόνος ὀλίγος· καὶ ὅμως σκληρυνόμεθα, καὶ διαπεπωκαμεν. ἐν γῇ ἀγωνίζῃ, καὶ ἐν οὐρανοῖς ὁ στέφανος· ὑπὸ ἀνθρώπων κολάζῃ, καὶ ὑπὸ Θεοῦ μιᾶς· ἐν δύο ἡμέραις πέχεις, καὶ εἰς ἀπείρους αἰῶνας τὰ βραβεῖα· ἐν φθαρτῷ σώματι ἡ πάλη, καὶ ἐν ἀφθάρτῳ" ἡ ἡμῖν. καὶ χρεὼν ἦν τούτων κἀκεῖνο λογίζεσθαι χρὴ, ὅτι κἂν μὴ διὰ Ⓦ Χριστὸν ἐλώμεθά τι παθεῖν τῶν ὁδυνηρῶν, ἀνάγκη αὐτὰ καὶ ἄλλως ὑπομεῖναι πόνους. οὐδὲ γὰρ δὴ διὰ Ⓦ Χριστὸν μὴ ἀποθάνῃς, ἀθάνατος ἔσῃ· οὐδὲ δὴ διὰ τὸν Χριστὸν μὴ ῥίψῃς τὰ χρήματα, ἔχων αὐτὰ ἀπελθεῖν. ταῦτα ἀπαιτεῖ παρὰ σοῦ, ἃ καὶ μὴ ἀπαιτοῦντος δώσεις διὰ τὸ θνητὸν εἶναι. πάντα σε βούλεται ποιῆσαι σῇ γνώμῃ, ἃ καὶ ἀνάγκη σε δεῖ ποιῆσαι. ποσοῦτον γὰρ ἀπαιτεῖ προσθεῖναι μόνον, τὸ δὲ αὐτὸν γενέσθαι· ὡς ὅλως συμβῶσαι πάντα εἰς πεῖραν ἐλθεῖν, καὶ ἀπὸ τῆς φύσεως ἀνάγκης ἔσῃ. εἶδες πῶς εὔκολος ὁ ἀγών; ἃ πρώτως, φησίν, ἀνάγκη σε παθεῖν, ἑλοῦ παθεῖν δι' ἐμέ· τοῦτο προσκείσθω μόνον, καὶ ἀρχέσουσαν ἔχω τὴν ὑποχωρίαν. ὃ ἑτέρῳ μέλλεις δανείζειν χρυσίον, τοῦτο δάνειον ἐμοί, καὶ ὅπου πλείονι καὶ ἀσφαλείᾳ μείζονι· ὃ ἑτέρῳ μέλλεις χαρίζεσθαι σῶμα, τοῦτο χάρισαι ἐμοί. καὶ γὰρ ὑποβαίνω σου τοὺς πόνους τῆς ἀντιδόσεως οὐκ πολλῆς τῆς προσοισίας. σὺ δὲ ἐν μὲν τοῖς ἄλλοις τὰ πλείονα πρόσεχε τοῦ λιμᾶς, καὶ ἐν δανείσμασι, καὶ ἐν ἀγοραστίᾳ, καὶ ἐν χρατίᾳ· τὸν δὲ Χριστὸν μόνον πλέον ἁπάντων πρόσεχε, καὶ ἀπείρως πλέον, τοῦτον γὰρ καταδέχῃ. καὶ τίς ὁ τοσοῦτος πόλεμος; τίς ἡ τοσαύτη ἀπόῤῥησις; πόθεν λοιπὸν ἔξεις συγγνώμην καὶ ἀπολογίαν, οὐδὲ ἀφ' ὧν ἀνθρώπους προστιμᾶς ἀνθρώπων, ἀπὸ τούτων ἀνεχόμενος τὸν Θεὸν προστιμῶντα τῶν ἀνθρώπων; τί τῇ γῇ προσδίδους τὸ δηναρεῖον; δὸς τῇ ἐμῇ χειρί, φησίν. ἀδοκεῖσοι τῆς γῆς ἀξιοπιστότερος εἶναι ὁ τῆς γῆς δεσπότης; ἐκείνη δὲ καταβληθὲν ἀποδίδωσι, καὶ πολλάκις ἢ οὐδὲ τοῦτο· "σοὶ δὲ ἐγὼ μισθοὺς σοι ἀποδίδωσι τῆς φυλακῆς. ἐγὼ γὰρ σφόδρα ἠμῶν ἐρᾶ. Διὰ τοῦτο κἂν δοῦναι θέλῃς, ἕστηκεν ἕτοιμος· κἂν σπεῖραι, αὐτὸς ὑποδέχεται· κἂν οἰκοδομῆσαι θέλῃς, ἕλκει σε πρὸς ἑαυτὸν, ἐν τοῖς ἐμοῖς, λέγων, οἰκοδόμει." τί πέχεις πρὸς [τοῦτο] πένητας; πρὸς δὲ ἀνθρώπους οὐδὲν πλουτήσαντας; δράμε πρὸς τὸν Θεὸν, τὸν ὑποδ-

μικρῶν

μικρῶν μεγάλα σοι πρέχοντα θεάματα. Ἀλλ' ὅμως ταῦτα ἀκούοιτες ἀνεχώμεθα, ἀλλ' ἔνθα μάχαι καὶ πόλεμοι, καὶ παγκράτια, καὶ δίκαι, καὶ συκοφαντίαι, ἐκεῖ καθίδρυμθα. ἆρ' οὖν ὁ δικαίως ἡμᾶς ἀποστρέφεται καὶ κολάζει, ὅταν εἰς πλοῦτα ἡμῖν ἑαυτὸν πρέχῃ, ἡμεῖς ὃ ἀντιπίπτωμθα; "πλουτῶ που δῆλον. Εἴτε οὖν καλλωπίζεσθαι θέλεις, φησί, τ' ἐμὲν καλλωπισμόν· εἴτε ὁπλισθῆναι, τὰ ἐμὰ ὅπλα· εἴτε ἐνδύσασθαι, "τὸ ἱμάτιον τὸ ἐμόν· εἴτε τραφῆναι, τὴν τράπεζαν τὴν ἐμήν· εἴτε ὁδεῦσαι, τὴν ὁδὸν τὴν ἐμήν· εἴτε κληρονομῆσαι, τὴν κληρονομίαν τὴν ἐμήν· εἴτε εἰς πατρίδα εἰσελθεῖν, εἰς τ' πόλιν, ἧς τεχνίτης καὶ δημιουργὸς ἐγώ· εἴτε οἰκοδομῆσαι οἰκίαν, ἐν τ' σκηναῖς τ' ἐμαῖς. ἐγὼ γὰρ ὧν δίδωμι οὐκ ἀπαιτῶ σε μισθόν, ἀλλὰ καὶ αὐτὸ τοῦτο μισθὸν σοι ὀφείλω, ἂν τοῖς ἐμοῖς χρήσασθαι βουληθῇς ἀ-
10 πασι. τί ταύτης ἴσον γλίσχρε; ἂν τ' φιλοπλουτίας; ἐγὼ πατήρ, ἐγὼ ἀδελφός, ἐγὼ νυμφίος, ἐγὼ οἰκία, ἐγὼ τροφός, ἐγὼ ἱμάτιον, ἐγὼ ῥίζα, ἐγὼ θεμέλιος, πᾶν ὅπερ ἂν θέλῃς ἐγώ. μηδενὸς ἐν χρείᾳ καταιδῇς· ἐγὼ καὶ δοῦλος. Ἦλθον γὰρ διακονῆσαι, οὐ διακονηθῆναι. ἐγὼ καὶ φίλος, Ματθ. κ. κη.
καὶ μέλος, καὶ κεφαλή, καὶ ἀδελφή, καὶ μήτηρ, πάντα ἐγώ· μόνον οἰκείως ἔχε
πρὸς ἐμέ. ἐγὼ πένης διὰ σέ, καὶ ἀλήτης διὰ σέ· ὅτι γὰρ οὐ διὰ σέ.
15 οὐκ οἶδ' οὐδὲ συντυγχάνω τῷ πατρί, κἀκεῖ οἶδ' οὐδὲ προσδοκῶ τὰ τοιαῦτα παθεῖν. πάντα μοι σύ, καὶ ἀδελφός, καὶ συγκληρονόμος, ἑταῖρος, καὶ μέλος. τί πλέον θέλεις; τί ⟨ὦ⟩ φιλοπλούτα ἀποστρέφῃ; Τίνα κόσμον κόμμεις; τί εἰς πίθον δύπλεξ τετιμημένον; τοῦτο γάρ ἐστιν, εἰς τ' πρόποτα βίον "ταλαιπωρεῖν. τί εἰς πῦρ ξαίνεις; τίνα ἀεὶ πυκτεύεις; τί εἰκῇ τρέχεις; οὐχὶ ἑκάστη τέχνη τέλος ἔχει; πλουτεῖν που δῆλον. δεῦρό μοι καὶ σὺ τῆς βι-
20 ωτικῆς ταύτης δῆς τὸ τέλος. Ἀλλ' οὐκ ἔχεις. Ματαιότης γὰρ ματαιοτήτων, τὰ πάντα ματαιότης. ἴδωμεν εἰς τοῦ τάφους, δεῦρό μοι τὸν πατέρα, δεῦρό μοι τὴν γυναῖκα. ποῦ ὁ χρυσᾶς ἐνδεδυμένος ἱμάτια; ὁ θεὶς τῷ ὀχλήματος κεκοσμημένος; ὁ στρατόπεδα ἔχων; ὁ τὴν ζώνην; ὁ τοὺς κήρυκας; ὁ τοὺς μὲ αἰσχρῶν, τοὺς ὃ ἐμβαλλόντων εἰς δεσμωτήριον; ὁ ἀποκλείων ὃς ἐβούλετο, καὶ πάλιν ἀπαλλάττων ὃς ἤθελε; τοῦδέν ὁρᾶ πλοῦτος ὀστέων καὶ σποδὸς καὶ σκιᾶς. πλού-
25 τα σκῆνα γῆ· πάντα σκῆνα μῦθος· πάντα ὄναρ καὶ σκιὰ καὶ διήγημα φιλὸν καὶ γραφή· μᾶλλον δὲ τοῦδὲ γραφή. τὴν μὲν γραφὴν κἂν ἐν εἰκόνι ὁρᾶμεν· ἐνταῦθα δὲ, τοῦδὲ εἰκόνα. καὶ εἴθε μέχρι τούτων τὰ δεινά. νυνὶ δὲ, πάντα μὲν τῆς ὑλικῆς καὶ τῆς τυφλῆς καὶ τῆς παραφανείας μέχρι σκιᾶς, μέχρι ῥημάτων· τὰ δὲ ἀπ' αὐτῶν, οὐκ ἔτι μέχρι σκιᾶς καὶ ῥημάτων, ἀλλὰ μᾶλλον καὶ δέχεσθαι μὲν ἡμᾶς οἶδε, καὶ πᾶσιν ἔξεστι δῆλα· αἱ ἁρπαγαί, αἱ πλεονεξίαι, αἱ πορνεῖαι, αἱ μοι-
30 χεῖαι, τὰ μυρία δεινὰ ταῦτα οὐκ ἐν εἰκόνι οὐδὲ ἐν πέφρᾳ, ἀλλὰ γεγραμμένα οὐ καὶ ῥήματα ἀλλὰ θεάματα. ποίοις οὖν ὀφθαλμοῖς; Εἰ γὰρ πατέρα μὲν οὐκ ἂν ἐτόλμησεν ἰδεῖν ⟨συνειδὼς ἑαυτῷ ἡμαρτηκότι εἰς αὐτ⟩, ⟨ὃν⟩ πάντες μᾶλλον ἀπείρως πατρότερον ὄντα πῶς ἀντιβλέψομεν τότε; πῶς οἴσομεν; καὶ γὰρ καταισχυνόμεθα τὸ βήματι τῷ Χριστοῦ, καὶ πάντων ἀκριβὴς ἔσται ἐξέτασις. Εἰ δέ τις ἀπιστεῖ τῇ μελλούσῃ κρίσει,
35 ὁρᾶτω τὰ ἐνταῦθα, τοὺς ἐν τοῖς δεσμωτηρίοις, τοὺς ἐν τοῖς μετάλλοις, τοὺς ἐν ταῖς χειρίαις, τοὺς δαιμονῶντας, τοὺς καταπαίοντας, τοὺς νόσοις αἰσχίστοις παλαίοντας, τοὺς πενίᾳ διαπαντὸς πυκτεύοντας, τοὺς λιμῷ συζῶντας, τοὺς πένθεσιν ἀνηκέστοις βεβαρημένους, τοὺς ἐν αἰχμαλωσίαις. οὐ γὰρ ἂν οὕτω "ταῦτα ἐπάθομεν πάντες, εἰ μὴ καὶ τοὺς ἄλλους ἀπόντας τοὺς τοιαῦτα ἡμαρτηκότας ἔμελλεν ἀναμένειν ἀμοιβὴ καὶ κόλασις. Εἰ δὲ μηδὲν ἐνταῦθα ⟨κατέμειναν⟩
40 λοιποὶ, τοῦτο μὲν οὖν αὐτὸ σημεῖόν σε ποιεῖσθαι δεῖ, τῷ πῶς εἰ μή τιν ἐντεῦθεν ἀποδημίαν. τοῦδὲ γὰρ ἂν ἀπόντων ὁ αὐτὸς ὢν Θεὸς τοὺς μὲν ἐτιμωρήσατο, τοὺς δὲ ἀφῆκεν ἀτιμωρήτους, τὰ αὐτὰ ἢ καὶ χαλεπώτερα πεπλημμεληκότας, εἰ μή τινα ἔμελλεν ἐκεῖ τιμωρίαν ἐπάγειν αὐτοῖς. Ἀπὸ τούτων τοίνυν τῶν λογισμῶν καὶ τῶν παραδειγμάτων καὶ ἡμεῖς ταπεινώσωμεν ἑαυτοὺς, καὶ ⟨τῇ⟩ κρίσει ⟨ἐμφρόντιστοι⟩ γενόμενοι πιστεύσασαν λοιπὸν καὶ βελτίους ἡμᾶς ἐργάσω-

σαν,

σαν, ἵνα ἀξίως τῆς βασιλείας βιώσαντες ἐνταῦθα, καὶ τὰς μελλούσας τιμωρίας ἀφευξώμεθα, καὶ τῶν αἰωνίων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁμιλ. οζ. 32 ΑΠΟ ΔΕ ΤΗΣ ΣΥΚΗΣ ΜΑΘΕΤΕ ΤΗΝ παραβολήν. ὅταν ἤδη ὁ κλάδος αὐτῆς ἁπαλὸς γένηται, καὶ τὰ φύλλα ἐκφύῃ, γινώσκετε ὅτι ἐγγὺς τὸ θέρος. 33 Οὕτω καὶ ὑμεῖς, ὅταν ἴδητε ταῦτα πάντα, γινώσκετε ὅτι ἐγγύς ἐστιν ἐπὶ θύραις.

Εἰπὼν ὅτι οὐθέως μετὰ τὴν θλῖψιν τῶν ἡμερῶν ἐκείνων, αὐτὸς ὁ τότε ἐζήτησε μᾶλλον ὅσον χρόνον, καὶ αὖ τὸ κυρίως τὴν ἡμέραν ἐπεθύμουν Εἰδέναι, ἀφ' τότε δὲ τὸ παράδειγμα τίθησι τῆς συκῆς, δεικνὺς ὅτι οὐ πολὺ τὸ μέσον, ἀλλ' ἐφεξῆς καὶ ἡ προῤῥησία ἀπαντήσεται· οὐκοῦν οὐ μετὰ τῆς παραβολῆς μόνον, ἀλλὰ καὶ μετὰ τῶν μετὰ ταῦτα λέξεων ἐδήλωσεν εἰπών· γινώσκετε ὅτι ἐγγύς ἐστιν ἐπὶ θύραις. ἐντεῦθεν καὶ ἕτερόν τι παρεφθείρει θέρος πνευματικόν, καὶ γαλιλαίως κατ' ἐκεῖνο ἐσοφίζετο τὴν ἡμέραν ἀπὸ τοῦ χειμῶνος τοῦ παρόντος τοῖς δικαίοις· τοῖς δὲ ἁμαρτωλοῖς τὸ ἐναντίον, χειμῶνα ἀπὸ θέρους· ὅπερ ἐν τοῖς ἑξῆς ἐδήλωσεν εἰπών, τυφώντων αὐτῶν ἐπιστήσεσθαι τὴν ἡμέραν. ἀφ' ἑτέρου τοῦτο μόνον τῆς συκῆς πέφηκεν, ἵνα τὸ ἀφανισμὸν δηλώσῃ (ὄζειν γὰρ καὶ ἑτέρως αὐτὴν παρασκευάσας) ἀλλ' ἵνα καὶ ἐντεῦθεν πιστώσηται τὸν λόγον οὕτως ἐκβησόμενον πάντως. ὥσπερ γὰρ τοῦτο ἀνάγκη ἦν, οὕτω κἀκεῖνο. καὶ γὰρ ὅπερ ἀν ἐθέλῃ τὸ πάντως ἐκβησόμενον λέγειν, φυσικὰς ἀνάγκας εἰς μέσον παράγει, καὶ αὐτὸς, καὶ ὁ μακάριος Παῦλος αὐτὸν μιμούμενος. ἀφ' τούτου δὲ πρὸς ἀνάστασιν ἀφαλεγόμενος φησιν· Ὁ κόκκος τοῦ σίτου πεσὼν εἰς τὴν γῆν, ἐὰν μὴ ἀποθάνῃ, αὐτὸς μόνος μένει· ἐὰν δὲ ἀποθάνῃ, πολὺν καρπὸν φέρει. ὅθεν καὶ ὁ μακάριος Παῦλος παραθεὶς, τοῦ αὐτοῦ κέχρηται ὑποδείγματι, Κορινθίοις πρὸς ἀνάστασιν ἀφαλεγόμενος. Ἄφρων γάρ, φησὶ, σὺ, ὃ σπείρεις οὐ ζωοποιεῖται, ἐὰν μὴ ἀποθάνῃ. Εἶτα ἵνα μὴ ταχέως ἐπ' αὐτῇ πάλιν ἔλθωσι καὶ ἐρωτήσωσι, πότε, εἰς μνήμην αὐτοὺς ἀνάγει τῶν προῤῥηθέντων, λέγων·

34 Ἀμὴν λέγω ὑμῖν, οὐ μὴ παρέλθῃ ἡ γενεὰ αὕτη, ἕως ἂν ταῦτα πάντα γένηται.

Ταῦτα πάντα, ποῖα, εἰπέ μοι; τὰ τῶν Ἱεροσολύμων; τὰ τῶν πολέμων; τὰ τῶν λιμῶν τὰ τῶν λοιμῶν· τὰ τῶν σεισμῶν· τὰ τῶν ψευδοχρίστων· τὰ τῶν ψευδοπροφητῶν· τὸ πανταχοῦ σπαρῆναι τὸ εὐαγγέλιον· τὰ σήματα· τὰς παραλογίας· τὰ ἄλλα πάντα, ἅπερ εἰρήκαμεν μέχρι τῆς αὐτῆς προῤῥήσεως συμβησόμενα. πῶς οὖν, φησὶν, εἶπεν, ἡ γενεὰ αὕτη; ὁ περὶ τῆς τότε λέγων, ἀλλὰ περὶ τῆς τῶν πιστῶν. οἶδε γὰρ γενεὰν οὐκ ἀπὸ χρόνων χαρακτηρίζειν μόνον, ἀλλὰ καὶ ἀπὸ τρόπου θρησκείας καὶ πολιτείας· ὡς ὅταν λέγῃ· Αὕτη ἡ γενεὰ ζητούντων σημεῖον. Κύριον. ὅπερ οὖν φύων ἔλεγε· δηλῶ πάντα γενέσθαι· καὶ πάλιν, κηρυχθήσεται τὸ εὐαγγέλιον τοῦτο καὶ ἐν ὅλῃ τῇ οἰκουμένῃ, ὅτι τότε ἐκβήσεται ταῦτα πάντα, καὶ μένει ἡ γενεὰ τῶν πιστῶν ὁσονοῦν τῶν εἰρημένων ἀφαιροῦσα. ἀλλὰ καὶ τὰ Ἱεροσόλυμα ἁπλῶς, ἐπὶ τὸ πλεῖον τῶν Ἰουδαίων ἀφανισθήσεται· ταύτης οὖν οὐδὲν παρῆκεν, οὐ λιμὸς, οὐ λοιμὸς, οὐ σεισμὸς, οὐχ αἱ τῶν πολέμων παραλαί, οὐ ψευδόχριστοι, οὐ ψευδοπροφῆται, οὐκ ἀπατεῶνες, οὐχ ἁπλῶς διδόντες, οὐχ ἁπλῶς σκανδαλίζοντες, οὐχ ἁπλῶς ψευδάδελφοι, οὐκ ἄλλος οὐδεὶς τοιοῦτος πειρασμός. εἶτα καὶ μᾶλλον αὐτοὺς εἰς πίστιν ἀνάγων, φησίν·

35 Ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσεται, ἁπλῶς δὲ λέγει μου οὐ μὴ παρέλθωσι.

Τοῦτ' ἔστι, τὰ πεπηγότα ταῦτα καὶ ἀκίνητα εὐκολώτερον ἀφανισθῆναι, ἢ τῶν λόγων τῶν ἐμῶν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐλῶν τὴ ϗαπεσδν. καὶ ὁ διπλέγων ὑπὸρ τύτων βασανιζέτω τὰ εἰρημένα, καὶ θύρων ἀληθῆ (θύρα γὰρ ἐστι πρότος) ἀπὸ τῶν προελθόντων καὶ τοῖς μέλλουσι πιστεύετω, καὶ πρότα ἐξεταζέτω μετ' ἀκριβείας, καὶ ὄψε) τῶν τραγμάτων τὸ τέλος μαρτυρεμῶ τῇ τῆς τροφητείας ἀληθείᾳ. τὰ δὲ στοιχεῖα εἰς μέσον τέθηκεν, ὁμοῦ μὲν δηλῶν, ὅτι προπότερα καὶ ὑρανοῦ καὶ γῆς ἡ ἐκκλησία· ὁμοῦ δὲ καὶ δημιργὸν ἑαυτὸν [καὶ] ἐντεῦθεν" δείκνυσι τῶν πρότος. ἐπειδὴ γὰρ τρὸς ζωτελείας διελέγετο, τραγματος πρὸς πολλοῖς ἀπιστυμένου, δηλῶ τύτο καὶ ὑρανὸν καὶ τὴν γῆν εἰς μέσον ἤγαγε, τὴν δυναμιν αὐτῶν τὴν ἀφατον ἐνδεικνύμενος, καὶ μετὰ πολλῆς τῆς ἐξυσίας δηλῶν, ὅτι δεσπότης ὑπὲρ τῶν πρότος, ἐκ" τύτων καὶ τοῖς σφόδρα ἀμφιβάλλουσιν ἀξιόπιστα τὰ εἰρημένα κατασκευάζων.

ἀλλως

καὶ τότε

10 36 Περὶ δὲ τῆς ἡμέρας ἐκείνης καὶ τῆς ὥρας ὐδεὶς οἶδεν, ὐδὲ οἱ ἄγγελοι τῶν ὑρανῶν, ὐδὲ ὁ υἱὸς * , εἰ μὴ μόνος ὁ πατήρ. Τῷ μὲν ὖν εἰπεῖν, ὐδὲ οἱ ἄγγελοι, ἐπεσόμισεν αὐλοις ὥστε μὴ ζητῆσαι μαθεῖν, ὅπερ ἐκεῖνοι ὐκ ἴσασι· τῷ δὲ εἰπεῖν, ὐδὲ ὁ υἱὸς, κωλύει μόνον μὴ μαθεῖν, ἀλλὰ καὶ μηδὲ ζητῆσαι. ὅτι γὰρ οὐκ τύτο εἴρηκεν, ὅρα μετὰ τὴν δύασιν, ὅπῃ τρογερτέρους εἶδε γινομένους, πῶς ἐπεσόμισε μειζόνως. νῦν μὲν γὰρ καὶ τὰ μεγάλα εἴρηκε πολλὰ καὶ ἄπειρα· τότε δὲ ἁπλῶς, Οὐχ ὑμῶν ἐστι γνῶναι χρόνους ἢ καιρούς. Πρα. α. ζ. εἶτα ἵνα μὴ εἴπωσιν, ὅτι ἠπορήμθα, διεπύθηντο, ὐδὲ τύτου ἐσμὲν ἄξιοι· φησὶν, οἷς ὁ πατὴρ ἔθετο ἐν τῇ ἰδίᾳ ἐξυσίᾳ. καὶ γὰρ σφόδρα ἔμελεν αὐτῷ τοῦ τιμᾶν αὐτοὺς καὶ μηδὲν ἀποκρύπτεσθαι. διὰ τύτο καὶ τῷ πατρὶ τὸ δύνασθαι, καὶ φοβερὸν τὸ τραγμα ποιῶν, καὶ ἐκείνων ἀποτειχίζων τὴν πύσει τὸ εἰρημένον. ἐπεὶ εἰ μὴ τύτο" ἐστιν, ἀλλ' ἄγνοια, πότε εἴσε); καὶ τὸ λοιπὸν,

20 ἆρα μὴ ἡμῶν; καὶ τίς δὴ τοῦτο εἴποι; καὶ μὲν πατέρα οἶδε σαφῶς, καὶ ὕτω σαφῶς, ὡς ἐκφῦνος μὲν υἱόν· τὴν δὲ ἡμέραν ἄγνοια; εἶτα, τὸ μὲν πνεῦμα ἐρευνᾷ καὶ τὰ βάθη τοῦ Θεοῦ· αὐτὸς δὲ οὐδὲ τὸ καιρὸν τῆς κρίσεως οἶδεν; ἀλλὰ τὸ μὲν πῶς δεῖ κρίνειν οἶδε, καὶ τὰ ἑκάστου ἀπόῤῥητα ἔπίσταται· ὃ δὲ πολλῷ τούτων ὐτελέστερον, τοῦτο ἔμαθεν ἄγνοιαν; πῶς δή, εἰ Παῦλος δι' αὐτοῦ ἐλάλει καὶ ἐγλύετο, καὶ χωρεὶς αὐτοῦ ἐλάλειτο οὐδὲ ἕν, τὴν ἡμέραν ἠγνόησεν; ὁ γὰρ τοὺς αἰῶνας ποιήσας, δῆλον ὅτι καὶ τοὺς χρόνους. Εἰ δὲ τοὺς χρόνους, καὶ τὴν ἡμέραν. πῶς οὖν ἐκεῖνο ἐποίησεν ἀγνοεῖ; καὶ ὑμᾶς μὲν αὐτοῦ καὶ τὴν οἰκείαν ἐδέαν φατέ, ὃν δὲ υἱὸν οὐδὲ τὴν ἡμέραν, ὃν υἱὸν τε καὶ πνεῦμα ἐν τῷ κόλπῳ ὄντα τε παρῆς, καίτοι πολλῷ μείζων ἡ ὐσία τῶν ἡμερῶν, καὶ ἀπείρως μείζων; πῶς οὖν τὸ μεῖζον ἑαυτοῖς διδόντες, οὐδὲ τὸ ἔλαττον συγχωρῆτε τῷ υἱῷ, Ἐν ᾧ εἰσι πάντες οἱ θησαυροὶ τῆς σοφίας καὶ τῆς γνώσεως ἀπόκρυφοι; ἀλλ' ὅτε ὑμᾶς ἴστε τὴ τοῦ πατρὸς οὐσίαν ὁ Θεὸς, κἂν μυριάκις ταῦτα μάθητε· ὅτε ὁ υἱὸς ἄγνοιᾳ τὴν ἡμέραν, ἀλλὰ δι' σφόδρα ὀπίσα). διὰ τοι τοῦτο πρότα εἰπὼν, καὶ τοὺς χρόνους καὶ τοὺς καιροὺς, δι' ὧν αὐτὰ ταῦτα θύρας ἀγαθὰς (ἐκτὸς γάρ ἐστιν ὀπὶ θύρας, φησὶν) ἀπεσίγησε τὴν ἡμέραν. Εἰ μὲν γὰρ ἡμέραν ζητοῖμεν καὶ ὥραν, ὐκ ἀκούσῃ πρὸς ἐμοῦ, φησὶν· Εἰ δὲ καιροὺς καὶ τροθοίμια, ὐδὲν" ἀποκρυφάλμυος ἐρῶ πρότα σοι μετ' ἀκριβείας. ὅτι μὲν γὰρ ὐκ ἀγνοεῖ, διὰ πολλῶν ἔδειξα, διὰ σημάτων εἰπὼν, καὶ τὰ συμβησόμενα ἅπαντα, καὶ ὅσον ἀπὸ τύδε τὸ χρόνου μέχρι τῆς ἡμέρας αὐτῆς (τύτο γὰρ τῆς συκῆς ἐδήλωσεν ἡ τροβολή) καὶ ὅτι τὰ τροφητευόμενα πάντα ἤγαγον αὐτά. Εἰ δὲ μὴ ἀνέῳξά σοι τὰς θύρας, καὶ τύτο συμφερόντως ποιῶ. ἵνα δὲ ἐπέρωθεν μάθῃς, ὅτι διὰ τῆς ἀγνοίας αὐτοῦ τὸ σιγῆσαι, ὅρα μετὰ τῶν εἰρημένων πῶς καὶ ἄλλο τροσήθησι σημεῖον.

καὶ τὸν υἱὸν τ' ἀνθρώπου

καὶ διὰ τοῦτο

καὶ ἀποκρυφο-

40 38 Ὥσπερ δὲ ἦσαν ἐν ταῖς ἡμέραις τοῦ Νῶε τρώγοντες καὶ πίνοντες, γαμοῦντες καὶ γαμίζοντες, ἄχρι τῆς ἡμέρας ἧς εἰσῆλθε Νῶε εἰς τὴν κιβωτὸν,

39 Καὶ ὐκ ἔγνωσαν ἕως ἦλθεν ὁ κατακλυσμὸς, καὶ ἦρεν ἅπαντας· ὕτως ἔσται καὶ ἡ παρουσία τοῦ υἱοῦ τοῦ ἀνθρώπου. Ταῦτα δὲ εἶπε, δηλῶν ὡς ἀνθρώπου ἦν καὶ ἀτροσδοκήτως, καὶ τῶν πλειόνων τυφώντων. καὶ γὰρ ὁ Παῦλος τοῦτό φησιν ὕτω γράφων·

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

α.Θεσ.ε.Γ.Λ. Οτ᾽αν λέγωσιν, Εἰρήνη καὶ ἀσφάλεια, τότε αἰφνίδιος ὄλεθρος ἐφίσταται ὀλεθρος. καὶ ὃ ἀπροσδόκητον δηλοῖ, ἔλεγλε· ὥσπερ ἡ ὠδὶν τῇ ἐν γαστρὶ ἐχούσῃ. πῶς οὖν φησι μετὰ τὴν θλῖψιν τῶν ἡμερῶν ἐκείνων; Εἰ γὰρ πρὸ τότε καὶ Εἰρήνη καὶ ἀσφάλεια, καθὼς ὁ Παῦλός φησι, πῶς λέγει μετὰ τὴν θλῖψιν τῶν ἡμερῶν ἐκείνων; Εἰ πρό, πῶς θλῖψις; πρὸ τοῖς δυναθήτως ἀμφιβολίοις καὶ Εἰρήνη. Διὰ τοῦτο γὰρ οὐκ εἶπεν, ὅταν ᾖ ἡ Εἰρήνη, ἀλλ᾽ ὅταν λέγωσιν εἰρήνην καὶ ἀσφάλειαν, ὃ δυναθὸν αὐτῶν ἐνδεικνύμενος, ὡς τῶν ὅτι Ναὲ, ὅτι δὴ ἐν τοῖς τοιούτοις κακοῖς ἐπεύφων. ἀλλ᾽ οὐχ ἁπλῶς δίκαιοι, ἀλλ᾽ ἐν θλίψει δὲ ἀθυμίας δίηγον. ἐντεῦθεν δείκνυσιν, ὅτι τὸ ἀντιχρίστου ἐλθόντος, καὶ τῶν ἀτόπων ἡδονῶν ὀλισθαίνουσιν ἐν τοῖς πολλοῖς καὶ τῆς οἰκείας ἀπεγνωκόσι σωτηρίας. τότε μαρτυρίαν δὲ χώμοι, τότε καὶ μέθαι. διὸ καὶ μάλιστα ὑποδειγμα τίθησιν ἁρμόζον τοῦ πράγματι. καθάπερ γὰρ τῆς κιβωτοῦ γινομένης οὐκ ὀλίγοι ἐπίστευον, φησιν, ἀλλὰ προσέχειν μὴ ἐν μέσῳ τὰ μέλλοντα προαναιρεῖσθαι κακά· ἐκφυοι ὄντες ὁρῶντες αὐτὰ, ὡς ὑπνοῦντος ἐσομένου δεινοῦ, ὕπνος ἐπεύφων· ὕπνος καὶ νῦν, φανήσεται μὴ ὁ ἀντίχριστος, μὴν ἐν καὶ σωτηρία, καὶ αἱ κηλήσεις αἱ ὀλίγαι τῇ σωτηρίᾳ, καὶ τιμωρίαι ἀφόρητοι. ἀλλ᾽ ὄντες τῇ μέθῃ τῆς κακίας καταχόμενοι, οὐδὲ αἰσθήσονται τοῦ φόβου τῶν ἐσομένων. διὸ καὶ Παῦλός φησιν, ὥσπερ ἡ ὠδὶν τῇ ἐν γαστρὶ ἐχούσῃ, ὕπνος αὐτοῖς προσήσεται καὶ φοβερὰ ἐκφυα δὲ ἀνήκεστα. καὶ διὰ τί μὴ εἶπε καὶ ὅτι Σοδόμων κακά; καθολικὸν ἠθέλησεν ἐνθεῖναι ὑποδειγμα, καὶ μὴ τὸ προλεχθῶναι ἀπιστηθέν. διὰ δὴ τοῦτο, ὅτι τοῖς πολλοῖς καὶ μέλλοντα ἀπιστεῖται, ἀπὸ τῶν προελθόντων αὐτὰ πιστοῦται, καταστεῖον αὐτῶν τὸ διάνοιαν. μὴ ὁ τῶν Εἰρηναίων καὶ κεῖνο ἐνδείκνυται, ὅτι καὶ ἐμπροσθεν αὐτὸς πεποίηκεν. εἶτα πάλιν ἄλλο σημεῖον τίθησι, δι᾽ ὧν ἀπάντων, ὅτι οὐκ ἀγνοεῖ τὴν ἡμέραν, καταδηλον ποιῶ. Τί δὲ τὸ σημεῖον;

40 Τότε δύο ἔσονται ἐν τῷ ἀγρῷ, εἷς παραλαμβάνεται, καὶ ὁ εἷς ἀφίεται·

41 Δύο ἀλήθουσαι ἐν τῷ μύλωνι, μία παραλαμβάνεται, καὶ μία ἀφίεται).

42 Γρηγορεῖτε οὖν, ὅτι οὐκ οἴδατε ποίᾳ ὥρᾳ ὁ κύριος ὑμῶν ἔρχεται).

Ταῦτα ὃ πάντα, καὶ τὸ εἰδέναι αὐτὸν δείγματα, καὶ ἀπαίροντα αὐτοὺς τῆς ἐρωτήσεως. Διὰ γὰρ τοῦτο εἶπε καὶ ἐκείνης τῆς ἡμέρας τοῦ Ναὲ· Διὰ τοῦτο εἶπε, καὶ δύο "ὅτι τῆς κλίνης, τοῦτο δηλοῖ, ὅτι ὕπνος ἀπροσδοκήτως, ὕπνος ἀμελείμνων αὐτῶν ὄντων ἐπελθύσει), καὶ ὃ, δύο ἀλήθουσαι, ὅπερ καὶ αὖθ᾽ οὐκ ἔστι μεμεμνώντων. καὶ μὴ τοῦτο, ὅτι καὶ δοῦλοι, καὶ δεσπόται, καὶ παραλαμβάνονται, καὶ ἀφίενται), καὶ ἐν ἀδείᾳ, καὶ ἐν πόνῳ, καὶ ἀπὸ ταύτης τῆς ἀξίας, καὶ ἀπ᾽ ἐκείνης· ὥσπερ ἐν τῇ παλαιᾷ φησιν, Ἀπὸ τοῦ καθημένου ὅτι τοῦ θεήνου ἕως τῆς αἰχμαλώτιδος τῆς ἐν τῷ μύλωνι. ὅπου γὰρ ἔλεγεν, ὅτι δυσκόλως πλούσιοι σώζονται, δείκνυσιν ὅτι οὐ πάντως οὔτε οὗτοι ἀπόλλυνται, οὔτε πένητες σώζονται ἅπαντες, ἀλλὰ καὶ ὃς ἐκείνων καὶ ἐκ τούτων καὶ σώζονται) καὶ ἀπόλλυται). ἐμοὶ ὃ δοκεῖ δηλοῦν, ὅτι καὶ ἐν νυκτὶ ἕξει ἡ προυσία. τοῦτο γὰρ καὶ ὁ Λουκᾶς φησιν. ὁρᾷς πῶς πάντα μετ᾽ ἀκριβείας οἶδεν; Εἶτα πάλιν, ἵνα μὴ ἐρωτήσωσιν, ἐπήγαγε· γρηγορεῖτε οὖν, ὅτι οὐκ οἴδατε ποίᾳ ὥρᾳ ὁ κύριος ὑμῶν ἔρχεται. οὐκ εἶπεν, οὐκ οἶδα, ἀλλ᾽ οὐκ οἴδατε. ὅταν γὰρ αὐτὸν ἀφεδὸν εἰς αὐτὸν ἀγάγῃ τὸν ὥραν, καὶ φησι, πάλιν αὐτὸν ἀπαίτει τῆς ἐρωτήσεως, βουλόμενος αὐτὸν ἀναγωνίους εἶναι διηνεκῶς. διὰ τοῦτο λέγει, γρηγορεῖτε, δεικνὺς ὅτι διὰ τοῦτο οὐκ εἶπεν.

43 Ἐκεῖνο ὃ γινώσκετε, ὅτι εἰ ᾔδει οἰκοδεσπότης ποίᾳ φυλακῇ ὁ κλέπτης ἔρχεται), ἐγρηγόρησεν ἄν, καὶ οὐκ ἂν εἴασε διορυχθῆναι τὸν οἰκίαν αὐτοῦ.

44 Διὰ τοῦτο καὶ ὑμεῖς γίνεσθε ἕτοιμοι, ὅτι ᾗ ὥρᾳ οὐ δοκεῖτε, ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεται).

Διὰ τοῦτο οὖν λέγει αὐτοῖς ἵνα γρηγορῶσιν, ἵνα αἰεὶ ἕτοιμοι ὦσι· διὰ τοῦτό φησιν, ὅτε οὐ προσδοκᾶτε, τότε ἥξει, ἀναγωνίους εἶναι βουλόμενος, καὶ διὰ πάντος ἐν ἀρετῇ. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· Εἰ ᾔδεσαν οἱ πολλοὶ πότε ἀποθνῄσκουσι, πάντως ἂν καὶ ἐκείνῃ τῇ ὥρᾳ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ραν ἐπουδάσαν. ἵν' οὕτω μὴ ἐκείνῳ μόνον ἐπουδάσωσι, ἀλλὰ τοῦτο δὲ λέγει ὅτε πλὴν χρι-
νῶ, ὅτε πλὴν ἑκάστου, ἀεὶ αὐτοῖς βουλόμενος τοῦτο προσδοκᾶν, ἵνα ἀεὶ σπουδάζωσι. ἀλλὰ
καὶ τῆς ἑκάστου ζωῆς τὸ τέλος ἀδηλον ἐποίησεν. Εἶτα ἐγκεκαλυμμένως ἑαυτὸν Κύριον ὀνο-
μάζει, ἁδαμοῦ οὕτω σαφῶς εἰπών. ἐπαῦθα δέ μοι δοκεῖ τὸν ῥᾳθύμους,
κ. κρημάτων 9 ὅτι οὐδὲ ὅσῳ περὶ κρήματα σπουδὴν ποιοῦνται ἀκριβῶς τοσοῦτῳ ὅτι περὶ τῆς ἑαυτῶν ψυχῆς. ἐκεῖνοι μὲν γὰρ, ὅταν προσδοκήσωσι, γρηγορῦσι, καὶ
οὐδὲν ἀφιᾶσι τὴν ἔνδυσιν ἀπροσυλητὸν αὐτῶν· ὑμεῖς δὲ, καίτοι εἰδότες ὅτι ἥξει, καὶ παντως ἥξει,
οὐ μᾶλλον ἐγρηγορέτες, φησὶ, καὶ προσκυασμένοι, ὥστε μὴ ἀπροσκυάστως ἐντεῦθεν ἀπε-
νεχθῆναι· ἀλλὰ τοῦτο ἐπ' ὀλέθρῳ ἔρχεται ἡ ἡμέρα τῶν καθευδόντων. ὥσπερ γὰρ ἐκεῖνος, εἰ
10 ἤδει, διέφυγεν ἄν· οὕτω καὶ ὑμεῖς, ἐὰν ἦτε ἕτοιμοι, ἀπεφεύξεσθε. Εἶτα ὅπως εἰς τὴν τῆς
χρίστεως ἐνέβαλε μνήμην, καὶ πρὸς τοὺς διδασκάλους πρέπει τὸν λόγον λοιπὸν, περὶ κολά-
σεων καὶ πῶς ἀπαλεύθρους· καὶ προτέρους μὲν τοὺς καταφρονοῦντας, εἰς τοὺς ἀμυρ-
κ. συμφέρον τημένους τελευτᾶν, προσὸν δὲ φοβερὸν κατακλείσαν λόγον. διὸ πρῶτον τοῦτό φησι·

45 Τίς ἄρα ὁ πιστὸς δοῦλος καὶ φρόνιμος, ὃν κατέστησεν ὁ κύριος αὐτοῦ ἐπὶ τῆς οἰκίας αὐ-
15 τοῦ, δοῦναι αὐτοῖς τὴν τροφὴν ἐν καιρῷ αὐτῶν;

46 Μακάριος ὁ δοῦλος ἐκεῖνος, ὃν ἐλθὼν ὁ κύριος [αὐτοῦ] εὑρήσει ποιοῦντα οὕτω-
τως.

47 Ἀμὴν λέγω ὑμῖν, ὅτι ἐπὶ πᾶσι τοῖς ὑπάρχουσιν αὐτοῦ καταστήσει αὐτόν.

Μὴ γὰρ τοῦτο ἀγνοούμενός ἐστιν, εἰπέ μοι; Εἰ γὰρ ἐπὶ τίνι εἶπεν, οὐδὲ ὁ υἱὸς οἶδεν, ἀγνοῶν
20 αὐτὸν φῆς· ἐπὶ τίνι εἶπε, τίς ἄρα, τί ἂν εἴποις; ἢ γὰρ τοῦτο ἀγνοῶν αὐτὸν φῆς; ἄπαγε. οὐδὲ
γὰρ τῶν δεσποτῶν τοῦτο ἂν τις εἴποι· καίτοιγε ἐκῆν γε αὐτῷδε ἐστὶν εἰπεῖν, ἐνταῦθα δὲ
οὐδὲ τοῦτο. Οἱ δὲ ὅταν λέγῃ, Πέτρε, φιλεῖς με, ἐρωτῶν, οὐδὲ τοῦτο ἤδει; ἢ ὅταν λέγῃ, Ποῦ τε- Ιωαν. κα. ιε.
θείκατε αὐτόν; ἢ ὁ πατὴρ ἀγνοήσεται τοιαῦτα φθεγξόμενος. ἢ γὰρ ἢ αὐτός φησιν· Ἀδὰμ, Ιωαν. ια. λδ.
που εἶ; ἢ, Κραυγὴ Σοδόμων ἢ Γομόρρας πεπλήθυνται πρός με· καταβὰς οὖν ὄψομαι, Γεν. γ. θ.
25 εἰ κατὰ τὴν κραυγὴν αὐτῶν τὴν ἐρχομένην πρός με τετελεσμένα ἐστίν· εἰ δὲ μή, ἵνα γνῶ. Γεν. ιη. κα.
ἢ ἀλλαχοῦ φησιν· Ἐὰν ἄρα ἀκούσωσιν, ἐὰν ἄρα συνῶσι· ἢ ἐν τῷ Εὐαγγελίῳ δέ, Ἴσως ἁμ- Ιεζ. β. δ. ε.
πεπαύσονται τὸν μὺν· ἅπερ ἁπάντα ἀγνοίας ῥήματα ἐστίν. Ἀλλ' οὐκ ἀγνοῶν ταῦτα ἔ- Λυκ. κ. ιγ.
λεγεν, ἀλλ' οἰκονομῶν τὰ αὐτῷ πρέποντα. ὅπως μὴ ὁ Ἀδὰμ, ἵνα αὐτὸν ἐμβάλῃ εἰς ἀπολο-
γίαν τῆς ἁμαρτίας· ὅπως ὁ τῶν Σοδομιτῶν, ἵνα ἡμᾶς παραδύσῃ μηδέποτε ἀποφαίνεσθαι,
30 πρὶν δὴ αὐτοῖς παραγενώμεθα τοῖς πράγμασιν· ὅπως ὁ τὸν προφήτην, ἵνα μὴ δοκῇ ἡ πρόρ-
ρησις παρὰ τοῖς δυσκόλοις ἀναγκαστική τις εἶναι τῆς παραχῆς· ὅπως ὁ τῆς παραβολῆς τοῦ
εὐαγγελίου, ἵνα δείξῃ, ὅτι ὤφειλον τοῦτο ποιῆσαι καὶ συντελοῦσιν ἡμῖν· ἐνταῦθα δέ, ἵνα μὴ
περιεργάζωνται, μηδὲ πολυπραγμονῶσι πάλιν, ἀλλ' ἵνα δείξῃ τὸ ἀσφαλὲς καὶ πολύτιμον. καὶ
ὅρα πόσης ἀγνοίας ἐνδεικτικὸν τὸ ῥῆμα, εἶτε καὶ κατὰ μόνον ἀγνοῇ. μακαρίζει μὲν γὰρ
35 αὐτόν· μακάριος γάρ, φησιν, ὁ δοῦλος ἐκεῖνος· ἀλλὰ λέγει δὲ τίς ἐστιν οὗτος. τίς γάρ ἐστι, φησιν,
ἄρα οὗ καταστήσει ὁ κύριος αὐτοῦ, καὶ μακάριος οὗ εὑρήσει ποιοῦντα οὕτω; ταῦτα δὲ οὐ περὶ
χρημάτων εἴρηται μόνον, ἀλλὰ καὶ περὶ λόγου, καὶ περὶ δυνάμεως, καὶ περὶ χαρισμάτων, καὶ περὶ
πάσης οἰκονομίας, ἧς ἕκαστος ἐπιχειρεῖται. αὕτη καὶ πρὸς τοὺς ἄρχοντας τοὺς πολιτικοὺς ἁρ-
μόσειεν ἂν ἡ παραβολή. ἕκαστον γὰρ οἷς ἔχει πρὸς τὸ κοινὴ συμφέρον ἀποχρῆσθαι δεῖ.
40 κἂν σοφίαν ἔχῃς, κἂν ἀρχὴν, κἂν πλοῦτον, κἂν ὁτιοῦν, μὴ ὅπως βλάβῃ τῶν συνδούλων,
μηδὲ ἐπ' ἀπωλείᾳ ἑαυτοῦ. διὰ δὴ τοῦτο ἀμφοτέρων ἀπαιτεῖ παρ' αὐτοῦ, φρόνησιν καὶ πίστιν.
καὶ γὰρ ἡ ἁμαρτία ἀπὸ ἀμφοῖν γίνεται. πιστὸν μὲν οὖν αὐτὸν φησιν, ὅτι οὐδὲν ὑποσφίσατο, οὐδὲ
παρανάλωσε τῶν δεσποτικῶν εἰκῇ καὶ ματαίως· φρόνιμον δὲ, ὅτι ἔγνω πρὸς τὸ δέον οἰκονο-
μῆσαι τὰ δοθέντα. ἢ γὰρ ἀμφοτέρων ἡμῖν χρεία, καὶ τοῦ μὴ νοσφίσασθαι τὰ δεσποτικὰ, καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τοῦ Θεὸς δέον οἰκονομεῖν. αὐ ὃ πατέρων ἀπῇ, ὃ ἕτερον χωλύει. ἀλλ' τε γὰρ πιστὸς ἢ ᾗ μὴ κλέπτῃ, ἀπολλύει ᾗ ᾗ Θεὸς μηδὲν προσῆκον δαπανᾷ, μέγα ὃ ἔγκλημα· αὐ τε Θεὸς ἢ καλῶς οἰκονομῇ, νοσφίζεται ᾗ, πάλιν οὐχ ἡ τυχοῦσα κατηγορία. ἀκούσωμεν δὲ ⓐ τὰ χρήματα ἔχοντες τοῦτα. οὐ γὰρ διδασκάλοις δέλεπται μόνον, ἀλλὰ ᾗ τοῖς πλουτοῦσιν. ἑκάτεροι γὰρ ἐνεπιστεύθησαν πλοῦτον, ⓦ μὴ ἀναγκαιότερον, ⓐ διδάσκοντες· τὸ ᾗ ἐλάττω, ὑμεῖς. ὅταν οὖν τῶν διδασκόντων σκληρτιζόντων τὰ μείζονα, ὑμᾶς μηδὲ ἐν τοῖς ἐλάττοσι βούλεσθε τὸ μεγαλοψυχίαν ἐπιδείκνυσθαι, μᾶλλον ᾗ οὐδὲ μεγαλοψυχίαν, ἀλλ' ἀγνωμοσύνην (τὰ γὰρ ἄλλότρια δίδονται) ποία ἔσται ἀπολογία; ἀλλὰ τέως περὶ τῆς κολάσεως τῶν τὰ ἐναντία ποιούντων, τὴν ὑμῖν τοῦ βδελυκτοῦ ἀκούσωμεν. ἀμὴν λέγω ὑμῖν, ὅτι ὅτι πᾶσι τοῖς ὑπ' ἀρχουσιν αὐτὸν καταστήσει αὐτόν. τί τούτης ἴσον γένοιτ' ἂν τῆς ὑμῶν; πῶς παρασχῆσαι δυνήσεται λόγος τὴν ἀξίαν, τὴν μακαριότητα, ὅταν ὁ τῶν οὐρανῶν βασιλεὺς καὶ τὰ πάντα ἔχων, ἀνάθεμα ὅτι πᾶσι τοῖς ὑπ' ἀρχουσιν αὐτοῦ καθιστᾷν μέλλῃ; διὸ καὶ φεύγειν αὐτὴν καλῶ, ὅτι ἔγωγε μὴ τῶν μικρῶν τὰ μεγάλα προσέσθαι, ἀλλὰ σωφρονήσας ἐν τούτῳ τῶν ἀγαθῶν ἐπέτυχον. Εἶτα, ὅπερ ἀεὶ ποιῶ, ὅταν ἀπὸ τῆς τοῖς ἀγαθοῖς χειμάρρου ὑμῶν, ἀγαλὰ ᾗ ἀπὸ τῆς τοῖς πονηροῖς ἠπειλημένης κολάσεως διορθοῦται τὴν ἀκροατήν. διὸ καὶ ἐπάναγκες.

ἴσ. ἀπολλύει

ἴσ. νοσφίζεται

ἴσ. αἰτήσει

48 Ἐὰν ᾗ εἴπῃ ὁ κακὸς δοῦλος ἐν τῇ καρδίᾳ αὐτοῦ, χρονίζει ὁ κύριός μου ἐλθεῖν.

49 Καὶ ἄρξηται τύπτειν τοὺς συνδούλους αὐτοῦ, ἐσθίειν ᾗ δὲ πίνειν μετὰ τῶν μεθυόντων,

50 Ἥξει ὁ κύριος τοῦ δούλου ἐκείνου ἐν ἡμέρᾳ ᾗ οὐ προσδοκᾷ, καὶ ἐν ὥρᾳ ᾗ οὐ γινώσκει,

51 Καὶ διχοτομήσει αὐτὸν ⓦ, καὶ τὸ μέρος αὐτοῦ μετὰ τῶν ὑποκριτῶν θήσει. ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων.

Εἰ ᾗ λέγοι τις, Εἶδες οἵος ἐπεισῆλθε λογισμός, ἀλλ' ὃ μὴ εἰ) γνώσιμον τὴν ἡμέραν; χρονίζει γὰρ ὁ κύριος μοῦ φησιν· Ἑτοιμάσω δὲ, οὐ ἀλλ' ὃ μὴ εἰ) γνώσιμον τὴν ἡμέραν, ἀλλὰ ἀλλὰ τὸ πονηρὸν εἰ) τὴν οἰκέτην. ἐπεὶ ὦ φεύγωμεν καὶ πάντως πάντα ἕνεκεν οὐκ ἐπεισῆλθεν * αὕτη ἡ ἔννοια; Εἰ γὰρ καὶ χρονίζει ὁ δεσπότης, ἄθλιε; ὅλως προσδοκᾶς αὐτὸν ἥξειν. τί οὖν οὐ μεμνᾶσαι; ἐντεῦθεν [οὖν] μανθάνομεν, ὅτι οὐδὲ χρονίζει. αὕτη γὰρ ἡ τοῦ δεσπότου, ἀλλὰ τῆς τοῦ πονηροῦ οἰκέτου γνώμης ἡ ψῆφος. διὸ καὶ ἀλλ' τοῦτο ἐγκαλεῖται. ὅτι γὰρ οὐ χρονίζει, ἀκούσον Παύλου λέγοντος· Ὁ Κύριος ἐγγύς, μηδὲν μεριμνᾶτε. καὶ, Ὁ ἐρχόμενος ἥξει, καὶ ἡ χρονιεῖ. σὺ ᾗ δὲ τὸν ἔξης ἄκουε, δὲ μάθῃς πῶς συνεχῶς ὑπομιμνήσκει τῆς ἀγνοίας τὴν ἡμέραν, δηλῶν τοῖς οἰκέταις τοῦτο χρήσιμον ὄν, καὶ ἱκανὸν ἀφυπνίσαι αὐτοὺς καὶ διεγεῖραι. τί γὰρ Εἰ καὶ μηδὲν κέρδος ἀπ' αὐτοῦ τινες ἐντεῦθεν; (οὐδὲ γὰρ ἀπὸ τῶν ἄλλων τῶν ὠφελουμένων ὠφελήθησάν τινες) ἀλλ' ὅμως οὐκ ἡ παύεται τὰ αὐτοῦ ποιῶν. τί οὖν φησι τὰ ἔξης; ἐλεύσεται ἐν ἡμέρᾳ ᾗ οὐ προσδοκᾷ, καὶ ὥρᾳ ᾗ οὐ γινώσκει, καὶ τὰ ἑξῆς αὐτοῦ διαθήσει. ὁρᾷς πῶς καὶ πανταχοῦ τὸν ὕπνον, ὃ τῆς ἀγνοίας δεικνὺς χρήσιμον, καὶ τούτῳ ποιῶν ἀναγωνίας ἀεί; τοῦτο γάρ ἐστι ὃ ἀσυνδαζόμενον αὐτῷ, ὃ ἀεὶ ἡμᾶς ἐγρηγορέναι. καὶ ὅτι ἀεὶ ἐν ταῖς τυφαῖς ἀναπίπτομεν, ἐν ᾗ ταῖς συμφοραῖς μᾶλλον συστελλόμεθα, διὰ τοῦτο πανταχοῦ τοῦτο λέγει, ὅτι ὅταν δύσεις ᾖ, τότε ἔρχεται τὰ δεινά. καὶ ὥσπερ ἀνωτέρω διὰ τοῦ Νῶε τοῦτο ἐδήλωσεν, οὕτω καὶ ἐνταῦθά φησιν, ὅταν ὁ δοῦλος ἐκεῖνος μεθύῃ, ὅταν τύπτῃ, καὶ ἡ κόλασις ἀφόρητος. ἀλλὰ μὴ τὴν κόλασιν ἴδωμεν μόνον τὴν ἐκείνῳ χειμάζουσαν, ἀλλὰ κἀκεῖνο σκοπήσωμεν, μήποτε καὶ αὐτὰ παθόντες λάθωμεν. ὃ γὰρ τούτῳ ἔοικασιν ⓐ χρήματα ἔχοντες καὶ μὴ διδόντες τοῖς δεομένοις. ὃ γὰρ καὶ σὺ οἰκονόμος Εἶ τῶν σαυτοῦ χρημάτων, οὐχ ἧττον ἢ ὁ τὰ τῆς ἐκκλησίας οἰκονομῶν. ὥσπερ οὖν ἐκεῖνος οὐκ ἔχει ἔξουσίαν τὰ διδόμενα πρὸς ὑμᾶς Εἰς πένητας, ἁπλῶς καὶ ὡς ἔτυχε σκορπίσαι, ὅπου Εἰς πενήτων ἐδόθη διὰ ἔφοβον· οὕτως οὐδὲ σὺ τὰ σά.

ἴσ. ἐπιδεῖν

Φιλιππ. δ. ε.

25. λανθάνομεν.

Εἰ

Εἰ γὰρ ἡ παιρῶον διεδιέξω κλῆρον, ἡ ὕτως ἔχεις πάντα ἃ ἔχεις, ἡ ὕτω τοῦ Θεοῦ πάντα ὄστιν. Εἶπα, σὺ μὲ, ἅπερ ἔδωκας, ὕτω βάλει μὴ ἀκριβείας οἰκονομεῖσθαι· τὸ δὲ Θεὸν οὐκ οἴει τὰ αὐτὰ μὴ πλείονος ἀπαιτήσειν ἡμᾶς τῆς σφοδρότητος, ἀλλὰ ἀνέχεσθαι αὐτῶν ἁπλῶς ἀπολλυμένων; ὐκ ἔστι ταῦτα, ὐκ ἔστι. ἡ γὰρ δι' τοῦτο τὰ πάντα σοὶ ταῦτα εἴασεν, ὥστε διαῶσαι τὴν ἀνθρώπην ἀνθεῖς ἐν ὐκαίρῳ. Εἰ ὄστιν, ἐν ὐκαίρῳ; τοῖς δεομένοις, τοῖς πεινῶσιν. ὥσπερ γὰρ σὺ τὰ σωδούλῳ ἔδωκας οἰκονομῆσαι· ὕτω ἡ σὲ ὁ δεσπότης βούλεται εἰς δέον ταῦτα δαπανᾶν. δι' τοῦτο ἡ δωυάμενος αὐτὰ ἀφελέσθαι, ἀφῆκεν, ἵνα ἔχῃς ἀφορμὴν ἀρετὴν ἐπιδείξασθαι, ἵνα ἀλλήλων εἰς χεῖρα καταῤῥήσας πρὸς ἀλλήλους ἀγάπην θερμοτέραν ἐργάσηται. σὺ δ' λαβὼν, οὐ μόνον ὐ δίδως, ἀλλὰ τύπτεις. καίτοιγε εἰ τὸ μὴ δοῦναι, ἔγκλημα, τὸ τυπῆσαι, ποῖον φέρει συγγνώμην; τοῦτο δέ μοι δοκεῖ λέγειν, τὸν ὑβρεστὴν καὶ τὸν πλεονέκτην ἀνιπτόμενος, ἡ πολλὴν τὴν κατηγορίαν ἐνδεικνύμενος, ὅταν ὕς τρέφειν ἐκελεύσθησαν, τύπτεις τύπτουσι. δοκῶ δέ μοι καὶ τὸν τρυφῶντα ἐνταῦθα αἰνίττεσθαι. ἡ γὰρ τῆς τρυφῆς μεγάλη κεῖται κόλασις. ἐσθίει γὰρ καὶ πίνει, φησί, μετὰ τῶν μεθυόντων, τὴν ἀκριμβεστάτην δηλῶν. οὐ γὰρ δι' τοῦτο ἔλαβες, ἵνα εἰς τρυφὴν δαπανήσῃς, ἀλλ' ἵνα εἰς ἐλεημοσύνην ἀναλώσῃς. μὴ γὰρ τὰ σαυτοῦ ἔχεις; τὰ τῶν πενήτων ἐνεπιστεύθης, κἂν ἀπὸ κληρου παιρῶν κεκλημένος τυγχάνῃς, κἂν ἐκ πόνων δικαίων. μὴ γὰρ ὐκ ἠδυνατο ταῦτα ὁ Θεὸς ἀφελέσθαί σε; ἀλλ' οὐ ποιῶ τοῦτο, σὲ κύριον ποιῶν τῶν εἰς τοὺς δεομένους φιλοπιμίας. σὺ δέ μοι σκόπει, πῶς δι' πασῶν τῶν πραγμάτων κολάζῃ τοὺς ὐκ εἰς τοὺς δεομένους τοῖς χρήμασι χρωμένους τοῖς ἰδίοις. οὗτε γὰρ αἱ πρόφασαι ἥρπασαν τὰ ἀλλότρια, ἀλλ' ὐκ ἐδωκάν τὰ ἴδια· ὅτε ὁ τὸ ἔν ταλαντον καταρύξας ἐπλεονέκτησεν, ἀλλ' ὐκ ἐδιπλασίασεν· ὅτε οἱ πεινῶντας παιδόντες, ὅτι τὰ ἀλλότρια ἥρπασαν κολάζονται, ἀλλ' ἐπειδήπερ τὰ αὐτῶν ὐκ ἐσχήρπισαν, καθάπερ ἡ ὁ δοῦλος ἐκεῖνος. ἀκούσωμεν τοίνυν ὅσοι χαρίζόμεθα, ὅσοι εἰς δεῖπνα πολυτελῆ πλοῦτον δαπανίσκομεν ἐν δέοντι ἡμῖν προσήκοντα, ἀλλὰ τῶν δεομένων ὄντα. μὴ γὰρ ὅτι ἀπὸ πολλῆς φιλανθρωπίας, ὡς ὐκ ἄν τῶν σῶν ἐκελεύσθης δίδοναι, δι' τοῦτο καὶ τὰ σαυτοῦ νομίζῃς εἶναι τούτου. ἔχρησέ σοι, ἵνα δωνηθῇς εὐδοκιμῆσαι. μὴ τοίνυν σὺ τὰ εἶναι νόμιζε, τὰ αὐτῷ αὐτῷ δίδου. ὅθεν γὰρ εἰ σὺ ἐδημιούργησάς τινι, ἵνα ἀπελθὼν δωνηθῇ τινας ἀφορμὰς λαβεῖν πόρων, ἐκείνου τὰ χρήματα ἔφης ἂν εἶναι. ἡ σοὶ τοίνυν ἔδωκεν ὁ Θεὸς, ἵνα ἐμπορεύσῃ τὴν ὑρανόν. μὴ τοίνυν τὴν ὑπερβολὴν τῆς φιλανθρωπίας ὑποδέσιν ἀγνωμοσύνης ποιήσῃς. ἐννόησον ὅσης εὐχῆς ἄξιον ἐστὶν, τὸ δωνηθῆναι μὴ τὸ βάπτισμα ἐυρεῖν ὁδὸν λύσαν ἁμαρτήματα. εἰ* μὴ τοῦτο εἶπε, δὸς ἐλεημοσύνην, πόσοι ἂν εἶπον, εἶτα ἐστὶν δυνατὸν χρήματα δοθῆναι ἡ ἀπαλλαγῆναι τῶν μηδόντων κακῶν; ὅτι ἦ δυνατὸν τοῦτο γενέσθαι, πάλιν γεγόνασιν ὕπιοι. ἀλλὰ δίδωμί, φησι. καὶ τί τοῦτο; ὐδέπω γὰρ ἔδωκας, ὅσον ἡ τὸν δύο ὀβολοὺς καταβαλοῦσα· μᾶλλον ἦ ὐ τὸ ἥμισυ, ὐδὲ τὸ πολλοστὸν ἐκείνης, ἀλλὰ τὰ πλείονα εἰς ἀνονήτους [ἡ ἀνωφελῆς] ἐκβάλλεις δαπάνας, εἰς συμπόσια καὶ μέθην ἡ ἀσωτίαν ἐμπίπτων, νεῶν μὲ καλῶν, νεῶν ἦ καλούμενος· νεῶν μὲ δυαλίσκων σὺ, νεῶν ἦ ἑτέρους δυαλίσκειν ἀναγκάζων· ὥστε ἡ διπλῶν σοι γένεσθαι τὴν κόλασιν, καὶ ἀφ' ὧν αὐτὸς ποιῇς, καὶ ἀφ' ὧν ἑτέρους προτρέπεις. ὅρα γενῶ ἡ τοῦτον αὐτὸ τὸ ἐγκαλούμενον τὸ οἰκέτην. ἐσθίει γὰρ, φησι, ἡ πίνει μὴ τῶν μεθυόντων. ὐδὲ γὰρ τοῦτο μόνον, ἀλλὰ ἡ τοῦτο μετ' αὐτῶν οὕτως κολάζει. ἡ μάλα εἰκότως. ὅτι μὴ τῆς οἰκείας διαφθορᾶς ἡ τῆς τῶν πλησίον ἐπανορώσει σωτηρίας. τὸ ἦ Θεὸν ὐδὲν ὅτω πρόξυμον, ὡς τὸ ἐπανορθωτικῶς ἔχειν τὸ τῶ πλησίον προσηκόντων. διὸ ἡ τὸν θυμὸν ἐνδεικνύμενος, διχοτομηθῆναι αὐτὸν ἐκέλευσε. διὰ τοῦτο ἡ τὴν ἀγάπην γνώρισμα τῶν αὐτοῦ μαθητῶν ἔφησεν εἶναι· ὅτι πᾶσα δυάγκη τὸν ἀγαπῶντα, τὰ τοῦ ἀγαπωμένου μεριμνᾶν.

Ταύτης τοίνυν ἐχώμεθα τῆς ὁδοῦ. ἡ γὰρ αὕτη μάλιστα ὄστιν ἡ τοῦς τὸν οὐρανὸν ἀνάγου- ΗΘΙΚΟΝ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σα, ἡ τοῦ Χριστοῦ μιμητὰς ἐργαζομένη, ἡ τοῦ Θεοῦ κτίσιν δυναμένη ὁμοίους ποιῆσαι. ὅρα γοῦν καὶ τὰς ἀρετὰς ταύτας ὅσας δυναγκαιοτέρας, αἱ πρὸς ταύτην ἐσκήνωνται τὴν ὁδόν· καὶ, εἰ βούλεσθε, ποιήσωμεν αὐτῶν ἐξέτασιν, καὶ τὰς ψήφους ἀπὸ τῆς τοῦ Θεοῦ ἐνεγκώμεθα γνώμης. ἔστωσαν τοίνυν δύο ζωῆς ἀρίστης ὁδοί· καὶ ἡ μία αὐτῶν αὐτὸν κατασκευαζέτω καλὸν Ⓜ μεπόντα· ἡ δὲ ἑτέρα, καὶ Ⓜ πλησίον. ἴδωμεν ποία μᾶλλον εὐδοκιμῇ, καὶ πρὸς τὴν κορυφὴν ἡμᾶς ἀγάγῃ τῆς ἀρετῆς. σκοπῶ σκῆνος μὲν ὁ τὰ ἑαυτῆς μόνον ζητῶν, καὶ ἀπὸ τοῦ Παύλου μικρὸν ἐξέλθω αἰτίας (ὅταν δὲ ἀπὸ τοῦ Παύλου εἶπω, τοῦ Χριστοῦ λέγω) οὐδὲ ἓν ἐγκώμιον καὶ στεφάνους. καὶ πόθεν τοῦτο δῆλον; ἀκουσον τί μὲν τούτῳ προσλέγεται, τί δὲ σκεύῃ. μηδεὶς τὸ ἑαυτῆς ζητείτω, ἀλλὰ καὶ τὸ τοῦ πλησίον ἕκαστος. ὁρᾷς πῶς τὸ μὲν ἐξέβαλε, τὸ δὲ εἰσήγαγε; καὶ πάλιν, Ἕκαστος ὑμῶν τῷ πλησίον ἀρεσκέτω εἰς τὸ ἀγαθὸν πρὸς οἰκοδομήν. εἶτα καὶ ὁ ἔπαινος ἀφανὴς μὴ προσηνέσεως. καὶ γὰρ ὁ Χριστὸς οὐχ ἑαυτῷ ἤρεσεν. ἵνα δὲ μὴ οὕτω τὰ αὐτὰ αἱ ψῆφοι δείξαι τὴν νίκην. ἵνα δὲ καὶ πλουσίας τοῦτο γένηται, ἴδωμεν τί μὲν τῶν κατορθωμάτων μέρος ἡμῶν ἴσατον, τί δὲ ἀφ' ἡμῶν καὶ εἰς ἑτέρους διαβαίνει. σκοπῶ τὸ μὲν νηστεῦσαι, καὶ χαμεύνησαι, καὶ παρθενίαν ἀσκῆσαι, καὶ σωφρονῆσαι, ταῦτα αὐξῆσις ἐργαζομένοις φέρει τὸ κέρδος· τὰ δὲ ἀφ' ἡμῶν εἰς Ⓜ πλησίον διαβαίνοντα, ἐλεημοσύνη, διδασκαλία, ἀγάπη. σκοπῶ καὶ τοῦτο ἄκουσον Παύλου λέγοντος· Οὐ κἂν ψωμίσω μου τὰ ὑπάρχοντα, κἂν παραδῶ τὸ σῶμά μου ἵνα καυθήσωμαι, ἀγάπην δὲ μὴ ἔχω, οὐδὲν ὠφελοῦμαι. ὁρᾷς αὐτὸν καθ' ἑαυτὸν λαμπρῶς ἀπαγορευόμενον καὶ στεφανούμενον; εἰ δὲ βούλεσθε, καὶ ἐκ τρίτου συμβάλωμεν. καὶ ὁρῶ νηστεύοντα, καὶ σωφρονοῦντα, καὶ μαρτυροῦντα, καὶ καταγελῶντα· ἕτερος δέ τις διαβαίνεται τὸ μαρτύριον διὰ τὸν τὸ πλησίον οἰκοδομῶν, καὶ μὴ μόνον διαβαίνεται, ἀλλὰ καὶ ἀπερχόμενον μαρτυρίου χωρεῖς. τίς μᾶλλον εὐδοκιμήσει μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν; ἆρ' οὐ πολλῷ ἐνταῦθα λέγων ἡμῖν, οὐδὲ μακρᾶς τῆς ὁδοῦ. ἐφέστηκε γὰρ ὁ μακάριος Παῦλος τὴν ψῆφον φέρων καὶ λέγων· Τὸ διαλῦσαι καὶ σὺν Χριστῷ εἶναι, πολλῷ μᾶλλον κρεῖσσον· τὸ δὲ ἐπιμένειν τῇ σαρκί, ἀναγκαιότερον δι' ὑμᾶς. ἀκούεις, ὅτι καὶ τῆς πρὸς Χριστὸν ἀποδημίας προτιμᾷ τὸ πλησίον τὴν οἰκοδομήν; τοῦτο γὰρ μάλιστα δεῖ σωθῆναι Χριστῷ, τοῦτο τὸ θέλημα αὐτοῦ ποιῆσαι. θέλημα δὲ αὐτοῦ οὐδέν ἐστιν, ὡς τὸ συμφέρον τῷ πλησίον. βούλει καὶ τεταρτεῖον εἶπω τούτων ἀπόδειξιν; Πέτρε, εἰ φιλεῖς με, φησί, ποίμαινε τὰ πρόβατά μου. καὶ τρίτον αὐτὸν ἐρωτήσας, τοῦτο ἔφησεν εἶναι φιλίας τεκμήριον. οὐ πρὸς ἱερέας δὲ τοῦτο μόνον εἴρηται, ἀλλὰ καὶ πρὸς ἕκαστον ἡμῶν, τὸν καὶ μικρὸν ἐμπεπιστευμένων ποίμνιον. μὴ γὰρ ὄγκῳ μικρὸν ἐστι, καταφρονήσῃς. ὁ γὰρ πατὴρ μοῦ, φησιν, οὐδένησεν ἐν αὐλῇ. ἔχει ἕκαστος ἡμῶν πρόβατον· τοῦτο ὑπὸ τὰς πρόσπεσούσας ἀγέτω νομάς. καὶ ὁ ἀνὴρ διδασκάλου ἀπὸ τῆς θύρας, μηδὲν ἄλλο ζητείτω, ἀλλ' ἢ ὅπως ἐργάσηταί τι καὶ εἴπῃ, δι' ὧν ἅπασαν εὐλαβεστέραν ποιήσῃ τὴν οἰκίαν. ἡ γυνὴ πάλιν ἔστω μὲν οἰκουρός, πρὸ δὲ ταύτης τῆς ὑπομνήσεως ἑτέραν δυναγκαιοτέραν ἐχέτω φροντίδα, τὰ τῶν ἔσω ὅπως διαπασα ἐργάσηται ἡ οἰκία. εἰ γὰρ ἐν τοῖς βιωτικοῖς πρὸ τῆς τοῦ οἰκίου ὑπομνήσεως, τὰ δημόσια σπουδάζομεν καταθεῖναι ὀφλήματα, ὥστε μὴ διὰ τὸν ἐν τούτοις ἀγωνοθετῶν δίρεσθαι καὶ ἕλκεσθαι ἐπ' ἀγορᾶς, καὶ μείζονα ἀχθηνδῆν· πολλῷ μᾶλλον ἐπὶ τῶν πνευματικῶν τοῦτο δεῖ ποιεῖν, τὰ τῆς βασιλείας τῶν οὐρανῶν Θεοῦ καταθεῖναι πρότερον, ἵνα μὴ ἔλθωμεν ὅπου ὁ βρυγμὸς τῶν ὀδόντων· καὶ ταύτας ζητῶμεν τὰς ἀρετάς, αἳ μετὰ τῆς ἡμετέρας σωτηρίας καὶ τὸν πλησίον τὰ μέγιστα ὠφελῆσαι δυνατὸν δή. τοιοῦτον ἡ ἐλεημοσύνη, τοιοῦτον ἡ εὐχή· μᾶλλον δὲ καὶ αὐτὴ πρὸς ἐκείνης δυνατὴ καὶ κατορθοῦσα γίνεται. Αἱ εὐχαὶ γάρ φησι, καὶ αἱ ἐλεημοσύναι σου ἀνέβησαν εἰς μνημόσυνον ἐνώπιον τοῦ Θεοῦ. οὐκ εὐχὴ δὲ μόνον, ἀλλὰ καὶ νηστεία ἐνταῦθα τὰ νεῦρα ἔχει. κἂν νηστεύῃς χωρὶς ἐλεημοσύνης, οὐδὲ νηστεία τοῦτο πρᾶγμα λογίζεται, ἀλλὰ γαστριζομένου καὶ μεθύοντος χείρων ὁ τοιοῦτος, καὶ τοσούτῳ

γρ. σκηνῶσαι

γρ. τοῦ

γρ. τοῦ θεοῦ βασιλείαν, ὅπως πᾶσα

γρ. ἀνδίκου

σάτῳ χείρων, ὅσῳ τυφῆς ὠμότης χεῖρον ἡ ϛαλεπώτερον. ἡ τί λέγω νηστείαν; ϰαὶν γὰρ σωφροσύνης, ϰαὶν παρθενείας, ἐντὸς ἑστηϰὼς ᾖ νυμφῶνος, ἐλεημοσύνην ὐϰ ἔχων. ϰαίτοι τί παρθενίας ἴσον, ὁ μηδὲ ἐν τῇ ϰαινῇ ἐστὼ νόμον ἦλθε τ᾽ ἀνάϒϰης ὄϕᾳ ὃ ἐπῆρχον; ἀλλ᾽ ὅμως ἐϰβάλλε), ὅταν τὴν ἐλεημοσύνην μὴ ἔχῃ. Εἰ δὲ παρθένοι ἐϰβάλλονται), ὅπου τούτων ὐϰ εἶχον μὴ δαψιλείας τῆς παρεσηϰούσης, τίς δυνήσε) ταύτης αὐθις συνηνώμης τυχεῖν; ὐϰ ἔστιν ϰωθεῖς, ἀλλ᾽ ἀπολέσθαι πάντως ἀνάϒϰη τὸν ταύτην ὐϰ ἔχοντα. Εἰ ϒὰρ ἐν τοῖς βιωτιϰοῖς ϰωθεῖς ἑαυτὸν ζῆν, ἀλλὰ ἡ χειροτέχνης, ἡ ῥαπτώτης, ἡ ϰεωρϒός, ἡ ἔμπορος παρὸς τὸ ϰοινῇ συμφέρον ἡ τὸ τῶν πλησίον ὠφέλιμον ζητοῦντες ἅπαντες πολλῷ μᾶλλον ὅτι τῶν πνευματιϰῶν τοῦτο δεῖ ποιεῖν. τοῦτο ϒὰρ μάλιστά ἐστι [τὸ] ζῆν· ὡς ὅγε ἑαυτὸν ζῶν μόνον ϰαὶ πάντων ἀφορῶν, παρεπής ἐστι, ϰαὶ ϰοσμοπολίτης, ϰοσμοπολίτης τοῦ ἡλίου τοῦ ἡμετέρου. τί οὖν, φησιν, ἀνὴρ τὰ ϰαθ᾽ ἑαυτὸν παιδεύσω, τὰ τῶν ἄλλων ὀπιζητῶν; οὐϰ ἔστιν, [οὐϰ ἔστι] τὰ τῶν ἄλλων ὀπιζητοῦντα τὰ ἑαυτῶν περιδεῖν. ὁ ϒὰρ τὰ τῶν ἄλλων ὀπιζητῶν, οὐδένα λυπεῖ, ἀλλ᾽ ἐλεῆσαι, ὠφελῆσαι εἰς δύναμιν τὸν ἑαυτῆς, οὐδενός τι ἁρπάσαι, οὐ πλεονεϰτῆσαι, οὐ ϰλέψαι, οὐ ψευδομαρτυρῆσαι, πάσης ἀφέξεται ϰαϰίας, πάσης ὀπλήψεται ἀρετῆς, ϰαὶ ἀνωφελῆ ἀφροσύνης, ϰαὶ βύερϒετήσει τοὺς ὀπιϑυλαβουμένους, ϰαὶ ὅτε λοιδορήσεται ἄνϑρωπος, ὅτε ϰαϰῶς ἐρᾷ, ϰαὶν μυρία ἀϰούσῃ ϰαϰῶς, ἀλλ᾽ ἐρᾷ τὰ ἀποστολιϰά· Τίς ἀσθενεῖ, ϰαὶ οὐϰ ἀσθενῶ; τίς σϰανδαλίζεται, ϛ.Κορ.ια.κθ. ϰαὶ οὐϰ ἐγὼ πυροῦμαι; οὐχ ὕ τοῦτο τὰ ἡμέτερα σπεῦσαι, ὅ πάντως ϰαὶ τὰ τῶν ἄλλων ἕψεται. οὐϰ τούτων ἁπάντων πεισθέντες, ὡς ὐϰ ἔνι σωθῆναι μὴ ὃ ϰοινῇ συμφέρον σπουδῶμεν, ϰαὶ ⓦ διχοτομηθέντα τοῦτον ἰδόντες, ϰαὶ ⓦ ὃ τάλαντον ϰαταρυξάμενα, ταύτην ἐλώμεθα τὴν ὁδὸν, ἵνα ϰαὶ τῆς αἰωνίου τύχωμεν ζωῆς, ἧς ϰλύσαι πάντας ἡμᾶς ὀπιτυχεῖν, χάριτι ϰαὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ιησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Αμήν.

Ομιλ. ον. 1 ΤΟΤΕ ΟΜΟΙΩΘΗΣΕΤΑΙ Η ΒΑΣΙΛΕΙΑ ϰξζ ϰε.
τῶν ὐρανῶν δέϰα παρθένοις, αἵτινες λαβοῦσαι τὰς λαμπάδας αὐτῶν, ἐξῆλθον εἰς ἀπαντησιν τοῦ νυμφίου. 2 Πέντε ὃ ἦσαν φρόνιμοι, ϰαὶ πέντε μωραί, 3 Αἵτινες οὐϰ ἔλαβον, φησιν, ἔλαιον.

Ὑπαι αἱ παραβολαὶ τῇ παρούσῃ ἐοίϰασι τῇ τοῦ πιστοῦ δούλου ϰαὶ τοῦ ἀνωφελοῦς ϰαὶ τὰ διαστολιϰὰ ϰαταδηλοῦσι [ϰεφάλαια]. πέντε ϒὰρ εἰσιν αἱ πᾶσαι παρὰ τῶν αὐτῶν διαφόρως ἡμῖν παραινοῦσαι· λέγω δὴ τῆς παρὰ τοῦ ἐλεημοσύνου ϰατορθώσεως, ϰαὶ τοῦ πόνων, ὧν αἱ δυνάμεθα, ⓦ πλησίον ὠφελεῖν, ὡς οὐϰ ἄνευ σωθῆναι ἑτέρως. ἀλλ᾽ ἐνταῦθα μὲ παρὰ πάσης ὠφελείας λέγω ϰαθολιϰώτερον, ἀλλ᾽ εἰς ⓦ πλησίον ὀπιδείϰνυσθαι χρή· ὅπερ ὃ τῶν παρθένων παρὰ ἐλεημοσύνης ἰδιϰῶς τῆς ἐν χρήμασι λέγω, ϰαὶ σφοδρότερον, ἢ ὅπερ τῆς παρούσης παραβολῆς. ἐϰεῖ μὲν ϒὰρ ⓦ τὸ πονοῦντα ϰαὶ μεθύοντα, ϰαὶ τὰ δεσποτιϰὰ σϰορπίζοντα ϰαὶ ἀπολλύοντα ϰολάζει· ἐνταῦθα ὃ ϰαὶ ⓦ οὐϰ ὠφελοῦντα, οὐδὲ δαψιλῶς τοῖς δεομένοις τὰ ὄντα ἀποϰενοῦντα. Εἶχον μὲν ϒὰρ ἔλεος, ϰαὶ δαψιλές ὃ, ἀλλ᾽ ϰαὶ ϰολάζονται. Τίνος δὲ ἕνεϰεν ὅπερ τοῦ παρόντος τῶν παρθένων ταύτην παρατεί τὴν παραβολήν; ϰαὶ οὐϰ ἁπλῶς· οἱονδηποτοῦν ἐπιστήσεται παρόντων; μεγάλα παρὰ παρθενίας διελέϝθη εἰπών· Εἰσὶν εὐνοῦχοι, οἵτινες ἐνευνούχισαν ἑαυτοὺς διὰ τὴν Ματθ.ιθ.ιβ. βασιλείαν τῶν ὐρανῶν, ϰαὶ ὁ δυνάμενος χωρεῖν, χωρείτω· ἄλλως δὲ, οἶδε ϰαὶ τοὺς πολλοὺς τῶν ἀνθρώπων μεγάλην παρὰ αὐτῆς δόξαν ἐχούσας. ϰαὶ ϒὰρ ὅτι τὸ πρᾶγμα φύσει μέγα, ϰαὶ δῆλον ἐξ ὧν ὅτε ἐν τῇ παλαιᾷ ἐπὶ τῶν ἁγίων ἐϰείνων ϰαὶ μεγάλων ἀνδρῶν ϰατωρθώθη, ϰαὶ ἐν τῇ ϰαινῇ δὲ οὐϰ ἦλθεν εἰς ἀνάγϰην νόμου. ὃ ϒὰρ ἐπέταξε τοῦτο, ἀλλὰ τῇ παραιρέσει τῶν

χρ. κενοῦντα.

χρ. ὁπηλίποτε πάσχειν

α. Κορ. ζ. κε. τῶν ἀκουόντων τὸν καταρθοῦσθαι ἐπέτρεψε. διὸ καὶ Παῦλός φησι· Περὶ δὲ τῶν παρθένων ἐπιταγὴν Κυρίου οὐκ ἔχω. ἐπαινῶ μὲν γὰρ ⟨W⟩ καταρθοῦντα, οὐκ ἀναγκάζω δὲ ⟨W⟩ μὴ βουλόμενον, οὐδὲ ἐπίταγμα δὲ τὸ παράγγελμα ποιῶ. ἐπεὶ οὖν ⟨C⟩ μέγα τὸ παράγγελμα ἴδῃ, καὶ μεγάλην παῤῥησίαν τοῖς πολλοῖς δόξαν εἶχεν, ἵνα μή τις τοῦτο καταρθῶν, ὡς τὸ πᾶν κατορθωκὼς ἀμελῶς διάκειται, καὶ τῶν λοιπῶν ἀμελῇ, λέγει ταύτην τὴν παῤῥησίαν ἔχων πεῖσαι ὅτι παρθενία ⟨C⟩ καὶ ἄλλα πολλὰ καλά, τῶν ἀπὸ τῆς ἐλεημοσύνης καλῶν ἔρημος οὖσα, μετὰ τῶν πόρνων ἐκβάλλεται, καὶ τὸ ἀπόνηφον, καὶ τὸ ἀνελέημονα ἴσην μοῖραν αὐτοῖς ⟨C⟩ μάλα εἰκότως. ὁ μὲν γὰρ σωμάτων ἔρωτος ἥττηται, ⟨A⟩ ὃ χρημάτων. οὐκ ἔστι δὲ ἴσον σωμάτων ἔρως ⟨C⟩ χρημάτων. ἀλλ' ὁ τῶν σωμάτων δριμύτερός τε πολλῷ καὶ πυρφυρικώτερος. ὅσῳ γοῦν ἀθενέστερος ὁ ἀνταγωνιστὴς, τοσούτῳ ἀσυγγνωστοι μᾶλλον αἱ νικηθεῖσαι. διὰ τοῦτο δή μοι φαίης αὐτὰς καλάς, ὅτι ⟨W⟩ μείζονα ἐπεδείξασαν πόνον, διὰ ⟨W⟩ ἐλαίαν δὲ πολὺ περιῦδωκαν. λαμπάδας δὲ ἐνταῦθά φησιν αὐτὸ δὲ τῆς παρθενίας χάρισμα, δὲ καθαρὸν τῆς ἀγνωσύνης· ἔλαιον δὲ, τὴν φιλανθρωπίαν, τὴν ἐλεημοσύνην, τὴν περὶ τοὺς δεομένους βοήθειαν.

5 Χρονίζοντος δὲ τοῦ νυμφίου, ἐνύσταξαν πᾶσαι καὶ ἐκάθευδον.

Ἐνταῦθα δείκνυσιν οὐκ ὀλίγον ⟨W⟩ χρόνον ἐπόμβιον πάλιν τὸ μεταξύ, οὗ μαθοῦσα ἀπάγων τὸν προσδοκᾶν αὐτὴν μᾶλλα φανῆναι τὴν βασιλείαν αὐτοῦ. καὶ γὰρ τοῦτο ἤλπιζον. διὰ τοῦτο δὲ ⟨C⟩ συνεχῶς αὖθις διαλαμβάνει τῆς ἐλπίδος ταύτης. μετὰ δὲ τοῦτο καὶ ἐκεῖνο ἐμφαίνει, ὅτι ὕπνος ὁ θάνατός ἐστιν. ἐκάθευδον γάρ, φησι:

6 Περὶ δὲ μέσας νύκτας κραυγὴ γέγονεν. Ἦσαν τῇ παῤῥησίᾳ ἐπέμενεν, ἢ πάλιν δείκνυσιν ὅτι ἐν νυκτὶ ἡ διάσασις γίνεται. τὴν δὲ κραυγὴν ⟨C⟩ ὁ Παῦλος ἐνδείκνυται λέγων· Ἐν κελεύσματι, ἐν φωνῇ ἀρχαγγέλου, ἐν τῇ ἐσχάτῃ σάλπιγγι καταβήσεται ἀπ' οὐρανοῦ. καὶ τί βούλονται αἱ σάλπιγγες; τί δὲ ἡ κραυγὴ λέγει; ὁ νυμφίος ἔρχεται. α. Θεσσ. δ. ιε.

7 Ἐπεὶ οὖν ἐκόσμησαν ταῖς λαμπάσας,

8 Λέγουσιν αἱ μωραὶ ταῖς φρονίμοις· δότε ἡμῖν ἐκ τοῦ ἐλαίου ὑμῶν.

Πάλιν αὖθις μωρίαν καλῶ, δεικνὺς ὅτι οὐδὲν μωρότερον τῶν ἐνταῦθα χρηματιζομένων ⟨C⟩ γυμνῶν ἀπίοντων ἐκεῖθεν, ἔνθα μάλιστα φιλανθρωπίας ἡμῖν χρεία, ἔνθα πολλοῦ τοῦ ἐλέους. οὐ ταύτην δὲ μόνον μωρίαν, ἀλλ' ὅτι ⟨C⟩ προσδοκήσαν ἐκεῖθεν λήψεσθαι, καὶ ἀκαίρως ἐζήτησαν· καίτοιγε οὐδὲν ἐκείνων φιλανθρωπότερον τῶν πτωχῶν ἐστί, διὰ τοῦτο μάλιστα βεβασάνισται. καὶ οὐδὲ ὃ πῶς ζητοῦσι. δότε γάρ ἡμῖν, φησιν, ἐκ τοῦ ἐλαίου ὑμῶν. καὶ ὃ ἀναγκαῖον τῆς χρείας ἐπιδείκνυται). σβέννυνται γάρ, φησιν, αἱ λαμπάδες ἡμῶν. ἀλλὰ καὶ οὕτως ἀπέτυχον· ⟨C⟩ ὅτε ἡ φιλανθρωπία τῶν αἰτουμένων, οὔτε ὃ ἄκολον τῆς αἰτήσεως, οὔτε ὃ ἀναγκαῖον καὶ χρειώδες ἐποίησεν αὐτὰς ἐπιτυχεῖν. ἀλλὰ τί συνεῦδον μανθάνομεν; ὅτι οὐδεὶς ἡμῶν ἐκ τῶν ἔργων προσδοκᾶται, οὐκ ἐπὶ οὐ βούλεται, ἀλλ' ἐπὶ οὐ δύναται). καὶ γὰρ καὶ αὕτη ἐπὶ ὃ ἀδύνατον καταφεύγουσι. τοῦτο καὶ ὁ μακάριος Ἀβραάμ ἐδήλωσεν εἰπών· Ὅτι χάσμα μέγα ἐστὶ μεταξὺ ὑμῶν ⟨C⟩ ἡμῶν, ὥστε μηδὲ βουλομένοις διαβῆναι διαβαίνειν. Λουκ. ιϛ. κϛ.

9 Πορεύεσθε δὲ πρὸς τοὺς πωλοῦντας, καὶ ἀγοράσατε.

Καὶ τίνες ⟨A⟩ πωλοῦντες; ⟨A⟩ πένητες. καὶ ποῦ ἔπι; ἐνταῦθα, καὶ τότε ζητῆσαι ἐκεῖθεν, οὐκ ἐν τῷ χωρῷ ἐκείνῳ. ὁρᾷς ὅπως γίνεται ἡμῖν ἀπὸ τῶν πενήτων ἡ προσγματεία; κἂν τούτους οὖν ἐλεήσῃς, τὴν πολλὴν τῆς σωτηρίας ἡμῶν δύῃς ἐλπίδα. διόπερ ἐνταῦθα τὸ ἔλαιον ζητεῖν χρή, ἵνα ἐκεῖ χρήσιμον γένηται, ὅταν ὁ καιρὸς ἡμᾶς καλῇ. καλῇ δὲ ἐκεῖνός ἐστιν ὁ καιρὸς τῆς συλλογῆς, ἀλλ' οὐκ ἔστι. μὴ ζήτει ἀκριβῶς τὰ ὄντα εἰς πυφαὶς καὶ κενοδοξίας. πολλοῦ γὰρ σοι ἐκεῖ χρεία τοῦ ἐλαίου. ταῦτα ἀκούσασαι ἐκεῖναι ἀπῆλθον, ἀλλ' οὐδὲν ὠνήσαντο. τοῦτο δέ φησιν, ἢ τὴν παῤῥαθυμίαν καὶ ὕφαιμον αὐτοῖς· ἢ καὶ διὰ τούτων

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τούτων δεικνυς, ὅτι καὶ φιλάνθρωποι γινώμεθα μὴ τὸ ἀπελθεῖν, ὅθεν ἐντεῦθεν κερδήσωμεν εἰς τὸ ἀμαυρεῖν [τὴν κόλασιν.] Οὐκοῦν ὅθεν ταύτας ἤρκεσεν ἡ προθυμία· ὅπου μὴ ἐνταῦθα ἀπῆλθον πρὸς τὰς πωλούσας, ἀλλ' ἐκεῖ· οὕτε ὁ πλοῦτος, ὅτε ὅτω φιλάνθρωπος γέγονεν, ὡς καὶ ὕστερον τῶν αὐτῷ προσηκόντων μεμνῆσθαι. ὁ γὰρ Λ ἐν τῷ πυλῶνι Λευκ. ιε. κη.
χείμωνι προσκαρτέρων, τὰς ὅθεν ὀρωμένας ἀξιοπίστους" τῶν κινδύνων καὶ τῆς γεέννης ἐπείρεται, καὶ προκαλεῖται περιφθεῖραι ἵνας τὰς ταῦτα ἀπαγορεύουσας αὐθις. ἀλλ' ὅμως οὐδὲν ἐκεῖνος ἐντεῦθεν ἀπώνατο, ὥσπερ οὐδὲ οὗτος.

λάμπει μετὰ τῆς οἰκείας ἰσχύος, διὰ τοῦτό φησι,

Καὶ ἡ σκοτία αὐτὸ οὐ κατέλαβε. Καὶ γὰρ ἔστιν ἀκαταγώνιστον, οὐκ ἐμφιλοχωρεῖ τοῖς μὴ φωτισθεῖσι βουλομέναις ψυχαῖς.

Εἰ δὲ μὴ πρόσεχε εἶπε, μὴ σκοτοῦτο θορυβείτω· οὐδὲ γὰρ ἀνάγκη ἐστὶ βία, ἀλλὰ ΗΘΙΚΟΝ
βουλήσει καὶ γνώμῃ προσάγεται ἡμᾶς ὁ Θεός. μὴ δὴ τοίνυν ὀργὰς ἀποκλείσῃς τῷ φωτὶ τού-
του, καὶ πολλῆς ἀπολαύσῃ τῆς τρυφῆς· πῶς γένηται δὲ τοῦτο τὸ φῶς διὰ πίστεως, καὶ πῶς φω-
τιζόμενον καταλάμπει λοιπὸν μετὰ πολλῆς τῆς ἀσφαλείας καὶ σύνεσιν δεξάμενον, καὶ βίον
αὐτῷ προσέχῃς καθαρόν, μένει διηνεκῶς ἐνοικῶν ἔνδον. Ο γὰρ ἀγαπῶν με, φησὶ τὰς ἐντολάς μου Ιωαν. ιδ. κγ.
τηρήσει, καὶ ἐλευσόμεθα ἐγὼ καὶ ὁ πατὴρ πρὸς αὐτόν, φησι, καὶ μονὴν παρ' αὐτῷ ποιησόμεθα. ὥ-
σπερ οὖν ἡλιακῆς ἀκτῖνος ἀπολαύειν, ὡς ἔχει, οὐκ ἔνι μὴ διανοίξαντα τὰς ὀφθαλμούς· οὕ-
τως οὐδὲ ταύτης μετασχεῖν τῆς λαμπρότητος δυνατὸν, μὴ σφόδρα αἰσθησάμενον
τὸ τῆς ψυχῆς ὄμμα καὶ ὀξυδερκὲς αὖθις πρόθεν κατασκευάσαντα. πῶς δὲ γίνεται τοῦτο; ὅταν
πόνων ἐκκαθάρωμεν τῶν παθῶν τὴν ψυχήν. ἡ γὰρ ἀμαρτία σκότος ἐστί, καὶ σκότος βαθύ.
καὶ δῆλον ἐκ τῆς ἀσυνειδότους δὲ λανθανόντως πράττειν αὐτήν. Πᾶς γὰρ ὁ φαῦλα πράσσων Ιωαν. γ. κ.
μισεῖ τὸ φῶς, καὶ οὐκ ἔρχεται πρὸς τὸ φῶς. καὶ, Τὰ κρυφῆ γινόμενα αἰσχρόν ἐστι καὶ λέγειν.
καθάπερ [γὰρ] οὖν ἐν σκότῳ τὸ φίλον, οὐκ ἐμπρόσθεν ἂν ἴδοις, ἀλλὰ πάσας ἀγνοεῖ τῶν πραγμά-
των τὰς φύσεις, ὅπου καὶ ἐν τῇ ἀμαρτίᾳ. καὶ γὰρ ὁ πλεονεκτήσας βουλόμενος τὸν ἕτερος τὸν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

φίλον ἀπὸ τῦ πολεμίου· ϗ ὁ βασκάνων ⁊ ⟨illegible⟩ σφόδρα ὠφελιμώτερον ὡς ἐμφρόνως ὁρᾶ· ϗ ὁ ὑπὲρ βουλεύων ὁμοίως ποιεῖ πρὸς πάντας ἀπεπολέμησεν· ϗ ἁπλῶς ἅπας ὁ τὴν ἀμαρτίαν ποιῶν, τῦ μεγίστου ἀγαθοῦ διενίσχεται ϗ μαινομένων, ποιεῖ τὸ τῦ παραπλησίαν τ' φύσιν. ⁊ καθάπερ ἐν νυκτὶ ϗ ξύλον, καὶ μόλιβδος, ϗ σίδηρος, ⁊ ἄργυρος, ϗ χρυσός, καὶ λίθος τίμιος, πάντα ὁμοίως ὁρῶμεν, τῦ διακρίνοντος αὐτὰ φωτὸς ἀφαιροῦντος· οὕτω καὶ ὁ βίον ἀκήρατον ἔχων, οὐκ οἶδε τῆς σωφροσύνης τὴν ἀρετὴν, ϗ τῆς φιλοσοφίας τὸ κάλλος. ἐν γὰρ σκότῳ, καθάπερ ἔφθην εἰπών, κἂν λίθοι κέωνται τίμιοι, τὸ κάλλος οὐκ ἐμφαίνουσιν, ϗ ταῦτα τὴν οἰκείαν φύσιν, ἀλλὰ ταῦτα τὴν ἀγνοίαν τῶν ὁρώντων. ϗ τοῦτο ἦν μόνον ἡμῖν τὸ δεινὸν τοῖς ἐν ἁμαρτίαις ὅσι συμβαίνει· ἀλλ' ὅτι ϗ φόβῳ συζῶμεν διηνεκεῖ, καὶ καθάπερ ⟨illegible⟩ διὰ νυκτὸς ἀστεμφῶς βαδίζοντες πέμποιεν, κἂν μηδεὶς ὁ φοβῶν πρῇ· οὕτω ϗ οἱ τὴν ἁμαρτίαν ἐργαζόμενοι θαρρῦσιν οὐκ ἔχουσι, κἂν μηδεὶς ὁ ἐλέγχων ᾖ, ἀλλὰ πάντα δεδίασι ϗ ὑποπτεύουσιν ὑπὸ τῦ ζωικοῦ τοῦ ⟨illegible⟩ κεντούμενοι, ⁊ πάντα αὐτοῖς δέος καὶ ἀγωνία ὅστι μεγάλη, πάντα περιβλέπονται, πάντα φοβοῦνται. φύγωμεν τοίνυν τὴν ὕπνον ὀδυνηρὰν ζωήν· καὶ γὰρ μικρῦ τ' ὀδυνῶν ταύτην θανάτου ἔφεται, θανάτου ἀθανάτου. οὐδὲ γὰρ ὅστι τῆς ὀργῆς τέλος. καὶ ἐν ταύτῃ ᾗ τῶν παραπτόντων οὐδὲν διαλυόμενα ⟨illegible⟩ περιγίνεται πονηρούμενα οὐχ ὑφεῖται. ϗ γὰρ δοκοῦσι πλουτῆν ὑ πλουτοῦντες, καὶ νομίζουσι τυφᾶν ὑ τυφόντες, ϗ ὑ πρότερον ἀγαθάνονται τῆς ἀπάτης ὡς χρὴ ταύτης, ἕως ἂν τῆς μανίας ἀπαλλαγῶσιν, ἕως ἂν ⟨illegible⟩ ὕπνον ἀποτινάξωνται. διὸ νήφειν ϗ ἐγρηγορέναι πᾶσιν ὁ Παῦλος διακελεύεται· ϗ ὁ Κύριος πάλιν ἀπὸ αὐτὰ πάλιν. ὁ νήφων ϗ ἐγρηγορώς, κἂν ὑπὸ τῆς ἁμαρτίας ἁλῷ, ταχέως αὐτὴν ἀποκρούεται· ὁ δὲ καθεύδων ϗ ἀξεσκέπως, οὐκ αἰσθάνεται πῶς ἐπ' αὐτῆς κατέχεται. μὴ τοίνυν καθεύδωμεν. οὐ γὰρ νυκτὸς ὁ καιρός, ἀλλ' ἡμέρας. ὡς ἐν ἡμέρᾳ τοίνυν εὐσχημόνως περιπατήσωμεν. οὐδὲν γὰρ ἁμαρτίας ἀσχημονέστερον. ἕλκος κακὸν εἰς ἀσχημοσύνης λόγον γυμνοῖ, ἢ ἁμαρτάνοντας ϗ πλημμελοῦντας περιέρχεσθαι. σκῶλον μὲν γὰρ ὑ τοσοῦτον ἔγκλημα, πολλάκις δὲ ϗ ἀπὸ πενίας γένοιτ' ἄν· τὸ δὲ ἁμαρτάνοντος οὐδὲν αἰσχρότερον καὶ ἀπιστότερον. σύνοισωμεν οὖν τοῦ εἰς δικαστήριον ἀπιόντας ἁρπαγῆς ἕνεκα ϗ πλεονεξίας, πῶς αἰσχροὶ ϗ καταγέλαστοι φαίνονται πάντα δυναμωτιωῶτες, ψυδόμενοι ⁊ ἱταμευόμενοι. ἡμᾶς δὲ ὅτως ἐσμὲν ἐλεεινοὶ ϗ ταλαίπωροι, ὡς ἱμάτιον μὲν μὴ δυνάμεως ἁπλῶς περιεργάζεσθαι ϗ διεφθαρμένως, ἀλλὰ, κἂν ἕτερον ἴδωμεν τῦτο πάσχοντα, διορθούμεθα· πάντων δὲ ϗ ἡμῶν ϗ τῶν πλησίον κτῆ κεφαλῆς περιπατουμένων, μηδὲ ἐπαμθάνεσθαι. τί γὰρ αἰσχρότερον, εἰπέ μοι, ἀνδρὸς περὶ γυναῖκα πάριον ἐσόντος; τί δ' ὑβριστοῦ, τί δ' λοιδόρου ϗ βασκάνου καταπλαστότερον γένοιτ' ἄν; πόθεν οὖν ὑ δοκῆ ταῦτα οὕτως εἶναι αἰσχρά, ὡς τὸ γυμνοὺς περιπατῆν; ἀπὸ τῆς ζωηδείας μόνης. τῦτο μὲν γὰρ οὐδεὶς οὐδέποτε ἐχὼν ἔπαθεν· σκῶλον δὲ ἅπασιν αἰεὶ τολμᾶται μὴ ἀδείας. ἐπεὶ εἴ τις εἰς ἀγέλων πλῆθος ἦλθε, πρὸ οἵης οὐδὲν οὐδέποτε τοιῦτον ἐγένετο, εἶδεν ἂν αὐτοῦ ἀκριβῶς ὁ πολιὸς γέλωτα. ϗ τί λέγω πλῆθος ἀγέλων; ἐν γὰρ τοῖς βασιλείοις αὐτοῖς τοῖς πρὸ ἡμῶν, εἴ τις αὐτὴν πορνὸν εἰσαγαγὼν χρῶτο αὐτῇ, ἢ οἴου μίθῃ καταχρήσειν, ἢ ἄλλο τι τοιοῦτον ἀσχημονήσειε, τὴν ἐχάτην δίδωσι δίκην. εἰ δὲ ἐν βασιλείοις οὐκ ἀνεκτὸν τὰ τοιαῦτα τολμᾶν, πολλῷ μᾶλλον, τοῦ πάντων βασιλέως πρόντος, ϗ τὰ γινόμενα θεωμένου ἂν τοιαῦτα τολμῶμεν, τὴν ἐχάτην ὑποστησόμεθα κόλασιν. διὸ παρακαλῶ, πολλὴν ἐν τῷ βίῳ τὴν ἡσυχίαν ἐπιδειξώμεθα, πολλὴν τὴν κατάστασιν. ϗ γὰρ ἔχομεν βασιλέα πάντα ὁρῶντα διηνεκῶς τὰ ἡμέτερα. ἵνα οὖν ἡμᾶς αἰεὶ ἔτο δαψιλῶς φωτίζῃ τὸ φῶς, ἐπιτασώμεθα ταύτην τὴν ἀκτῖνα. οὕτω γὰρ ϗ τῶν ἐνταῦθα ⁊ τῶν μελλόντων ἀπολαύσομεν ἀγαθῶν, χάριτι ⁊ φιλανθρωπίᾳ τῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ ϗ μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ομιλ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ομιλ. ς. 6 ΕΓΕΝΕΤΟ ΑΝΘΡΩΠΟΣ ΑΠΕΣΤΑΛΜΕΝΟΣ παρὰ Θεοῦ· ὄνομα αὐτῷ Ἰωάννης.

Εἰ δὲ Θεὸν λόγου ἀξιωθεὶς τὰ κατεπείγοντα ἐν τοῖς ἀνθρώποις ἡμῖν, ὁδῷ καὶ τάξει τοῖς βαίνων, καὶ ὅτι Ⓦ τὸν λόγου κήρυκα, τὸν ὁμώνυμον αὐτῷ, Ἰωάννῃ ἔρχεται λοιπόν. σὺ δ' ἀκούων ὅτι παρὰ Θεοῦ ἀπεστάλη, μηδὲν λοιπὸν ἀνθρώπινον εἰ) νόμιζε τῶν λεγομένων περὶ ἐκείνου. οὐ γὰρ τὰ αὐτῷ, ἀλλὰ τὰ τοῦ πέμψαντος ἅπαντα φθέγεται. δεῖ δὲ ἄγγελος " τοῖς σημαίνουσι· ἀγγέλου δὲ ἀρετὴ τὸ μηδὲν ἴδιον εἰπεῖν. τὸ δ', ἐγένετο, ἐν τάξει δὲ τὸ εἰς τὸ εἶ) προσὸν δηλωτικόν, ἀλλὰ τὸ ἀποστολῆς ὄντος αὐτῆς. τὸ γὰρ, ἐγένετο ἀπεσταλμένος παρὰ Θεοῦ, ἀντὶ τοῦ, ἀπεστάλη παρὰ Θεοῦ. πῶς οὖν τὸ, ὢν μορφῇ Θεοῦ ὑπάρχων, δοκεῖ τοῖς τὸν πατέρα ἀπαραλλαξίας εἰρῆσθαί φασι, δεῖ τὸ μὴ τοῖς κεφαλὴ τὸ ἄρθρον; ἰδοὺ γὰρ ἐν τάξει δέδεται τὸ ἀρ' ἧς ἐγένετο προσῳδῆς). ἆρ' οὖν τοῖς παρὰ εἰρῆ); τί οὖν ἐρῶμεν ᾧ τοιούτῳ λέγοντι· ὅτι ἰδοὺ ἀποστέλλω τὸν ἄγγελόν μου τοῖς προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου; τὸ γὰρ ἐμοὶ καὶ σοὶ δύο προσώπων ὄντι δηλωτικόν. ἐξῆλθεν εἰς μαρτυρίαν, ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός. τί τοῦτο, ὁ δοῦλος τῷ δεσπότῃ μαρτυρεῖ, ἴσως εἰποις ἂν; ὅταν οὖν μὴ μόνον ὑπὸ τοῦ δούλου μαρτυρούμενον, ἀλλὰ καὶ παρ' ἡμῶν ἴδῃς τοῖς αὐτόν, καὶ μὴ Ἰουδαίων βαπτιζόμενον ὑπ' αὐτοῦ, ἆρ' οὐ μᾶλλον ἐκπλήσῃ καὶ ἀπορήσεις; ἀλλ' οὐ χρὴ ταραχὴν οὐδὲ θορυβῶδες, ἀλλ' ἐκπληκτικὸν τὸν ἄφατον ἀγαθότητα. ἂν δέ τις μείνῃ ἐπὶ ἰλιγγιῶν καὶ θορυβούμενος, ἐρῶ πρὸς αὐτὸν τοῦτο, ὃ πρὸς Ἰωάννου εἶπεν, ἄφες ἄρτι· οὕτω γὰρ πρέπον ἐστὶν ἡμῖν πληρῶσαι πᾶσαν δικαιοσύνην. εἰ δὲ ὅτι πλοῦν ταραχθείη τις, "πάλιν ἐρῶ, ἃ πρὸς τοὺς Ἰουδαίους ἔφησε, καὶ πρὸς αὐτόν· ἵνα ὅτι παρὰ ἀνθρώπου τὸν μαρτυρίαν δέχομαι. εἰ τοίνυν μὴ δεῖται τῆς μαρτυρίας ἡμῶν, τίνος ἕνεκεν ἀπεστάλη παρὰ Θεοῦ ὁ Ἰωάννης; οὐχ ὡς αὐτοῦ δεομένου τῆς μαρτυρίας (τοῦτο γὰρ τῆς ἐσχάτης βλασφημίας ἐστίν) ἀλλὰ " ἵνα τί; αὐτὸς ὁ Ἰωάννης διδάσκει λέγων, ἵνα πάντες πιστεύσωσι δι' αὐτοῦ. ἐν αὐτοῖς δὲ ὁ Χριστὸς εἶπεν, ὅτι παρὰ ἀνθρώπου τὸν μαρτυρίαν δέχομαι, ἵνα μὴ δόξῃ παρὰ τοῖς ἀνοήτοις ἑαυτῷ πιστεύειν, νῦν μὲν λέγων, ἄλλος ἐστὶν ὁ μαρτυρῶν περὶ ἐμοῦ, ἃ οἶδα ὅτι ἀληθής ἐστιν ἡ μαρτυρία αὐτοῦ (Ⓦ γὰρ Ἰωάννου ἐδήλου) νῦν δὲ λέγων, παρὰ ἀνθρώπου τὴν μαρτυρίαν δέχομαι, ἐπήγαγε τὴν λύσιν ταχέως, εἶπεν· ἀλλὰ ταῦτα λέγω ἵνα ὑμᾶς ἵνα σωθῆτε· ὡσανεὶ ἔλεγεν, ὅτι μὴ Θεός εἰμι, ἀλλὰ Θεοῦ γνήσιος υἱὸς ἐν τῆς οὐσίας ἐκείνης τῆς ἀκηράτου καὶ μακαρίας, οὐδενὸς δέομαι τοῦ μαρτυρήσοντος. καὶ γὰρ μηδεὶς ἐθέλῃ τοῦτο ποιῆσαι, οὐδὲν ἐγὼ παρὰ τοῦτο εἰς τὴν φύσιν ἠλαττωμαι τὴν ἐμήν. ὅπου γε τῆς σωτηρίας μοι μέλει τῆς τῶν πολλῶν, τοῦτο χάριν εἰς τοῦτο κατέβην ταπεινότητος, ὡς ἐν ἀνθρώπῳ τὴν μαρτυρίαν ὑπισχνεῖσθαι τὴν ἐμήν. διὰ γὰρ τὸ χαμαίζηλον ἐν ἀνθρώποις τῶν Ἰουδαίων, ὅτως βύλησιν ἀνθρωπίνην ἦλθεν ἡ εἰς αὐτὸν γίνεσθαι πίστις. ὥσπερ οὖν σάρκα περιεβάλλετο, ἵνα μὴ γυμνῇ τῇ θεότητι προσβαλὼν ἀπώλειαν ἀπολέσῃ, οὕτω ἐν κήρυκα ἀνθρώπου ἐξέπεμψεν, ἵνα τῆς συρφετοῦ ἀκούοντες φωνῆς, εὐκολώτερον Ⓐ τότε ἀκούοντες προσέρχωνται. ἐπεὶ ὅπου γε τῆς ἐκείνου οὐδὲν ἐδεῖτο μαρτυρίας, ἦρκει δεῖξαι μόνον ἑαυτόν, ὅστις ἐν τῇ γυμνῇ τῇ οὐσίᾳ, ἐν καταπλήξαι πάντας. ἀλλὰ τοῦτο οὐκ ἐποίησε διὰ ὅπερ ἔφθην εἰπών. πάντας γὰρ ἂν ἠφάνισε μηδενὸς ἀνανεύοντος τὴν ἀπροσίτον ἐκείνην τοῦ φωτὸς προσβολὴν ἐνεγκεῖν. διὰ τοῦτο ἐν σάρκα, καθάπερ ἔφθην εἰπών, ἐνεδύσατο, ἐν ἐνὶ τῶν ἡμετέρων ὁμοδούλων ἐγχειρίζει τὴν μαρτυρίαν, ὅπου πάντα πρὸς τὸ τῶν ἀνθρώπων ἐναποματτόμενον σωτηρίαν, ἐν πρὸς τὴν ἀξίαν

χ. παρεσημάνθη.

χρ. ἀνωνύμως

χ. λέγω ἃ πρὸς τοὺς Ἰουδαίους ἔφησε ἐν πρὸς σὲ ἐχ χ. διότι αὐτὸς ὁ Ἰωάννης ἐπιστάλην εἶπεν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἑαυτῷ μόνον τὴν ἑαυτῷ, ἀλλὰ καὶ πρὸς τὸ κοινὸν δεικνὺς ἑαυτὸν ὠφέλιμον τοῖς ἀκούουσιν ὁρᾶν. ὅθεν δεῦρο καὶ αὐτὸς αὐτοπόμπους ἔλεγε, ταῦτα λέγω ὑμῖν ἵνα σωθῆτε. καὶ ὁ βαπτιστὴς ὁ τὴν αὐτὴν τῷ δεσπότῃ φθεγξάμενος, μὴ τὸ εἶπεν, ἵνα μάρτυρήσῃ περὶ τοῦ φωτὸς, ἐπήγαγεν, ἵνα πάντες πιστεύσωσι δι' αὐτοῦ· μονονουχὶ λέγων, μὴ νομίσῃς ὅτι διὰ τοῦτο μαρτυρήσων ἦλθεν ὁ βαπτιστὴς Ἰωάννης, ἵνα τι τῷ δεσπότῃ προσθῇ εἰς ἀξιοπιστίας λόγον· ἀλλ' ἵνα ὑμεῖς πιστεύσωσι δι' αὐτοῦ. ὅτι γὰρ ταύτην προσμελεῖν τὴν ὑποψίαν ἐσπούδαζε. τοῦτό ἐστιν ὃ εἶπεν, οὐκ ἐκεῖνος ἦν τὸ φῶς, [φησὶν] εἰ μὴ πρὸς τὸ ὑποῖσθαι ταύτην ἰσάμβους ἐσπουδάκει τοῦτο, πρόδηλον ἁπλῶς ὃ λεγόμενον, καὶ ταυτολογία μᾶλλον, ἢ σαφηνεία διδασκαλίας ἦν. εἶπων γὰρ, ὅτι ἀπεσάλη ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτὸς, πάλιν λέγει. οὐκ ἦν ἐκεῖνος ὁ φῶς; οὐχ ἁπλῶς, οὐδὲ μάτην· ἀλλ' ὅπως τὰ πολλὰ παρ' ἡμῖν μείζων ὁ μαρτυρῶν τοῦ μαρτυρουμένου καὶ ἀξιοπιστότερος πολλάκις εἶναι δοκῇ, ἵνα μή τις καὶ ὅτι τοῦ Ἰωάννου τοῦτο ὑποπτεύσῃ, οὐ παρῃμίων εὐθέως τὴν πονηρὰν ταύτην ὑποψίαν ἀναιρῶν καὶ παρέρριζον αὐτὴν διαπάσας, δείκνυσι, τίς μέν ἐστιν ὁ μαρτυρῶν, τίς δὲ ἐκεῖνος ὁ μαρτυρούμενος, καὶ ἴσον ὂν μέσον τοῦ τε μαρτυρουμένου καὶ τῶν μαρτυρησάντων ὄντα. καὶ τοῦτο ποιήσας, καὶ δείξας αὐθις τὸ ἀσύγκριτον ὑπερέχων, ὕστερον μετὰ ἀδείας λοιπὸν καὶ τῷ λειπομένῳ ἐπεξέρχεται λόγῳ· καὶ εἰ μὲν τῶν ἀνθρώπων ἦν τῶν δυναστοτέρων ὑφορμοῖς ζηλοίας, τοῦτο ἂν μέσου μὴ ἀκριβείας ἄρας, ὕστερον ἅπασι * μετ' εὐκολίας λοιπὸν καὶ ἀκωλύτως τῶν τῆς διδασκαλίας ἐφεξῆς εἴπῃσι λέγειν.

ΠΟΙΗΣΟΝ Εὐξώμεθα δὴ λοιπὸν, μὴ τῆς τῶν νοημάτων τούτων ἀποκαλύψεως καὶ τῆς τῶν δογμάτων ὀρθότητος, καὶ βίον ἡμῖν γλυκέσθαι καθαρὸν, καὶ πολιτείαν λαμπρὰν. ὅπερ τούτων ὄφελος δέδει, ἔργων μὴ παρόντων ἡμῖν ἀγαθῶν· καὶ γὰρ ἅπασαι τὴν πίστιν ἔχομεν, καὶ τὰ τῶν γραφῶν κατάμαθοιμεν, τῆς δὲ ἀπὸ τοῦ βίου ἀρετῆς ἁπάσης ἔρημοι καὶ γυμνοὶ, οὐδὲν ὄφελος κωλύον εἰς τὸ τῆς γεέννης ἀπενεχθῆναι πῦρ, καὶ εἰς ἄπειρον κολασθῆναι κόλασιν. ὥσπερ γὰρ καὶ τὰ ἀγαθὰ προσδόκιμα ἀναπέμπει εἰς ζωὴν αἰώνιον, οὕτως καὶ τὰναντία τετολμηκότες εἰς αἰώνιον κόλασιν καὶ ἄφατον ἐκδέξονται. διὸ πᾶσαν ὑπιδειξώμεθα σπουδὴν, ὥστε μὴ τὸ ἡμίμισθον ἡμῖν ἀπὸ τῆς ὀρθῆς πίστεως κέρδος ἀφαιρεῖσθαι τῇ τῶν ἔργων ῥᾳθυμίᾳ, ἀλλὰ καὶ ἐντεῦθεν δοκιμάσαντας, μὴ πρόσοικοι ἴδωμεν τὸν Χριστὸν. ταύτης γὰρ ἴσον οὐδὲν τῆς μακαριότητος. εἴη πως ἀν. γένοιτο δὲ πάντας ἡμᾶς ὑπαντῆσαι τῷ Ἐρημίᾳ, εἰς δόξαν Θεοῦ πάντα πράττειν· ᾧ ἡ δόξα ἅμα τῷ μονογενεῖ υἱῷ, καὶ τῷ ἁγίῳ πνεύματι νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ομιλ. ζ. 9 ΗΝ ΤΟ ΦΩΣ ΤΟ ΑΛΗΘΙΝΟΝ, Ο ΦΩΤΙΖΕΙ πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον.

Διὰ τοῦτο, ὦ πολυπόθητα τέκνα, καταμέρος ὑμᾶς τοῖς ἀπὸ τῶν γραφῶν ἑστιάσθαι νοήμασι, καὶ οὐκ ἀθρόον πάντα ἐκχέομεν, ἵνα ῥᾳδία τε ἀεὶ καταβαινομένων ὑμῖν ἡ φυλακὴ γίνηται. καὶ γὰρ ὅπου τῆς οἰκοδομίας ὁ μὴ μηδέπω τῶν προτέρων λίθων στιβαρῶν ἑτέρους ὑπιθείς, σαθρὸν ἄπαντα καὶ ἀκατάβλητον ὑφαίνει τοῖχον· ὃ δὴ δυναμένων προτέρων παγίδα καὶ χάλικα, καὶ οὕτω τὸ λοιπὸν καταμικρὸν ὑπιθείς, ἀσφαλείας ἅπασαν ἀπαρτίζει τὴν οἰκίαν, οὐκ ὀλιγοχρόνιον ἴνα, οὐδὲ ῥᾳδιάλυτον, ἀλλὰ βεβαίαν κατασκευάζων αὐτήν. τοῦτο καὶ ἡμᾶς μιμούμεθα τοὺς οἰκοδόμους· καὶ γὰρ τὸν αὐτὸν τρόπον ἐκεῖνοι τὰς ὑμετέρας οἰκοδομοῦμεν ψυχάς. καὶ γὰρ δεδίκαμεν μήποτε τῆς προτέρας καταβολῆς νεοπαγεῖς προαρχούσης, ἡ τῶν δευτέρων ὑπιθήκη θεωρηθῇ καὶ τοῖς προτέροις λυμαίνηται, τῆς ζωῆς οὐκ ἀρκούσης ἅπαντα

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πθντα ὁμοῦ καταχεῖν. τί τοίνυν ὅστ' ὃ σήμερον ἡμῖν ἀναγνωσθέν; ἰω̃ ὁ φω̃ς ὁ ἀληθινόν, ὁ φωτίζει πάντα ἀνθρωπον ἐρχόμενον εἰς (Ⓦ) κόσμον. ὅπερ γὰρ αὖθις περὶ τοῦ Ιωάννου διαλεγόμενος ἔλεγεν, ὅτι ἦλθεν ἵνα μάρτυρήσῃ περὶ τοῦ φωτός, ἵνα μή τις αὐτὰ ἀκούων ἀφ' ἑαυτοῦ μάρτυρα ποιῶτε τὸν μάρτυρα ὑπερφυᾶ καὶ τοιαύτην τινὰ ὑπόνοιαν λάβῃ, ἀνῆκεν αὐτὸν ἐπὶ τὸ διάνοιαν, καὶ πρὸς τὸ ἐπέκεινα πάσης ἀρχῆς προέπεμψεν ὑπ' ἀρξιν, τὸ ὕδατος λήγουσαν ὑδὲ ἰσταμένην. καὶ πῶς ἔνι τοῦτο, φησιν, "ὃν ὃν ὄντα ἔχειν; περὶ Θεοῦ διαλεγόμενα, καὶ ὃ πῶς ἐρωτᾷς; καὶ ὑ δέδοικας ὑδὲ φείδεις;" ἀλλ' ἀν μάθοι σε ἕρηται τις, πῶς ἢ ἀμαθὴς ἀπελεύτητον ἔξουσιν αἱ ψυχαὶ τὸ ζωὴ καὶ τὰ σώματα μὴ ταῦτα, καταγελάσῃ τῆς πάνσεως, ὡς ὀκ ἀνθρωπίνης διανοίας ὂν τὰ τοιαῦτα ζητῶν, ἀλλὰ δῶν πιστεύειν μόνον καὶ μὴ περιεργάζεσθαι τὸ εἰρημένον, ἀρκοῦσαν ἔχοντα ἀπόδειξιν τοῦ λεγθέντος, τὴν δύναμιν τοῦ εἰρηκότος· αὐτὸ (Ⓦ) ψυχας καὶ σώματα ἐργαζόμενον, καὶ τῆς κλίσεως ἁπάσης ἀσυγκρίτως ὑπερέχοντα ἀνθρωπον εἰ) φαμεν, τί ὄφελος ἡμᾶς ἀπαιτήσεις; καὶ τίς ἀν ταῦτα καθεστηκέναι εἰ) φαίη ψυχῆς, "ἢ ὑγιαίνοντος λογισμοῦ; ἤκουσας ὅτι ἰω̃ ὁ φω̃ς ὁ ἀληθινόν. τί φιλονεικεῖς εἰκῆ καὶ μάτην ὑπαρχειπσαι ὦ λογισμὴ τὰ ἀπειρον ταύτην ζωὴν; "ὐδὲ γὰρ οἶόντε. τί ζητῶ καὶ ἀζήτητα; τί περιεργάζῃ τὰ ἀκατάληπτα; ἵνα" ἰχνεύεις καὶ ἀνεξερεύνητα; καταμόησον τὴν ἡλιακὴν ἀκτίνων τὴν ῥίζαν αὐτήν. ἀλλ' οὐ δυνήσῃ, καὶ ὅμως ὐκ ἀγανακτῆς ὐδὲ δυσχεραίνεις ὅτι τῇ ἀσθενείᾳ. πῶς οὖν ἐν τοῖς μείζοσι τολμηρὸς ἔσῃ καὶ θρασύς; ὁ δὲ τοῦ βροντὴ υἱὸς ὁ Ιωάννης "ὁ τὸ σάλπιγγα ἔχων τὸ πνευματικὸν, ὃ, φησίν," ἀκούσας τοῦ τὸ πνεύματος ὐδὲν ἐπεζήτησε πλέον· σὺ δὲ ὁ τῆς ἐφήμερος ἀμοιρῶν τὰ ἐκείνης, καὶ ἀπὸ τῶν διαλῶν φθεγξόμενος λογισμῶν, ἐπαρθρώσας τὸ μέγεθος τὰ ἐκείνης γνώσεως φιλονεικεῖς; "ἀρχὴ ὅτου τοιαῦτα ποιῶ ὐδὲ ποιεῖς ὃ μέγεθος τῆς ἐκείνης γνώσεως ἀφικέσθαι δυνήσῃ. τοιαύτη γὰρ ἡ τοῦ ἁγίου πίστις ὁδοδείκτης· δείκνυσι μὲν τοῦ τοῦ Θεοῦ δοθέντων ὅρων ἡμῖν οὐκ πειθομένοις αὐτοῦ ὡς ὅτι πολλῷ μείζοσιν· ὅταν δὲ ταῖς ἐλπίσι ταύταις διαλεάσας, ἐκβάλῃ τῆς τοῦ Θεοῦ χάριτος, τότε λοιπὸν ὑ μόνον ὐδὲν πλέον ποιεῖσθαι (πῶς γὰρ, ἁμάρτολος ὤν;). ἀλλ' ὐδὲ εἰς τὰ ποιήσεα, ἔνθα ἀσφαλῶς δὲ βεβαίως διατελέσομεν, ἀφίσιν ἐπανελθεῖν, ἀλλὰ πάντα χῦ πειράζει πλανωμένους δὲ ὀκ ἔχοντας ὑδαμοῦ ξῆναι. ὕτω καὶ (Ⓦ) ποιήτοπλασον ὐκ τῆς τοῦ παιδείσα ἀπαγωγῆς ἐποίησεν ὐκπεσεῖν. ποιήσοδοχία γὰρ μείζονος γνώσεως καὶ τιμῆς φυσίσας αὐτὸν, δὲ τῶν τότε ἐπαρχόντων αὐτῷ μὴ ἀδείας ἐξέβαλεν. ὑ γὰρ μόνον ἰσόθεος ὑ γέγονε, καθὼς ἐπαιρόμενος αὐτῷ, ἀλλὰ καὶ εἰς τὸν τοῦ θανάτου τυραννίδα "κατέπεσεν, ὑ μόνον ὐδὲν πλέον ἀπὸ τῆς τοῦ ξύλου βρώσεως ποησάμενος, ἀλλὰ καὶ τῆς γνώσεως ἧς εἶχεν, ὑ μικρὸν ἀπολέσας ἐλπίδι πλείονος" γνώσεως. τὸ πεῖ γὰρ αἰσχύνεσθαι, καὶ καταδύεσθαι ὅτι τῇ γυμνότητι ὅτε αὐτῷ ποιήσεμένετο, ποῖ τῆς ἀπάτης αἰῶτέρω ταύτης ὀνείδι τῆς αἰσχύνης· αὐτὸ τε γὰρ τὸ ὁρᾶν ἑαυτὸν γυμνὸν ὄντα, καὶ δεῖσθαι λοιπὸν τῆς ἀπὸ τῶν ἱματίων ποιήσολῆς, δ ἕτερα αὐτῷ πλείονα ἐντεῦθεν ἐφύη πάθη τότε. ὅπερ ἵνα μὴ καὶ ἡμῖς πάθωμεν, πειθώμεθα τῷ Θεῷ, δ μὴ ὠμὼμεν ἐν οἷς αὐτὸς ἡμῖν ποησάταξε, δ μηδὲν περαιτέρω πολυπραγμονῶμεν, ἵνα μὴ καὶ τῶν ἤδη δοθέντων ἡμῖν ἐκπέσωμεν ἀγαθῶν, καθάπερ καὶ ὅτοι πεπόθασι. τῆς γὰρ ἀνάρχου ζωῆς ἀρχὴν ὀπιζητοιῶτες βύρσην, καὶ ἀντὶ ἠδυάντο ἔχειν ἀπώλεσαν, ὅτε* ὃ ζητούμενον βύρσην (ὐδὲ γὰρ ὅστ δυναῖον) καὶ τὸ ὑγιοὺς ποιεῖ μονογλωσσοῦς ἐξέπεσαν πίστεως. ἀλλ' ἡμῖς μὴ μεταίρωμεν ὅσια αἰώνια, ἃ ἐθεντο (Ⓘ) πατέρες ἡμῶν, ἀλλ' ἐίκωμεν πάντα τοῖς τοῦ πνεύματος νόμοις, καὶ ἀκούοντες ὅτι ἰω̃ ὁ φω̃ς ὁ ἀληθινόν, μηδὲν πλέον ὀπιζητῶμεν βύρσην. ὐδὲ γὰρ ἔνι ταύτην ὑπερβῆναι τὸν ῥῆσιν. εἰ μὴ γὰρ ὡς ἀνθρωπος ἐγίνετο, ἀνάγκη μέσον εἶ) ἢ τοῦ γινωῶντος δὲ τοῦ γινωσκόμενου. ὅπερ ὃ ἀῤῥῆτος καὶ ὡς Θεῷ πρέπον ὅστ, τοῦ ποῦ καὶ τοῦ μὴ ἀναχώρει. τῶν χρείων γὰρ ταῦτα ὀνόματα· ὁ δὲ υἱὸς καὶ τῶν αἰώνων πάντων ὅστ ποιητής. οὐκεῖῶ οὐ πατήρ, φησιν, ἀλλ' ἀδελφός.

χ. πῶς τε
χ. ἀνθρωπον ὑπὲρ ἔχειν φύσιν;
χ. ὕτα
χ. πῆς ἡ
χ. ὐκ ἔστ.
χ. ἐρμηνεῖς
* ἐπέξῃσι, ἡ
χ. περίνοια
χ. ὁ ἀπὸ τῆς ἀλπιγγος ἰσχὺν τῆς πνευματικῆς,
χ. μαθὼν
χ. διὰ τοῦτο ὠπὸ ὑδὲ ποιεῖς τὸ μέζον ἀφικέσθαι δυνήσῃ.
χρ. χρόνοι ἀ.
χρ. ἀξίας ἐκβάντας ὑ
χ. ἐξέπεσεν,
χ. τὸ πάθος.

φός. ποία ἀνάγκη, εἰπέ μοι; εἰ μὲ γὰρ ἡ τὸν πατέρα καὶ τὸν υἱὸν ἐξ ἑτέρας ἐλέγομεν εἶναι φύσης, καλῶς ἂν ταῦτα ἔφης τότε. εἰ δὲ ταὐτὸν μὲ φθέγγομεθα τὸ ἀσέβειαν, λέγομεν δὲ τὸν μὲ πατέρα πρὸς τὸ μὴ ἄρχον εἶναι μηδὲ γεγεννηκέναι, τὸν δὲ υἱὸν ἄρχον μὲ εἶναι, γεγεννημένον δὲ ἐκ τοῦ πατρός, ποία ἀνάγκη ἐκ τῆς ἐννοίας ταύτης τὸ ἀσεβὲς λόγον ἐκφυον ἐπεισελθεῖν; οὐδεμία. ἀπαύγασμα γάρ ἐστι· τὸ δὲ ἀπαύγασμα ζωεπινοήσαι τῇ φύσει, ἧς ἐστιν ἀπαύγασμα. διὰ γὰρ τοῦτο καὶ ὁ Παῦλος τοῦτον ἔτως ἐκάλεσεν, ἵνα μηδὲν μέσον ἐννοήσῃς πατρὸς καὶ υἱοῦ. τοῦτο μὲ οὖν τούτου δηλωτικόν· τὸ δὲ ἐφεξῆς τοῦ ἐννοήσεως τὸ ὑφορμᾶσθαι τοῖς ἀνοήτοις ἀποπίπτουσι διορθούσθαι. μὴ γὰρ, ὅτι ἀπαύγασμά, φησιν, ἦκουσας, τῆς ἰδίας αὐτὸν ἀπεστερῆσθαι νομίσῃς ἐννοήσεως. ἀσεβὲς γὰρ τοῦτο, ἐκ τῆς τῶν Σαβελλιανῶν καὶ τῶν ἀπὸ Μαρκέλλου μανίας. ἡμεῖς δὲ οὐχ οὕτω φαμέν, ἀλλὰ καὶ σὺν ἰδίᾳ αὐτὸν εἶναι ἐννοήσαμεν. διὰ τοῦτο εἰπὼν αὐτὸν ἀπαύγασμα, ἐπήγαγεν, ὅλη καὶ χαρακτὴρ ἐστὶ τῆς ἐννοήσεως αὐτοῦ, ἵνα τὸν ἰδίαν ἐννοήσαν δηλώσῃ, ἐκ τῆς αὐτῆς ὄντα αὐτὸν οὐσίας, ἧς ἐστὶ χαρακτήρ. οὐ γὰρ ἀρκεῖ μιᾷ λέξει, καθάπερ ἔφθην εἰπών, τὰ περὶ Θεοῦ παραδοθῆναι δόγματα τοῖς ἀνθρώποις· ἀλλὰ ἀναπηδῶντες, καὶ πολλὰ συμφορήσαντες, ἐξ ἑκάστου τὸ πρέπον ὑπολεξώμεθα. ὕτω γὰρ δυνησόμεθα τῆς ἀξίας ἐφικέσθαι δοξολογίας· ἀξίας δὲ λέγω, τὸν μὲν ἡμετέραν δύνασθαι. εἰ γάρ τις περὶ αὐτὸν τὸν ὄντως ἀξίαν εἰπεῖν δύνασθαι νομίζοι, καὶ φιλονεικεῖν, λέγων ὕτως εἰδέναι Θεόν, ὡς αὐτὸς ἑαυτὸν, οὗτος μάλιστα ἐστὶν ὁ Θεὸν ἀγνοῶν.

ΗΘΙΚΟΝ Ταῦτ' οὖν εἰδότες ὠφελώμεθα κατέχοντες μὲ ἀσφαλείας ἃ παρέδοσαν ἡμῖν οἱ ἀπ' ἀρχῆς αὐτόπται καὶ ὑπηρέται γενόμενοι τοῦ λόγου, καὶ μηδὲν περαιτέρω περιεργαζώμεθα. δύο γὰρ τοῖς ταύτην νοσοῦσι τὴν νόσον περιέσται τὰ δεινά· τό τε εἰκῇ παλαιπωρεῖν ζητοῦντας ἃ παρ' βύρεν ἐστὶ δυνατόν, τό τε προξενεῖν τοῖς Θεὸν οὐ περὶ αὐτοῦ τεθεικόσι ὅροις ἀναπτέπειν ἐπιχειροῦντας. ὅσιον δὲ τοῦτο κανὼν τὴν ὀργὴν, οὐδὲν δεῖ περὶ ἡμῶν μαθεῖν πάντας εἰδότας ὑμᾶς. διὸ τῆς ἀπονοίας αὐτῶν ἀφέλωμεν, τρέψωμεν αὐτοῦ τοὺς λόγους, ἵνα διωκεκῶς ἡμᾶς τειχίζῃ. ὅτι ἵνα γὰρ ὑπολέψω, φησὶν, ἀλλ' ἢ ὅτι Θεὸν [πρᾶον καὶ] ταπεινὸν καὶ ἡσύχιον καὶ τρέμοντα μου τοὺς λόγους; ἀφέντες τοίνυν τὴν ὀλεθρίαν ταύτην πολυπραγμοσύνην, ζωτρίψωμεν τὰς καρδίας, πενθήσωμεν τὰ ἡμαρτημένα ἡμῖν καθὼς παρεστάλκεν ὁ Χριστὸς, κατανυγῶμεν ὅτι τοῖς πλημμεληθεῖσιν ἡμῖν, ἀναλογισώμεθα μετ' ἀκριβείας τὰ κατ' Θεὸν ἔρημα πρὸς ἡμῶν ἅπαντα τολμηθέντα χρόνον, ἀπουδάσωμεν αὐτὰ ἀποτείσασθαι πάντα ταχέως. πολλὰς γὰρ εἰς τοῦτο ὁ Θεὸς ἀνέῳξεν ἡμῖν ὁδούς. λέγε γὰρ σύ* παρῆτος τὰς ἁμαρτίας σου ἵνα δικαιωθῇς· καὶ πάλιν, Τὰς ἀνομίας μου ἐξήλειψά σοι, καὶ σύ" ἄφες τὸν ἀσέβειαν τῆς καρδίας μου. οὐδὲ γὰρ μικρὸν ἡμῖν ζωτέλος πρὸς τὸ μεῖζον τῶν ἁμαρτημάτων τὸ μέγεθος ἡ ζωοχὴ αὐτῶν κατηγορεῖα καὶ μνήμη. ἔστι δὲ ἑτέρα ταύτης ἐνεργητέρα ὁδὸς, τὸ μηδενὶ τῶν εἰς ὑμᾶς ἡμαρτηκότων μνησικακῆν, τὸ πᾶσι τοῖς εἰς ἡμᾶς πλημμεληθεῖσι συγχωρῆν τὰ πλημμελήματα. βούλει καὶ τρίτον μαθεῖν; ἄκουσον τοῦ Δανιὴλ λέγοντος· Διὸ τὰς ἁμαρτίας σου ἐν ἐλεημοσύναις λύτρωσαι καὶ τὰς ἀνομίας σου ἐν οἰκτιρμοῖς πενήτων. ἔστι δὲ καὶ ἑτέρα μετὰ ταύτης, ἡ τῶν εὐχῶν ζωνέχεια, καὶ τὸ προσεδρεύειν* μετὰ καρτερείας ταῖς πρὸς Θεὸν ἐντεύξεσι. φέρει καὶ τρίτον ἡμῖν ὁ μακρὸν καὶ λύσιν τῶν ἡμαρτημένων καὶ νηστεία ὁμοίως, ὅταν μετὰ τῆς εἰς ἑτέρους φιλανθρωπίας γίνηται, καὶ σβέννυσι δὲ σφοδρὸν τῆς ὀργῆς τὸ Θεοῦ. πῦρ γὰρ φλογιζόμενον σβέσει ὕδωρ, καὶ ἐλεημοσύναις ἐξιλασθήσεται ἁμαρτία. ταύτας τοίνυν πάσας ὁδεύωμεν τὰς ὁδούς. διὰ γὰρ ἐν τούτοις ὢμεν τοῖς πόνοις, διὰ εἰς αὐτὰ τὸν σχολὸν διαλύσκωμεν, οὐ μόνον τὰ προσκόπτοντα" ἀπονιψόμεθα πλημμελήματα, ἀλλὰ καὶ εἰς τὸ μέλλον τὰ μέγιστα κερδανοῦμεν. διὰ γὰρ τοῦτο καὶ ὁ Δεσπότης τῷ ἐμβόλῳ σχολὸν προσβάλλειν ἡμῖν, ὅτι εἰς ῥᾳθυμίαν βίον,

*φησὶ γρ. ἀφῆκεν

γρ. ἀπονιπτόμεθα

χ. πῶς κ

βίου, ὅτε εἰς τὴν ὀλεθρίαν ἀφιερχίαν. ἢ γὰρ ἢ" τούτοις μὴ τῶν ἄλλων καὶ ἐντεῦθεν ζωὴ αἰσχύνης ζητήσεις, ἢ ζωὴ λοιδορίας ζωὴ ὑπερβολαῖς ἐπαγγ, ὁκ τὸ φοβούμενος ὁρᾶν, καὶ ἀργυρώνας, ἢ μισθωσίαν τῆς τ῀ Ⓦ βίον ἀρετῆς ποιούμενοι. ἀλλ' ἡμεῖς αὐτῷ ταύτην τὴν πρεσβυτιν ἀποφεύξωμεθα, χρηματίσωμεθα, νήψωμεν, ἵνα ἢ ἐν τῷ βραχεῖ τούτῳ χρόνῳ καμόντες ὀλίγα, τῶν ἀθανάτων ἐν τοῖς ἀπείροις αἰῶσι τύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ομιλ. η ΗΝ ΤΟ ΦΩΣ ΤΟ ΑΛΗΘΙΝΟΝ, Ο ΦΩΤΙΖΕΙ ΠΑΝΤΑ ΑΝΘΡΩΠΟΝ ΕΡΧΟΜΕΝΟΝ ΕΙΣ Ⓦ ΚΟΣΜΟΝ.

Ο ΥΔΕΝ κωλύει καὶ τὴμερον τῶν αὐτῶν ἅπασθαι ῥημάτων, ὅθεν πρώην ὑπὸ τοῦ τοῦ δογμάτων ἐξηγήσεως ἐκωλύθημεν ἅπασι τοῖς ἀναγνωσθεῖσιν ἐπεξελθεῖν. ποῦ τοίνυν εἰσὶν Ⓐ μὴ λέγοντες αὐτὸν ἀληθινὸν Θεόν; ἐνταῦθα μὲν γὰρ φῶς ἀληθινὸν εἴρηται, ἑτέρωθι δὲ ἀλήθεια καὶ ἀλήθεια καὶ ζωή. ἀλλ' ἐκείνῳ μὲν τῷ λόγῳ, ὅταν ἐκ μέρους γινώμεθα, ὅταν φέσεως ἐπεξελθυσώμεθα· νῦν δὲ τὸ παρὸν ἀναγκαῖον πέως ἐκβῆναι πρὸς τὴν ὑμετέραν ἀγάπην εἰπεῖν. Εἰ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς Ⓦ κόσμον, πῶς ἀφώτιστοι μεμενήκασι τοσοῦτοι; οὐ γὰρ δὴ πάντες ἐπέγνωσαν τὸν Χριστοῦ τὸ σέβας. πῶς οὖν φωτίζει πάντα ἄνθρωπον; τόγε εἰς αὐτὸν ἦκον. Εἰ δέ τινες ἑκόντες τοῦ τῆς μοχθηρίας ὀφθαλμοὺς μύσαντες, μὴ βούλονται τῆς φωτὸς τούτου ἀκτῖνας, ἢ τῆς τὴν τοῦ φωτὸς φύσιν ἡ σκότωσις ἐκείνοις, ἀλλὰ τῆς τὴν κακουργίαν τῶν ἑκόντι ἀποστερουμένων ἑαυτοὺς τῆς δωρεᾶς. ἡμῖν γὰρ χαρὶς εἰς πάντας ἐκκέχυται, ἥκ Ἰουδαῖον. οὐχ Ἕλληνα, οὐ βάρβαρον, οὐ Σκύθην, οὐκ ἐλεύθερον, οὐ δοῦλον, οὐκ ἄνδρα, οὐ γυναῖκα, οὐ πρεσβύτην, οὐ νέον ἀποστρεφόμενον, πάντας ὁμοίως πεποιημένη, καὶ μὴ τῆς ἴσης καλούσα πηγῆς. Ⓐ ὅ οὐκ ἐθέλοντες ἀπολαῦσαι τῆς δωρεᾶς ταύτης, ἑαυτοῖς δίκαιοι τούτου αἴτιον λογίσασθαι τὴν πήρωσιν. ὅταν γὰρ τῆς εἰσόδου πᾶσιν ἀνεῳγμένης, καὶ μηδενὸς τοῦ κωλύοντος ὄντος, ἐθελοκακοῦντές τινες ἔξω μένωσι, τοῦ σφέτερα ἕτερον, ἀλλ' ἢ τὴν οἰκείαν πονηρίαν ἀπόλλυσθαι μόνον.

10 Ἐν τῷ κόσμῳ ἦν, Καὶ ὁ κόσμος δι' αὐτοῦ ἐγένετο, Καὶ ὁ κόσμος οὐκ ἔγνω.

Ἀλλ' οὐχ ὡς τοῦ κόσμου συνεχόμενος· ἀπαγορεύει γὰρ τοῦτο ἐπίσταται· Διὰ τοῦτο σε πάλιν ἐπομένων ὅτι τὴν τοῦ αἰῶνιον ὕπαρξιν τοῦ μονογενοῦς. ὁ γὰρ ἀκούσας, ὅτι ἔργον αὐτοῦ τόδε τὸ πᾶν, καὶ σφόδρα ἀναίσθητος ἦ, καὶ ἐχθρός, καὶ πολέμιος τῆς δόξης τοῦ Θεοῦ, πάντως ἢ ἐκὼν ἢ ἄκων ἀναγκασθήσεται τοῦ τῶν ἔργων ὁμολογῆσαι Ⓦ ποιητήν. ὅθεν μοι ἢ θαυμάζειν ἔπεισιν ἀεὶ τὴν Παύλου τοῦ Σαμοσατέως μανίαν, πῶς τοῦ τὴν ὄντως φανερὰν ἀλήθειαν ἀντιβλέψαι ἐτόλμησε, καὶ ἐκὼν ἑαυτὸν κατεχρήμισεν. οὐδὲ γὰρ ἀγνοῶν, ἀλλὰ καὶ σφόδρα εἰδὼς" ἡμάρτημε τοῦτ' παθὼν τοῖς Ἰουδαίοις. καθάπερ γὰρ ἐκεῖνοι τοὺς ἀνθρώπους ὁρῶντες, τὴν τῆς πίστεως τοῦ ὕδατος ὑγιές, εἰδότες μὲν ὅτι αὐτός ἐστιν ὁ μονογενὴς υἱὸς τοῦ Θεοῦ, διὰ τοῦτ' ἀρχοντας οὐχ ὁμολογοῦντες, ἵνα μὴ ἀποσυνάγωγοι γένωνται· οὕτω καὶ τοῦτον γυναικὶ συνοικοῦντα, τὴν σωτηρίαν φασὶν ἀποδοθῆναι τὴν ἑαυτοῦ. δεινὸν γάρ, ὄντως δεινὸν τῆς κενοδοξίας ἡ τυραννὶς, καὶ σοφῶν ὀφθαλμοὺς ἐκλυφλοῦν ἱκανόν, ὅταν μὴ νήφωσιν. Εἰ γὰρ ἡ δοξοκοπία τοῦτο ἰσχύει, πολλῷ μᾶλλον ἡ ταύτης βιαιοτέρα πάθος. διὰ τοῦτο καὶ Ἰουδαίοις ἔλεγεν ὁ Χριστός, Πῶς δύνασθε πιστεύειν, δόξαν παρὰ ἀνθρώπων λαμβάνοντες, καὶ Ιωαν. ε. μδ'. τὴν δόξαν τὴν παρὰ τοῦ μόνου Θεοῦ οὐ ζητοῦντες;

Καὶ

Καὶ ὁ κόσμος αὐτὸν οὐκ ἔγνω [Φησίν]. ὀνομάζει κόσμον δὲ πολλάκις φησὶ τὸ διεφθαρμένον καὶ τοῖς γηΐνοις πεπαγωτικὸς πεφαγμασι, τὸ ψυχρὸν καὶ βαρυχώδη καὶ αὐόητον λαόν. ὡς οἵγε τοῦ Θεοῦ φίλοι καὶ θαυμασοί, πάντες αὐτὸν ἐπέγνωσαν δι' τῆς ὑπάρχου παρουσίας. καὶ πρὸς μὲν τὸν πατριάρχου καὶ αὐτὸς ὀνομασί φησιν ὁ Χριστός, Ὅτι Ἀβραὰμ ὁ πατὴρ ὑμῶν ἠγαλλιάσατο ἵνα ἴδῃ τὴν ἡμέραν τὴν ἐμὴν, καὶ εἶδε καὶ ἐχάρη. καὶ πρὸς τὸν Δαβὶδ ὁ Ἰουδαίους ἐλέγχων, ἔλεγε· Πῶς οὖν Δαβὶδ ἐν πνεύματι Κύριον αὐτὸν καλεῖ, λέγων· Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου; καὶ πολλαχοῦ πρὸς ἐκείνους ἰσάμενος, Μωϋσέως μέμνηται· πρὸς δὲ τοὺς λοιποὺς προφήτας ὁ ἀπόστολος. πάντας γὰρ τοὺς προφήτας ἀπὸ Σαμουὴλ ἐγνωκέναι φησὶν ὁ Πέτρος αὐτὸν, καὶ τὴν παρουσίαν αὐτοῦ πρόρρησιν διαφωνεῖν, ὅτι λέγων· καὶ πάντες οἱ προφῆται ἀπὸ Σαμουὴλ καὶ τῆς καθεξῆς ὅσοι ἐλάλησαν, καὶ κατήγγειλαν τὰς ἡμέρας ταύτας. τῷ δὲ Ἰακὼβ δὲ τῷ πατρὶ ὦφθη τοῦτο, ὥσπερ οὖν καὶ τῷ πάππῳ, καὶ ἐφάνη, καὶ διελέχθη, καὶ πολλὰ καὶ μεγάλα ἐπαγγέλλετο δώσειν ἀγαθά, ἅπερ οὖν καὶ εἰς ἔργον ἐξεβίωσε. πῶς οὖν, φησιν, αὐτὸς ἔλεγε· Πολλοὶ προφῆται ἐπεθύμησαν ἰδεῖν ἃ βλέπετε, καὶ οὐκ εἶδον, καὶ ἀκοῦσαι ἃ ἀκούετε, καὶ οὐκ ἤκουσαν; ἆρ' οὖν οὐ μετέχουσι τῆς γνώσεως τῆς εἰς αὐτόν; πάνυ μὲν οὖν. διὰ τοῦτο καὶ ἀπὸ τῆς ῥήσεως ταύτης, ἀφ' ἧς νομίζουσί τινες αὐτὸν ἀπεστερῆσθαι, πειρασόμεθα ποιῆσαι φανερόν. πολλοὶ γάρ, φησιν, ἐπεθύμησαν ἰδεῖν ἃ βλέπετε. ὥστε ἤδεσαν αὐτὸν ἥξοντα· οὐκ ἦν ἀγνοοῦντα, καὶ οἰκονομήσοντα, ἅπερ καὶ ᾠκονόμησεν. οὐ γὰρ ἄν, εἰ μὴ ἤδεσαν, ἐπεθύμησαν. ὁ δὲ μηδεμίαν ἔννοιαν ἔχει, τούτων λαβεῖν ἐπιθυμίαν διωμόσεται. ὥστε ἤδεσαν ἐγὼ τὸν τοῦ Θεοῦ, καὶ ὅτι ἥξει εἰς ἀνθρώπους. τίνα οὖν ἐστιν ἅπερ οὐκ ἤδεσαν; τίνα ἅπερ οὐκ ἤκουσαν; ταῦτα, ἃ νῦν ὑμεῖς βλέπετε καὶ ἀκούετε." Εἰ δὲ καὶ φωνῆς ἤκουσαν καὶ εἶδον αὐτὸν σαφῶς, ἀλλ' οὐκ ἐν σαρκί, οὐδὲ οὕτω τοῖς ἀνθρώποις ζωοδωρεφόλυμον, οὐδὲ μετὰ τοσαύτης αὐδῆς ὁμιλοῦντα τῆς ἀδείας. τοῦτο γοῦν καὶ αὐτὸς δηλοῖ οὐχ ἁπλῶς εἰπὼν, ἐπεθύμησαν ἰδεῖν ἐμέ· ἀλλά τί; ἃ ὑμεῖς βλέπετε· οὐδὲ ἀκούσαι ἐμοῦ, ἀλλά τί; ἃ ὑμεῖς ἀκούετε. ὥστε εἰ καὶ μὴ τὴν ἔνσαρκον παρουσίαν αὐτοῦ εἶδασαν, ἀλλ' ὅμως ἤδεσαν αὐτὴν ἐσομένην, ἧς δὲ ἐπεθύμουν, καὶ ὀπίσω ἔρχεσθαι εἰς αὐτὸν, καὶ μὴ ἑωρακότες αὐτὸν ἐν σαρκί. ὅταν οὖν ἡμῖν ἐγκαλῶσιν Ἕλληνες ταῦτα λέγοντες· τί ὁ Θεὸς ἐπορεύθη ἐποίει χρόνον ὁ Χριστὸς, τὸ τῶν ἀνθρώπων οὐκ ὀπισχνούμενος γένος, καὶ τί δήποτε ἐν ἑκάτῳ τῆς ἡμετέρας ἦλθεν ἀντιλαμβόμενος σωτηρίας, τοσοῦτον ἀμελήσας χρόνον ἡμῶν; ἐροῦμεν, ὅτι καὶ περὶ τούτου ἐν τῷ κόσμῳ ἦν, καὶ προενόει τῶν ἔργων αὐτοῦ, καὶ γνώριμος τοῖς ἀξίοις ἦν. Εἰ δὲ δεῖ τὸ μὴ πρόρρησις αὐτὸν τότε ἐπεγνωκέναι, ἀλλὰ διὰ τῶν γραμμάτων αὐτὸν καὶ σαρκὸς ἐκείνου" μόνον ἐγνωκέναι, φαίητε μὴ γνωρίζεσθαι, τοῦτο οὐδὲ νῦν ὁμολογήσετε προσκυνεῖσθαι αὐτὸν ὑπὸ τῶν ἀνθρώπων, ὅτι μηδὲ νῦν ἅπαντες αὐτὸν ἴσασιν. ἀλλ' ὥσπερ ὅτι τοῦ προφήτου, οὐδεὶς δὲ δεῖ διὰ τοῦτο ἀγνοοῦντας αὐτὸν, τοῖς εἰδόσι συγχωρήσειεν· οὕτως οὐδὲ ὑπὲρ τῶν ἔμπροσθεν χρόνων ἀμφισβητεῖν χρή, ὅτι πολλοῖς, μᾶλλον δὲ πᾶσιν ἔγνωστο τοῖς γηναίοις καὶ θαυμασίοις δράσιν ἐκείνοις. Εἰ δὲ λέγοι τις, καὶ τίνος ἕνεκεν μὴ πάντες ἐπορεύοντο αὐτῷ, μηδὲ πάντες αὐτὸν ἐθεράπευον τότε, ἀλλὰ μόνοι οἱ δίκαιοι; ἐρήσομαι κἀγὼ, τίνος ἕνεκεν μηδὲ νῦν ἅπαντες αὐτὸν ἴσασι; καὶ τί λέγω περὶ τοῦ Χριστοῦ; ὁ γὰρ πατὴρ ὁ τότε μὴ πάντες μήτε τότε, μήτε νῦν ἔγνωσαν, ἀλλ' οἱ μὲν ἀδρομάτως ἅπαντα φέρειν λέγουσιν, οἱ δὲ δαιμονίοις τὸν τῶν πάντων ὑπηρέτοις προσθήσουσι; εἰσὶ δὲ οἳ καὶ ἕτερον παρὰ τοῦτον ἀναπλάττουσι Θεὸν, τινὲς δὲ αὐτῷ καὶ τῷ ἀντικειμένῳ εἰς βλασφημοῦσιν" αὐτὸ δυνάμενον, καὶ τοὺς νόμους αὐτοῦ πονηροῦ τινος δαίμονος εἰς νομίζουσι. τί οὖν πρὸς τοῦτο; ὅτι Θεὸν αὐτὸν φήσομεν εἰς, ἐπειδὴ τινὲς εἰσιν οἱ τοῦτο λέγοντες, καὶ πονηρὸν αὐτὸν ὁμολογήσομεν εἰς; (καὶ γὰρ καὶ τοῦτό εἰσιν οἱ βλασφημοῦντες αὐτὸν) ἀπαγε τῆς τοιαύτης ἀφροσύνης καὶ τῆς ἐσχάτης ἀπονοίας.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πληξίας. Εἰ γὰρ μέλλομεν ἀπὸ τῆς τῶν μαινομένων κρίσεως χαρακτηρίζειν τὰ δόγματα, οὐδὲν κωλύει μαίνεσθαι καὶ αὐτοὺς μανίαν χαλεπωτάτην. Εἶτα ἥλιον μὲν οὐδεὶς λυμαντικὸν ὀφθαλμῶν εἶναι φήσει διὰ τοῦτο νοσοποιοῦσας τὰς ὄψεις, ἀλλὰ φωτιστικὸν, ἀπὸ τῶν ὑγιαινόντων λαμβάνων τὰς κρίσεις· καὶ ὃ μᾶλλον ἂν οὐδεὶς πικρὸν προσείποι, ὅπερ τοῦτο τῇ αἰσθήσει τῶν ἀῤῥώστων δοκεῖ· ὁ δὲ Θεὸν ἀπὸ τῆς τῶν ἀσθενούντων ὑποπτήξεως ἢ μὴ εἶναι, ἢ πονηρὸν [μὴ] εἶναι, ἢ ποτὲ μὲν προνοᾶν, ποτὲ δὲ μηδ' ὅλως τοῦτο ποιᾶν, ψηφιοῦνταί τινες; καὶ τίς αὖ τοιοῦτος ὑγιαίνειν φήσειεν, ἀλλ' οὐκ ἀξεσηκέναι καὶ παιδαγωγεῖν καὶ μαίνεσθαι τὸν ἐχάτιον μανίᾳ; ὁ κόσμος αὐτὸν οὐκ ἔγνω, φησίν· ἀλλ' ὧν ὁ κόσμος οὐκ ἦν ἄξιος, ὅτοι αὐτὸν ἔγνωσαν. Εἶπὼν δὲ καὶ τοῦτο μὴ γνόντας αὐτὸν, ἐνέβαλε τὸν αἰτίαν τῆς ἀγνοίας ἐνθηκεν. οὐ γὰρ ἁπλῶς εἶπεν, ὅτι οὐδεὶς αὐτὸν ἔγνω, ἀλλ' ὅτι ὁ κόσμος αὐτὸν οὐκ ἔγνω, τουτέστιν, ᾧ τῷ κόσμῳ μόνῳ προσηλωμένοι, καὶ τὰ τοῦ κόσμου φρονοῦντες ἀνθρωποι. οὕτω γὰρ εἴωθε καλῶς αὐδεῖν ὁ Χριστός· ὡς ὅταν λέγῃ· πάτερ ἅγιε, καὶ ὁ κόσμος σε οὐκ ἔγνω. οὐκ ἄρα αὐτὸν μόνον, ἀλλὰ καὶ τὸν πατέρα αὐτοῦ ὁ κόσμος ἠγνόησε, καθάπερ ἐλέγομεν. οὐδὲν γὰρ ὕπουλοι διάνοιαν, ὡς ὃ προσετικέναι τοῖς προοδοι.

Ταῦτ' οὖν εἰδότες, ἀποχήσατε ἑαυτοὺς τοῦ κόσμου, καὶ τῶν ἀρχικῶν ἀπορῥήξατε παραμυθίας, καθόσον οἷόν τε. οὐδὲ γὰρ ἐν τοῖς τυχοῦσιν ὑμῖν ἀπὸ τούτων ἡ ζημία γέγονε, ἀλλ' ἐν τῷ κεφαλαίῳ τῶν ἀγαθῶν. οὐ γάρ ἐστιν ἀνθρώπου τῶν κτισμάτων πρόσταγμα βίον ἀντεγκλήμονον παρασχεῖν σοφοῦ, διωκομένου ἕνεκα τῆς εἰς τοὺς οὐρανοὺς γνησίας, ἀλλὰ ἀνάγκη καὶ τοῦτο ἑαυτοῦ δακόπα ἐκείνων ἐκπεσεῖν. Οὐ δύνασθε γάρ, φησι, Θεῷ δουλεύειν καὶ μαμμωνᾷ· ἀνάγκη γάρ ἑνὸς ἔχεσθαι, καὶ τοῦ ἑτέρου μισεῖν. καὶ τοῦτο καὶ αὐτὴ τῶν πραγμάτων ἡ πεῖρα βοᾷ. ᾧ γοῦν τῆς τῶν χρημάτων ἐπιθυμίας καταγελάσαντες, ὅτοι μάλιστά ἐσμεν ᾧ τοῦ Θεοῦ ἀγαπῶντες ὡς χρή, ὥσπερ οὖν ᾧ τῷ ἀρχῇ, ἐκείνῳ θαυμάζοντες, ὅτοι μάλιστα πάντων ἐσμὲν ᾧ ῥᾳθυμοτέραν τὴν πρὸς αὐτὸν ἀγάπην ἔχοντες. ψυχὴ γὰρ καθάπαξ ὑπὸ φιλοχρηματίας ἁλοῦσα, οὐ ῥᾳδίως οὐδὲ εὐκόλως ἀναπτήσεται καὶ παρᾶξαι καὶ εἰπεῖν τι τῶν προσηκόντων τοῦ Θεοῦ, ἅτε δὴ ἑτέρᾳ γνωμῇ δεσποτῇ δούλη, καὶ πάντα ἀπενθυτίας ὑπαπτήσσοντος τῷ Θεῷ. ἀνθυπάλατε ποίνιμοι ποτὲ καὶ διεγέρθητε, καὶ ἐννοήσαντες ὅτινος ἐσμὲν οἰκέται, τῷ τούτῳ βασιλείῳ ἀγαπήσωμεν μόνῳ, κλαύσωμεν, θρηνήσωμεν ὑπὲρ τῶν ἐμπεσόντων χρόνων ὧν ἐδουλώσαντο τῷ μαμμωνᾷ, ῥίψωμεν αὐτοῦ καθάπαξ ᾧ ζυγὸν ᾧ ἀφόρητον καὶ ᾧ βαρὺ, καὶ μόνῳ φέροντες ᾧ τοῦ Χριστοῦ τὸ κοῦφον ᾧ ῥᾴστον· οὐδὲν γὰρ ὑπαπτήει τοιοῦτον ἡμῖν, οἷς ὁ μαμμωνᾶς. οὗτος μὲν γὰρ ἐχθρὸς κελεύει πᾶσι γενέσθαι· ὁ δὲ Κύριος τοὐναντίον ἀπόνως ἀπαλλάξεσθαι καὶ φίλον. ἐκεῖνος μὲν πολλῷ καὶ τῇ πλινθείᾳ προσηλώσας (τοῦτο γάρ ἐστιν ὁ χρυσὸς) οὐδὲ τὰς νύκτας ἀφίησιν ἀναπνεῦσαι μικρόν· οὗτος δὲ τῆς μὲν προσηλῆς ταύτης καὶ ἀνοήτου φερνίδος ἀφίησι, κελεύει δὲ θησαυρεῖν ἐν τοῖς οὐρανοῖς, οὐκ ἐκ τῆς εἰς ἑτέρους ἀδικίας, ἀλλ' ἐκ τῆς οἰκείας δικαιοσύνης. ἐκεῖνος μὲν οὖν πολλοὺς ἱδρῶτας καὶ τὰς ταλαιπωρίας ὅτε δύναται πρόφασιν κολαζομένοις ἡμῖν ἐκεῖ καὶ κακῶς πάσχουσι δίκην οὖν αὐτοῦ νόμος, καὶ ὑπτιαίνει τὸν φλόγα· οὗτος δὲ, κἂν ποτήριον ἡμῖν ὑπάσχῃ δοῦναι ψυχροῦ, οὐδὲ τοῦτο μισθὸν καὶ τὴν ἀμοιβὴν ἀφίσιν ἡμᾶς ἀπολέσαι ποτέ, ἀλλὰ μὴ πολλῆς δυνάσθωσι τῆς δαψιλείας. πῶς οὖν οὐκ ἐχάτης δυοῖν ὄντων προσώπων διαστολῆς καὶ τοσούτων γεμούσης ἀγαθῶν ἀμελοῦντας, ἀχαίρω καὶ ἀγνώμονι δουλεύειν τυραννῳ, καὶ ὑδὲν ὅτε ἐν τοῦτῳ ὅτε ἐκεῖ δυναμένῳ τοὺς πειθομένους αὐτῷ προσελθόντας ὠφελῆσαι καὶ βοηθῆσαι; καὶ ὃ ἴδιον μόνον ἐστὶ τὸ δεινὸν, καὶ αὕτη ἡ ζημία μόνον, ὅτι οὐκ ἀμύνει κολαζομένοις, ἀλλὰ ὅτι πρὸς τούτῳ καὶ μυρίοις προσβάλλει κακοῖς, ὅπερ ἔφην εἶναι, τοὺς πειθομένους αὐτῷ. τοὺς γὰρ πλείονας τῶν ἐκεῖ κολαζομένων ἀπὸ ταύτης ἴδοι τις ἂν κολαζομένους τῆς αἰτίας, ὅτι χρήμασιν ἐδουλεύθη, καὶ τὸ χρυσίον ἠγάπησε, καὶ τοῖς δεομένοις οὐκ ἐπήρκεσε. διὸ ἵνα μὴ

ΗΘΙΚΟΝ

Ματθ. ς. κδ.

κ. ἐμπλυτίσῃ

κ. ἀπαλλάττει,

κ. ψυχροῦ,

καὶ ἡμεῖς πάθωμεν, σκορπίσωμεν, δῶμεν τοῖς πένησιν, ἀπαλλάξωμεν τὴν ψυχὴν καὶ τῆς ἐν-
ταῦθα φροντίδος τῆς βλαβερᾶς, καὶ τῆς ἐκεῖ διὰ ταῦτα κειμένης τιμωρίας ἡμῖν. ἀπο-
θώμεθα δικαιοσύνην ἐν τοῖς οὐρανοῖς, ἀντὶ χρημάτων τῶν ἐπὶ γῆς συλλέξωμεν θησαυροὺς ἀ-
ναλώτους, θησαυροὺς δυναμένους συναποδημῆσαι πρὸς τὸν οὐρανὸν ἡμῖν, δυναμένους ἡ-
μῖν κινδυνεύουσι παραστῆναι, καὶ ποιῆσαι τὸν κριτὴν ἵλεων τότε, ὃν γένοιτο πάντας ἡμᾶς εὐ-
μενῆ ἔχειν νῦν καὶ κατ' ἐκείνην τὴν ἡμέραν "ὄντας, ἀπολαῦσαι μετὰ πολλῆς παῤῥησίας τῶν ἡ- γ. ἔχοντας
τοιμασμένων ἀγαθῶν ἐν τοῖς οὐρανοῖς, τοῖς ὡς χρὴ ἀγαπῶσιν αὐτόν· ὧν γένοιτο πάντας ἡμᾶς
ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ
δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁμιλ. θ. 11 ΕΙΣ ΤΑ ΙΔΙΑ ΗΛΘΕ, ΚΑΙ ΟΙ ΙΔΙΟΙ ΑΥτὸν οὐ παρέλαβον.

ΑΝ τῶν προτέρων διαμνημονεύητε νοημάτων, μετὰ πλείονος προθυμίας
καὶ τὰ ἑξῆς "ἐποικοδομήσομεν, ὡς ἐπὶ κέρδει τοῦτο ποιοῦντες μεγά- γ. ἐπιχειρήσομεν
λῳ. οὕτω γὰρ ὑμῖν τε εὐμαθέστερος ἔσται ὁ λόγος τῶν ἤδη λεχθέντων
μεμνημένοις," καὶ ἡμεῖς οὐ πολλοῦ δεησόμεθα πόνου, δυναμένων ὑμῶν γ. ἡμεῖς δὲ
διὰ τῆς πολλῆς φιλομαθείας ὀξύτερον τοῖς λοιποῖς ἐνορᾶν. ὁ μὲν γὰρ
ἀεὶ τὰ διδόμενα ἀπολλύς, ἀεὶ δεήσεται τοῦ διδάξοντος, καὶ οὐδέποτε
εἴσεται οὐδέν· ὁ δὲ ἅπερ ἂν λάβῃ φυλάττων, καὶ οὕτω τὰ λοιπὰ προσλαμβάνων, ταχέως
[ἂν] ἀντὶ μαθητοῦ διδάσκαλος ἔσται, καὶ οὐχ ἑαυτῷ "μόνῳ, ἀλλὰ καὶ τοῖς ἄλλοις ἅπασι χρήσι- γ. μόνον
μος. ὅπερ μάλιστα ταύτην ἔσεσθαι προσδοκῶ τὴν ἐκκλησίαν, ἀπὸ τῆς πολλῆς ταύτης
τεκμαιρόμενος φιληκοΐας. φέρε οὖν ὡς ἐν ἀσφαλεῖ θησαυροφυλακίῳ ταῖς ὑμετέραις
ψυχαῖς τὸ ἀργύριον τοῦ Κυρίου παρακαταθώμεθα, καὶ τὰ σήμερον ἡμῖν προτεθέντα ἀνα-
πτύξωμεν, ὡς ἂν ἡ τοῦ πνεύματος παρέχῃ χάρις. Εἶπεν ὅτι ὁ κόσμος αὐτὸν οὐκ ἔγνω, περὶ
τῶν ἄνω χρόνων λέγων. κάτεισι λοιπὸν τῷ λόγῳ καὶ πρὸς τοὺς τοῦ κηρύγματος χρόνους, καὶ
φησιν· Εἰς τὰ ἴδια ἦλθε, καὶ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον· ἰδίους τοὺς Ἰουδαίους λέγων νῦν, ὡς
λαὸν περιούσιον, "ἢ καὶ πάντας δὲ τοὺς ἀνθρώπους, ὡς ὑπ' αὐτοῦ γεγενημένους. καὶ καθάπερ ἀ- γ. καὶ
νωτέρω διαπορῶν ἐπὶ τῇ ἀνοίᾳ τῶν πολλῶν καὶ ὑπὲρ τῆς κοινῆς αἰσχυνόμενος φύσεως ἔλε-
γεν, ὅτι ὁ κόσμος δι' αὐτοῦ [ἐγένετο, καὶ] γενόμενος τὸν δημιουργὸν οὐκ ἐγνώρισεν· οὕτω καὶ ἐν-
ταῦθα πάλιν ἐπὶ τῇ τῶν Ἰουδαίων καὶ τῇ τῶν πολλῶν δυσαναγετῶν ἀγνωμοσύνῃ, πληκτι-
κώτερον τίθησι τὴν κατηγορίαν λέγων, ὅτι οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον, καὶ ταῦτα αὐτὸν ἐλ-
θόντα πρὸς αὐτούς. καὶ οὐχ οὗτος "μόνος, ἀλλὰ καὶ οἱ προφῆται θαυμάζοντες ἔλεγον τὸ γ. μόνον
αὐτὸ διὰ τοῦτο· καὶ Παῦλος δὲ ὕστερον ἐπὶ τοῖς αὐτοῖς ἐκπληττόμενος. καὶ οἱ μὲν προφῆ-
Ψαλμ. οη. ε. ται οὕτως ἐβόων ἐκ προσώπου τοῦ Χριστοῦ λέγοντες· Λαός, ὃν οὐκ ἔγνων, ἐδούλευσέ
μοι, εἰς ἀκοὴν ὠτίου ὑπήκουσέ μου. υἱοὶ ἀλλότριοι ἐψεύσαντό "με· υἱοὶ ἀλλότριοι γ. μοι
ἐπαλαιώθησαν καὶ ἐχώλαναν ἀπὸ τῶν τρίβων αὐτῶν. καὶ πάλιν, οἷς οὐκ ἀνηγγέλη περὶ
Ἡσ. ξα. αὐτοῦ ὄψονται· καὶ οἳ οὐκ ἀκηκόασι, συνήσουσι· καί, Εὑρέθην τοῖς ἐμὲ μὴ ζητοῦσιν· ἐμφανὴς
Ρω. ια. ζ. ἐγενόμην τοῖς ἐμὲ μὴ ἐπερωτῶσι. Παῦλος δὲ Ῥωμαίοις ἐπιστέλλων, ἔλεγε· Τί οὖν; ὃ ἐπι-
Ρω. θ. λ. ζητεῖ Ἰσραήλ, τοῦτο οὐκ ἐπέτυχεν, ἡ δὲ ἐκλογὴ ἐπέτυχε. καὶ πάλιν· Τί οὖν ἐροῦμεν; ὅτι ἔ-
θνη τὰ μὴ διώκοντα δικαιοσύνην, κατέλαβε δικαιοσύνην· Ἰσραὴλ δὲ διώκων νόμον δικαιο-
σύνης, εἰς νόμον δικαιοσύνης οὐκ ἔφθασε. καὶ γάρ ἐστιν ὄντως ἐκπλήξεως ἄξιον, πῶς οἱ
μὲν ἐν ταῖς προφητικαῖς ἀνατραφέντες βίβλοις, καὶ τοῦ Μωϋσέως καθ' ἑκάστην ἀκούοντες τὴν ἡμέραν
μυρία περὶ τῆς τοῦ Χριστοῦ λέγοντος παρουσίας, καὶ τῶν λοιπῶν μετὰ ταῦτα προφητῶν, "ἔτι τε αὐτὸν γ. καὶ
θεώμενοι τὸν Χριστὸν καθ' ἑκάστην αὐτοῖς θαυματουργοῦντα, καὶ μόνοις αὐτοῖς "σχολάζοντα, καὶ μή- γ. ὁμιλοῦντα
τε

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τε τοῖς μαθηταῖς συγχωρεῖσθαι πέως εἰς ὁδὸν ἐθνῶν ἀπελθεῖν, " ἢ εἰς πόλιν Σαμαρειτῶν εἰσελθεῖν, μήτε αὐτὸν τοῦτο ποιοῦντα, ἀλλὰ αὖθις καὶ πάλιν λέγοντα πρὸς τὰ πρόβατα τὰ ἀπεσπαλμένα τοῦ οἴκου Ισραὴλ, " καὶ μετὰ τῶν σημείων * δὲ τῶν προφητῶν * ἀκούοντες " καὶ αὐτὸν σωφρόνως αὐτοῦ ἀναμιμνήσκοντα ἔχοντες, ὅπως καθάπαξ ἐπήρωσαν ἑαυτοὺς καὶ " ἐκώφωσαν, ὡς μηδενὶ τούτων " ἐνακουσθῆναι πρὸς τὸ τοῦ Χριστοῦ πίστιν * · ⓐ ὃ δὴ ἐθνῶν τούτων μὴ ὀλέθρου ἀπολαύσαντες, ὅτε θείων λογίων ποτὲ ἀκούσαντες, οὐδὲ ὅσον ὄναρ εἰπεῖν, ἀλλὰ ἀεὶ τοῖς τῶν ψευδαποστόλων σιτρεφόμενοι μύθοις (τοῦτο γὰρ ἡ τῶν " ἔξω φιλοσοφία) καὶ " ποιητῶν λήρους ἀνελίττοντες, καὶ ξύλοις καὶ λίθοις προσπελωμένοι, καὶ ὅτε δογμάτων ὅτε πολιτείας ἕνεκεν εἰδότες τι χρηστὸν καὶ ὑγιὲς (καὶ γὰρ ὁ βίος αὐτοῖς τῶν δογμάτων ἀκαθαρτότερος ἴσως καὶ ἐναντίερος, καὶ μάλα εἰκότως. ⓐ γὰρ οὗτοι θεοὺς αὐτῶν πάσῃ κακίᾳ χαίροντας ὁρῶντες, καὶ δι' αἰσχρῶν μὲν ῥημάτων, δι' αἰσχροτέρων δὲ πραγμάτων θεραπευομένους πραγμάτων, καὶ τοῦτο " νομίζοντας ἑορτὴν καὶ τιμὴν, ἔτι * μᾶλλον δὲ δι' ἀκαθάρτων φόνων καὶ παιδοκτονιῶν τιμωμένους, πῶς οὐκ ἔμελλον ταῦτα ζηλοῦν;) ἀλλ' ὅμως καὶ τοὺς αὐτὸν ⓦ συμφορὰ τῆς κακίας καταπεσόντας, ὥσπερ ἐκ τινος μηχανῆς, ἄνωθεν ἡμῶν καὶ ἀπ' αὐτῆς τῶν οὐρανῶν τῆς κορυφῆς ἀνεφάνησαν λαμπρὰ λάμποντας. πῶς οὖν τοῦτο γέγονε, καὶ πόθεν; ἄκουσον Παύλου λέγοντος. καὶ γὰρ ὁ μακάριος ἐκεῖνος ταῦτα ἀκριβῶς ζητῶν, οὐκ ἀπέστη, ἕως ἔδειξε τὴν ἀπάνθρωπον ῥίζαν, καὶ τοῖς ἄλλοις ταύτην ἐδήλωσεν ἅπασι. τίς οὖν ἐστὶν αὕτη; καὶ πόθεν ἡ τοσαύτη πώρωσις αὐτοῖς; ἄκουσον αὐτοῦ τοῦ τὴν οἰκουμένην ταύτην ἐμπιστευθέντος λέγοντος ταῦτα. τί οὖν φησι, τὴν ἀπόρησιν τῶν πολλῶν λύων ταύτην; Ρω. ι. γ.
Ἀγνοοῦντες, φησι, τὴν τοῦ Θεοῦ δικαιοσύνην, καὶ ζητοῦντες τὴν ἰδίαν δικαιοσύνην στῆσαι, τῇ δικαιοσύνῃ τοῦ Θεοῦ οὐχ ὑπετάγησαν. " διὰ ταῦτα ἔπαθον. καὶ πάλιν ὁ αὐτὸς τοῦτο ἑτέρως ἑρμηνεύων φησί· Τί οὖν ἐρῶμεν; ὅτι ἔθνη τὰ μὴ διώκοντα δικαιοσύνην, κατέλαβε δικαιοσύνη, δικαιοσύνην δὲ τὴν ἐκ πίστεως· Ισραὴλ δὲ διώκων νόμον δικαιοσύνης, εἰς νόμον δικαιοσύνης οὐκ ἔφθασε. εἰπὲ δὴ μοι τί; ὅτι οὐκ ἐκ πίστεως· προσέκοψαν γὰρ τῷ λίθῳ τοῦ προσκόμματος. ὃ δὴ " φησὶ τοιοῦτόν ἐστιν· ἀπιστία τούτων γέγονεν αὐτοῖς αἰτία τῶν κακῶν· ταύτην ἔτεκεν ἡ ἀπόνοια. ὅπου γὰρ περὶ τούτου πλέον ἔχοντες ἑλλήνων τοῦ τε νόμου εἰληφέναι, καὶ Θεοῦ εἰδέναι, καὶ τὰ ἄλλα ἅπερ ὁ Παῦλός φησι, μετὰ τοῦ τῆς Χριστοῦ πίστεως εἶδον ἀπὸ τῆς πίστεως μετὰ τῆς αὐτῆς ὁμοπιμίας καλυμμένους κἀκείνους καὶ αὐτοῦ, καὶ οὐδὲν πλέον ἔχοντα ⓦ ὑπερτιμῆς τοῦ ἐξ ἐθνῶν μετὰ τοῦ πίστιν, ἐδικάσθησαν ὑπὸ ἀπονοίας εἰς βασκανίαν ἐλθόντες, καὶ τοῦ τοῦ δεσπότου φιλανθρωπίαν τοῦ ἀφάτου καὶ ὑπερβάλλουσαν οὐκ ἠνέγκαμεν. τοῦτο δὲ αὐτοῖς ἑτέρωθεν μὲν ἐδαμόθεν, ἐξ ἀλαζονείας δὲ καὶ πονηρίας καὶ μισανθρωπίας γέγονε. τί γὰρ, ὦ πάντων ὑμεῖς ἀνοητότεροι, " κατεγελάσατε οὐκ τῆς εἰς ἑτέρους γνωμένης κηδεμονίας; " τί δὲ τὰ ὑμέτερα ἠλαττώθη ἀγαθὰ, τῆς κοινωνοὺς ἑτέρους ἔχειν τῶν αὐτῶν; ἀλλὰ τυφλὸν ὄντως ἡ πονηρία, καὶ τῶν δεόντων οὐδὲν δύναται συνιδεῖν ταχέως. διηθέντες τοίνυν τὴν κοινωνοὺς μέλλειν ἔχειν τῆς αὐτῆς παῤῥησίας, καθ' ἑαυτῶν ὃ ξίφος ὤθησαν, τῆς τοῦ Θεοῦ φιλανθρωπίας σκαλεύοντες ἑαυτούς· καὶ μάλα εἰκότως. Ματθ. κ. ιγ.
Ἐπῆρε γὰρ, φησιν, οὐκ ἀδικῶ σε· θέλω δὲ καὶ τούτοις δοῦναι ὥσπερ κἀμοί. μᾶλλον δὲ οὐδὲ τούτων ἄξιοι τῶν λόγων εἰσὶ τοιοῦτοι. ἐκεῖνος μὲν γὰρ, εἰ καὶ ἐδυσχέρανεν, ἀλλ' ὅμως ἔχων εἰπεῖν ἡμέρας ὁλοκλήρου πόνους καὶ παλαιπωρείας καὶ " καύσωνας καὶ ἱδρῶτας· ὅτοι δὲ τί ἔχοιεν ἂν εἰπεῖν; τοιοῦτον μὲν οὐδέν, ῥᾳθυμίαν δὲ καὶ ἀσωτίαν, καὶ τὰ μυρία κακὰ, ἃ δηλονότι πάντας κατηγορεῖν αὐτῶν διετέλεσαν ⓐ πρῶτοι πάντων, διὰ ἃ καὶ αὐτοὶ ὁμοίως τοῖς ἔθνεσι προσκεκρούκεσαν τῷ Θεῷ. καὶ τοῦτο ὁ Παῦλος δηλῶν ἔλεγεν· Οὐ γὰρ ἔστι διαστολὴ Ιουδαίου τε καὶ Ἕλληνος. πάντες γὰρ ἥμαρτον καὶ ὑστεροῦνται τῆς δόξης τοῦ Θεοῦ, δικαιούμενοι δωρεὰν τῇ αὐτοῦ χάριτι. καὶ τοῦτο μὲν ἄπαν τὸ κεφάλαιον χρησίμως καὶ σφόδρα ζώντως Ρω. γ. κβ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κατ' ἐκείνων γυμνάζει τὴν ὀπτικολίαν· δυωτέρω γὰρ μείζονος δείκνυσι κολάσεως ἀξίους χ. φησὶ
Ρω. β. ιβ. εἶναι· Ὅσοι γὰρ ἐν νόμῳ ἥμαρτον, διὰ νόμου κριθήσονται, φησι, τουτέστι χαλεπώτερον, μὴ τῆς φύσεως καὶ τοῦ νόμου κατηγοροῦντες ἔχοντες ὑπὲρ ταύτης μόνον, ἀλλὰ καὶ τῶν παρὰ τοῖς ἔθνεσι τὸν
Ησ. νβ. ε. Ρω. β. κδ. θεὸν βλασφημούντων γελᾶσθαι αἴτιοι. Τὸ γὰρ ὄνομά μου, φησι, δι' ὑμᾶς βλασφημεῖται ἐν τοῖς ἔθνεσιν. ἐπεὶ οὖν τοῦτο μάλιστα ἦν ὃ δάκνον αὐτοὺς (καὶ γὰρ καὶ τοῖς πεπιστευκόσιν ἐκ περιτομῆς παράδοξον τὸ πρᾶγμα εἶναι) ἐδόκει· διὰ καὶ ἐνεκάλουν ὁ Πέτρῳ πρὸς αὐτὸν ἀπὸ Καισαρείας ἐπανελθόντι, ὅτι πρὸς ἄνδρας ἀκροβυστίαν ἔχοντας εἰσῆλθε καὶ συνέφαγε αὐτοῖς· καὶ μετὰ τὸ μαθεῖν τὴν οἰκονομίαν τὴν τοῦ Θεοῦ, " εἰ καὶ ὕστερον ἐφαίνετο, πῶς καὶ εἰς τὰ ἔθνη ἡ δωρεὰ τοῦ ἁγίου πνεύματος ἐκκέχυται, παρ' ἐκπλήττεσθαι ἐνδεικνύμενοι, ὡς οὐκ ἂν ποτε τοῦτο προσεδόκησαν τὸ παράδοξον)" ὅθεν οὖν ἤδει ὅτι μάλιστα αὐτῷ τοῦτο καθήκετο, " ὅρα πῶς αὐτῷ τὸ φορτίον ἐκένωσε, καὶ τὴν ἀλαζονείαν " ἐξέλυσε σφόδρα οἰδοῦσαν. * ἐμέλλησεν γὰρ περὶ τῶν ἑλληνικῶν, καὶ δείξας αὐτοὺς οὐδεμίαν ἔχοντας ἀπολογίαν, οὐδὲ ἐλπίδα σωτηρίας, κατηγορήσας ἀκριβῶς καὶ τῆς τῶν δογμάτων αὐτῶν διαφθορᾶς, καὶ τῆς περὶ βίον ἀκαθαρσίας, μετατίθησιν ὅτι καὶ Ἰουδαίους λόγον· " καὶ γὰρ ἀπὸ τοῦ περιφήτου καταλέξας ἅπαντα, δι' ὧν ἔλεγεν ἐκεῖνος, ὅτι μιαροί τινες ἦσαν, καὶ δολεροί, καὶ ὑπουλοι, καὶ πάντες ἅμα ἠχρειώθησαν, καὶ οὐδεὶς ἐν αὐτοῖς ἐκζητεῖ τὸν Θεόν, ἀλλ' ἐξέκλιναν πάντες, καὶ ὅσα τοιαῦτα ἐπήγαγεν, Οἴδαμεν δὲ ὅτι ὅσα ὁ νόμος λέγει, τοῖς ἐν τῷ νόμῳ λαλεῖ, ἵνα πᾶν στόμα φραγῇ, καὶ ὑπόδικος γένηται πᾶς ὁ κόσμος τῷ Θεῷ. πάντες γὰρ ἥμαρτον, καὶ ὑστεροῦνται τῆς δόξης τοῦ Θεοῦ. Τί οὖν ἐπαίρεις σαυτόν, ὦ Ἰουδαῖε; τί μέγα φρονεῖς; καὶ γὰρ καὶ σὸν ἐμπέφρακται στόμα, καὶ ἡ σὴ παρρησία ἀνήρπαται, καὶ μετὰ τοῦ κόσμου πάντος καὶ σὺ γέγονας ὑπόδικος, καὶ ὁμοίως τοῖς ἄλλοις ἐν χρείᾳ κατέστηκας τοῦ δωρεὰν δικαιωθῆναι. ἐγρίμι οὖν μηδὲ, εἰ κατορθωκὼς ἦς καὶ παρρησίαν πολλὴν εἶχες πρὸς τὸν Θεόν, μηδὲ ὕπνα τοῖς μέλλουσιν ἐλεᾶσθαι καὶ σώζεσθαι διὰ φιλανθρωπίαν φθονεῖν. πονηρίας γὰρ τοῦτο ἐκάστης, ὅταν τοῖς ἑτέροις τὴν ἀγαθοῖς, καὶ μάλισα, ὅταν μηδὲ μετὰ τῆς σῆς τοῦτο ἤμελλε γίνεσθαι ζημίας. Εἰ μὲν γὰρ ἡ τῶν ἄλλων σωτηρία τοῖς σοῖς ἐλυμαίνετο καλοῖς, λόγον ἂν εἶχε τὸ ἀλγεῖν· καίτοιγε οὐδὲ τοῦτο " τὸν τὸν μεμαθηκότα φιλοσοφεῖν. Εἰ δὲ μήτε κολαζομένου θατέρου πλεονάζει τὰ τῶν μισθῶν, μήτε δὲ παρόντος ἐλαττοῦται, τίνος ἕνεκεν σὺ κόπτεις σαυτὸν ὑπὲρ ὧν ἕτερος σώζεται δωρεᾷ; ἐγρῆν μὲν οὖν, ὅπερ ἔφην *, μηδὲ, εἰ τῶν ἀδοκιμήτων ἦς, ὅτι τὴν τῶν ἐθνῶν εἰς τὰ ἔθνη γινομένην δίκην ἐλάμβανεν σωτηρίαν. ὅταν δὲ τῶν αὐτῶν ὑπεύθυνος ὢν τῷ δεσπότῃ, καὶ προσκεκρουκὼς καὶ αὐτὸς, δυσχεραίνῃς ὅτι τοῖς ἀλλοτρίοις ἀγαθοῖς καὶ μεγαφροσύνῃς, ὡς αὐτὸς ὀφείλων μόνος τὸ ἐφίλητος μεταχεῖν, ἀβασκανίας μόνον καὶ πονηρίας, ἀλλὰ καὶ τῆς ἐκάστης αἰσίας, καὶ πάντων τῶν χαλεπωτάτων αὖ εἶναι ὑπεύθυνος βασανιστηρίων. τὴν γὰρ τῶν κακῶν ῥίζαν ἁπάντων ἐν σεαυτῷ κατεφύτευσας, τὴν ὑπερηφανίαν.

ΗΘΙΚΟΝ. Διὸ καὶ τῆς σοφὸς ἔλεγεν· Ἀρχὴ ἁμαρτίας, ὑπερηφανία, τουτέστι, ῥίζα καὶ πηγὴ καὶ μήΣηρ. ι. ιε. τηρ. οὕτω δὲ ὁ προπάτωρ ἐξέπεσε τῆς μακαρίας ἐκείνης διαγωγῆς· οὕτω καὶ ὁ τοῦτον ἀπατήσας διάβολος ἀπ' ἐκείνου κατεμύησεν τὸ τῆς ἀξίας ὕψος. ὅθεν εἰδὼς ὁ μιαρὸς τῆς ἁμαρτίας ταύτης τὴν φύσιν ἰσχυρὰν οὖσαν καὶ δι' αὐτὴν καταδυσῶν τὸν ἄρωνα, ταύτην ἦλθε τὴν ὁδὸν, ὅτε τὸν Ἀδὰμ ἀπὸ τῆς τοσαύτης κατενεγκεῖν ἐπεχείρησε τιμῆς. τῇ γὰρ ἐπαγγελίᾳ τῆς ἰσοθείας φυσήσας αὐτὸν, οὕτω κατέῤῥιξε καὶ κατέβαλεν εἰς αὐτὰ τὰ ᾅδου τὰ βάραθρα. οὐδὲν γὰρ οὕτω τῆς τοῦ Θεοῦ φιλανθρωπίας ἀλλοτρίοι, καὶ τῷ τῆς γεέννης παραδίδωσι πυρὶ, ὡς ἡ τῆς ὑπερηφανίας τυραννίς. ταύτης γὰρ ἡμῖν προύσης, ἅπας ἡμῶν ὁ βίος ἀκάθαρτος ἔσται, κἂν σωφρονῶμεν, κἂν πτωχεύωμεν, κἂν νηστεύωμεν, κἂν εὐχαῖς, κἂν ἐλεημοσύναις, κἂν ὁποιῳοῦν ὑπεπλασώμεθα. ἀκάθαρτος γὰρ, φησι, παρὰ " Κυρίῳ πᾶς ὑψηλοκάρδιος. χ. Κυρίῳ

καταστέλλομεν

καταξέλωμεν οὖν τοῦτο τὸ φύσημα τῆς ψυχῆς, καὶ τὸν ὀφθαλμὸν, εἴπε, ἐξελώμεθα, εἰ καθαρεύει τῆς τῷ Δαβὸλῳ κειμένης ἀπηλλάχθαι κολάσεως. ὅπερ γὰρ τὰ ἀλαζόνα καὶ αὐτὰ ἐκείνῳ παθεῖν ἀνάγκη, ἄκουσον τοῦ Παύλου λέγοντος· Μὴ νεόφυτον, ἵνα μὴ τυφωθεὶς, εἰς κρίμα ἐμπέσῃ τοῦ παγίδα τοῦ Δαβόλου. Τί ἐστι κρίμα; εἰς τὸν αὐτὸν, φησι, καταδίκην, εἰς τὸν αὐτὸν κόλασιν. πῶς οὖν δυνήσεται τοῦτο τὸ δεινὸν, φησιν; εἶπε λογίσασθαι τὸν ἑαυτοῦ φύσιν, καὶ τὸν ἀμαρτημάτων τὸ πλῆθος, καὶ τὸν ἐκεῖ βασανιστηρίων τὸ μέγεθος, καὶ τὸν ἐνταῦθα δοκούντων λαμπρῶν τὸ ταπεινότερον, οὐδὲν γὰρ τοιοῦτον Δαβὶδ ἔφερεν, καὶ τὸν ἐκείνου δυνάμεων μᾶλλον μαθεῖν ὀφείλομεν. δὸ τούτους συνεχῶς πρὸ ἑαυτοῦ κινεῖσθαι δεῖ λογισμούς, καὶ τοὺς τὰ μέγιστα κατορθωκότας, ὅτι μνήμης ἔχρηζεν, οὐκ ἂν ἡμᾶς ὁ Δαβὶδ ἐπαρθῆναι δυνήσεται, κἂν μυρία φιλονεικῇ, ἀλλ' οὐδὲ ἀποσκελίσαι τοῦ ἀρχοῦ. ὁ γὰρ Θεὸς ὁ τῶν ταπεινῶν, ὁ χρηστὸς δὲ ὀπτικὸς, αὐτὸς δὲ ὑμῖν καὶ ἡμῖν παρέχοι καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην. οὕτω γὰρ δυνησόμεθα καὶ τὰ ἄλλα μετ' εὐκολίας κατορθοῦν, εἰς δόξαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ομιλ. ι. ΕΙΣ ΤΑ ΙΔΙΑ ΗΛΘΕ, ΚΑΙ ΟΙ ΙΔΙΟΙ ΑΥΤΟΝ ΟΥ̓ ΠΑΡΕΛΑΒΟΝ.

Ἰλεήμων ὢν ὁ Θεὸς, ἀγαπητὲ, καὶ φιλάνθρωπος, πολλὰ ποιεῖ καὶ παράδοξα πράγματα, ὥστε ἡμᾶς κατ' ἀρετὴν λάμπειν, καὶ βουλόμενος ἡμᾶς εὐδοκίμους εἶναι. καὶ τοῦτο, βίᾳ μὲν οὐδένα οὐδὲ ἀνάγκῃ, πείθοι δ' ἂν καὶ τοῖς ποιοῦσιν οὕτω, τοῦ βουλομένους ἄνωθεν ἕλκει, καὶ παρὸς ἑαυτὸν ὑπάγεται. Διὰ τοῦτο ἐλθόντα αὐτὸν οἱ μὲ ἔλαβον, οἱ δ' οὐκ ἐδέξαντο. οὐδένα γὰρ βούλεται ἄκοντα, οὐδὲ ἀναγκαζόμενον ἔχειν οἰκέτην, ἀλλ' ἑκόντας ἄνωθεν καὶ παρορμωμένους, καὶ χάριν αὐτοῦ τῆς δουλείας εἰδότας. δοῦλοι μὲν γὰρ, ὅταν ἐν χρείᾳ καθεστῶτες τῆς τοῦ οἰκέτου Δεσποίνης, καὶ μὴ βουλομένους πολλοὺς τοῦ τῆς δεσποτείας κατέχεσι νόμου· ὁ δὲ Θεὸς ἀνενδεὴς ὤν, καὶ μηδενὸς τῶν ἡμετέρων ἐν χρείᾳ καθεστηκὼς, τῆς δ' ἡμετέρας ἕνεκεν σωτηρίας μόνον ἅπαντα πράττων, ἡμᾶς αὐτοῦ ποιεῖ τούτου κυρίους· καὶ δηλοῖ τοῦτο τοῦ μὴ βουλομένων οὐδενὶ βίαν ὑπιστῆναι, οὐδὲ ἀναγκάζειν. παρὸς γὰρ ἄκοντας παρὸς ἑαυτὸν ἕλκεσθαι τοῦ δουλείου, ἴσον τοῦ μηδὲ ὅλως δουλεύειν ὄντι. Τί οὖν κολάζει, φησὶ, τοῦτον οὐκ ἐθέλοντας ἀναπαύειν αὐτοῦ; τί δὲ καὶ γέενναν ἠπείλησε τοῖς οὐκ ἀνεγομένοις τοῦ ὑπαγομένου αὐτοῦ; ὅτι καὶ μὴ πειθομένων ἡμῶν σφόδρα κήδεται, λίαν ὢν ἀγαθὸς, καὶ ἀποπηδώντων καὶ φθυόντων οὐκ ἀφίσταται· ἀλλ', ὑπὲρ τοῦ παρόντος τῆς εὐεργεσίας ὁδὸν ἀποσκάπτων, ἐλθεῖν μὴ βουληθέντας τοῦ διὰ τῆς πειθοῦς καὶ τὰ παθεῖν εὖ· τοῦ ἑτέρου ἐπήγαγε τοῦ διὰ τῆς κολάσεως καὶ τὴν τιμωρίαν, πικροτάτην μὲν οὖσαν, ἀναλγήσαι δ' ἂν· ὅμως, ὅταν ἡ παρούσα ἀπομάζηται. ἐπεὶ καὶ οἱ νομοθέται πολλὰς μὲν χαλεπὰς κατὰ τῶν ἡμαρτηκότων διέθεσαν τιμωρίας, καὶ ὅμως αὐτοῦ οὐκ ἀποστρεφόμεθα διὰ ταῦτα, ἀλλὰ δὲ μᾶλλον τιμῶμεν τῶν νομοθετῶν χάριν, καὶ ὅτι μηδ' ἑνὸς δεόμενοι τῶν παρ' ἡμῶν, πολλαχοῦ δὲ οὐδὲ εἰδότες, τίνες ποτὲ ἔσονται μέλλοντες τῆς διὰ τῶν γραμμάτων αὐτῶν ἀπολαύσεσθαι βοηθείας, ὅμως ἐφεύρισαν τῆς κατὰ βίον τὴν ἡμετέραν δυταξίας, τιμῶντες μὲν οὐκ ἐν ἀρετῇ ζῶντας, εἰργόντες δὲ διὰ τῶν τιμωριῶν οὐκ ἀνοσίους, καὶ τῇ τῶν λοιπῶν ἡσυχίᾳ λυμαινομένους. Εἰ δὲ τούτους θαυμάζομεν καὶ φιλοῦμεν, ὁ πολλῷ μᾶλλον τὸν Θεὸν ἐκπλήττεσθαι δεῖ καὶ ἀγαπᾶν τῆς τοσαύτης ἔνεκεν κηδεμονίας; καὶ γὰρ ἄπειρον τὸ μέσον ἐστὶ τῆς * ἐκείνων καὶ τὸ τούτου προ-

ἀναπλήρωσις
ἀφίλησιν
ἀναχώρησις
ἀπαλογία.
ἀγαπητὲ,
ὑπήκοον
ἀκούουσι
ἀλλ', ἐπεὶ οὖν
ἀπώσαντο
οἱ
ἐπεισήγαγε
ὅμως, ὅταν
δὲ ἡ παρεστῶσα ἀπομάζηται, ἀναγκαία ἡ δευτέρας ἡ ἐπεισαγωγή.
παραγραμμάτων
ὡς
κατασώσει τι

νοίας τῆς εἰς ἡμᾶς. ἄφατος γὰρ ὄντως, καὶ ὑπερβολὴν πᾶσαν νικῶν ὁ πλοῦτος τῆς χρηστότητος τοῦ Θεοῦ. σκόπει δὲ· εἰς τὰ ἴδια ἦλθεν, οὐ τῆς αὐτοῦ χρείας ἕνεκεν (ἀνενδεὴς γὰρ, ὅπερ ἔφην, ὁ θεῖος) ἀλλὰ τῆς τῶν ἰδίων * εὐεργεσίας· καὶ οὐδὲ οὕτως αὐτὸν οἱ ἴδιοι εἰς τὰ αὐτῶν προσηγόμενον ἐπ' ὠφελείᾳ τῇ αὐτῶν προὔλαβον, ἀλλὰ καὶ διεκρούσαντο, καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ἔξω τοῦ ἀμπελῶνος ἐκβαλόντες ἀπέκτειναν· καὶ οὐδὲ οὕτω τῆς μετοικίας αὐτοὺς ἀπέκλεισεν, ἀλλ' ἔδωκεν, εἰ βουληθεῖεν, μετὰ τοσαύτης προσθήκην πάντα ἀπολαύσασθαι καὶ πλημμεληθέντα διὰ τῆς εἰς αὐτὸν πίστεως, καὶ τοῖς οὐδὲν τοιοῦτον εἰργασμένοις, ἀλλὰ μᾶλλον πάντων αὐτῷ φίλοις ἐξισωθῆναι. καὶ ὅπου οὐχ ἁπλῶς, οὐδὲ ψυχαγωγίας ἕνεκεν ταῦτα φθεγγόμεθα, λεγέτω μοι τοῦτων ἀφίσι φωνὴν καὶ κατὰ τὸ μακάριον Παῦλον ἀπόντα. οὕτω γὰρ τὸν Χριστὸν διώκων μετὰ τὴν φανεῖσαν, καὶ τὸν ἐκείνου μάρτυρα * τῆς πολλῆς βαθὺν χρόνον, ὅτε μετανόησε καὶ κατέγνω τῶν προτέρων ἁμαρτηθέντων αὐτῷ, καὶ τῷ διωχθέντι προσέθραμεν, εἰς τοὺς φίλους αὐτοῦ εὐθέως καὶ τὰ πρωτεῖα ἔχοντας κατέλεξε, κήρυκα καὶ διδάσκαλον τῆς οἰκουμένης ἁπάσης ἀποφαίνων αὐτόν, βλάσφημον, διώκτην, ὑβριστήν· καθὼς καὶ αὐτὸς ἀγαλλόμενος ὅτι τὴν τοῦ Θεοῦ φιλανθρωπίαν, ταῦτα δι' ἐκείνου ἔπαθε, καὶ οὐκ ἠμύνετο, ἀλλὰ καθάπερ ἐν σκιᾷ τοῖς γράμμασι τὰ πρότερον αὐτῷ τολμηθέντα καταθρηνῶν, ἅπασιν ἐπεδείκνυ, βέλτιον εἰδὼς) νομίζων τὰ πρότερον αὐτοῦ πράγματα πολλῷ βίον ὅτι τὴν φιλανθρωπίαν ὁ μέγεθος τῆς τοῦ Θεοῦ δωρεᾶς, ἡ συσκιάσασα τὸ ἄφατον αὐτοῦ καὶ ἀνεκδιήγητον φιλανθρωπίαν, οἰκειοῦται τὸν οἰκείαν ἅπασιν ἐκπομπεύσασα πλούτῳ. διὰ τοῦτο οὐ κατὰ τρέφει καὶ διώξεις, καὶ ἐπιβουλάς, τοὺς πολέμους τοὺς κατὰ τῆς ἐκκλησίας, νῦν μοι λέγων· Οὐκ εἰμὶ ἱκανὸς καλεσθῆναι ἀπόστολος, διότι ἐδίωξα τὴν ἐκκλησίαν τοῦ Θεοῦ· νῦν δέ, Ὅτι ἦλθεν Ἰησοῦς ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτός εἰμι ἐγώ. καὶ πάλιν· Ἠκούσατε τὴν ἐμὴν ἀναστροφήν ποτε ἐν τῷ Ἰουδαϊσμῷ, ὅτι καθ' ὑπερβολὴν ἐδίωκον τὴν ἐκκλησίαν τοῦ Θεοῦ, καὶ ἐπόρθουν αὐτήν. καθάπερ γὰρ τινα ταύτην ἀμοιβὴν ἀποδιδοὺς τῷ Χριστῷ τῆς εἰς αὐτὸν μακροθυμίας, ὃ δεῖξαι, ἵνα ὅτε καὶ πῶς ἐλθὼν καὶ πολέμιον ἔσωσεν, ὅτω μετὰ πολλῆς τῆς παῤῥησίας κηρύττῃ τὸν μάχιμον, ὧν πάσῃ προθυμίᾳ πρὸς τὸν δεσπότην ἐμαχέσατο τῷ Χριστῷ· μετὰ ταῦτα καὶ τοῖς ἀπεγνωκόσιν ἑαυτὸν χρῆσθαι· ἐκτείνει καὶ ἐλπίδας. καὶ γὰρ καὶ τὸν Χριστὸν δι' τοῦτό φησι προσεύξεσθαι αὐτὸν, ἵνα ἐν αὐτῷ ἐνδείξηται πρῶτον τὸν πᾶσαν μακροθυμίαν καὶ ὑπερβάλλοντα πλοῦτον τῆς χρηστότητος αὐτοῦ, πρὸς ὑποτύπωσιν τῶν μελλόντων πιστεύειν ἐπ' αὐτῷ εἰς ζωὴν αἰώνιον. καὶ γὰρ ἵνα ἁπάσης αὐτοῖς συγγνώμης μείζονα καὶ ἐλπιζόμενα, ἅπερ οὖν καὶ ὁ εὐαγγελιστὴς ἐμφαίνων, ἔλεγεν·

Εἰς τὰ ἴδια ἦλθε, καὶ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον. Πόθεν ἦλθεν ὁ πόντα πληρῶν καὶ πόντας ἐξῶν πρέων; ποῖον κενώσας τόπον τῆς αὐτοῦ προνοίας, ὁ πόντα τῇ χειρὶ συνέχων καὶ σφίγγων δρακὶ; τόπον μὲν οὐδ' ἕνα ἦμειψε. πῶς γὰρ; τῇ δὲ πρὸς ἡμᾶς καταβάσει τοῦτο εἰργάσατο. ὅπου γὰρ ἐν τῷ κόσμῳ ὢν οὐκ ἐδόκει πρᾶξαι, ὡς μήπω γνωρίζεσθαι, ὕστερον δὲ ἑαυτὸν ἐφανέρωσε, τὴν ἡμετέραν ὑποδυσάμενος σάρκα καὶ ἀξιώσας, τὴν φανέρωσιν ταύτην διὰ τὴν κατάβασιν, προσῳκείωσε καλῶς. θαυμάσας δ' ἂν τις τὸ μαθητὸν μὴ αἰσχυνόμενον διὰ τὴν τοῦ διδασκάλου ἀτιμίαν, ἀλλὰ * μετὰ παῤῥησίας τὸν εἰς αὐτὸν γεγυμνασμένον" διαγράφοντος ὕβριν. ὃ τοῦτο "ἢ ὑπὸ μικρὸν τοῦ φιλανθρώπου αὐτοῦ δόγματος τεκμήριον· καὶ ἄλλως ἔστι, τὸ αἰσχυνόμενον ὑπὸ τῶν ὑβριστῶν, οὐχ ὑπὸ τοῦ προσηνέστου αἰσχύνεσθαι χρή. οὕτω μὲν γὰρ ταύτῃ μᾶλλον ἔλαμψε, καὶ μετὰ τὸ ὕβριν τοσαύτην τῶν ὑβριστῶν ποιούμενος προσηνοῦς· ὑπνοι δὲ ἀγνώμονες καὶ μαροὶ πᾶσι "ἀνεφάνησαν, τὸ ὅτι τοιούτοις προσηνόμενον ἀγαθοῖς, ὡς ἐχθρὸν ἀπωσάμενοι καὶ πολέμιον. διὰ τοῦ-

τὴ

χ. ἰδίαν γν. νοιαν πᾶσαν
χ. ἴδιοι.
* ἕνεκεν
χ. ἐκβάλλοντες
χ. αὐτὸν
* σπέρμα
χ. σῴζεσθαι
χ. προσέτι
χ. ἄξιον τὸν μαθητὴν μὴ αἰσχυνόμενον
* καὶ
χ. -τα
χ. καὶ
χ. ἐφάνησαν

α. Κορ. ιε. θ. α. Τιμ. α. ιε. Γαλ. α. ιγ.

χ. λαζίνης τὴν δὲ μόνον ἐλαφθῆναι, ἀλλὰ καὶ ᾧ μὴ τυχεῖν ὧν ἔτυχον ⓐ λαμβάνοντες αὐτόν. τίνος δὲ ἔτυχον ὕστι;

12 Ὅσοι γ' ἔλαβον αὐτόν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι,

πολλάκις εἶπον, τοῦτο καὶ νῦν ἐρῶ, καὶ οὐ παύσομαι λέγων. τί ὅ τοῦτο ἐστιν; ὅτι μέλλων ὁ Ἰησοῦς ὑψηλὰν ἀπαιτεῖν δογμάτων, διὰ τοῦτο τῶν ἀκροατῶν ἀσθένειαν ἑαυτὸν κατέχει πολλάκις, καὶ οὐ συνεχῶς τοῖς ἀξίοις τῆς μεγαλοψυχίας αὐτοῦ λόγοις ἐνδιατρίβει, ἀλλὰ μᾶλλον τοῖς συγκαταβάσιν ἔχουσι. Τὸ μὲν γὰρ ὑψηλὸν καὶ μέγα, καὶ ἀπαιτεῖν λεγθὲν, ἐκφυσῶσαν τοῦτο ἀξίαν ἐκείνου, καθόσον ἡμῖν ἀνοῦσαν δυνατόν· τὰ δὲ ταπεινότερα καὶ ἐγγὺς τῆς τῶν ἀκροωμένων ἀμαθείας, εἰ μὴ διηνεκῶς ἐλέγετο, οὐκ ἂν ταχέως κατέσχε τὰ ὑψηλά· διὰ τοῦτο ἐστὶ καὶ πλείονα ταπεινότερα τῶν ὑψηλῶν εἰρημένα πρὸς αὐτόν. ἀλλ' ἵνα μὴ τοῦτο ἑτέραν πρὸς ἐργάσηται βλάβην πάλιν, κατέχων κάτω τὸν μαθητήν, οὐχ ἁπλῶς τὰ καταδεέστερα λήψεσθαι, διὰ μὴ τοῦτο εἴπῃ καὶ τὰν αἰτίαν δι' ἣν ταῦτα" λέγει, ὁ δὴ καὶ ἐν ταῖς πεποίηκεν. ὅπερ γὰρ εἶπε περὶ τοῦ βαπτίσματος ἅπερ εἶπε, καὶ τῆς κατ' ἐμὲ χειροτονίας ἡνώσεως τῆς ἐν τῇ γῇ γινομένης, "βουλόμενος μὲν καὶ εἰς τὸν ἡνῶσιν καθεῖναι τὸν ἑαυτοῦ τὸν ἀπόρρητον ἐκείνου δὲ ἀφεμένου, τέως διαβαστάζει, " καὶ οὐ καθίησιν· εἶτα καὶ τὴν αἰτίαν λέγει δι' ἣν οὐ καθίησι. τίς δέ ἐστιν αὕτη; ἡ παχύτης καὶ ἡ ἀσθένεια τῶν ἀκουόντων." καὶ ταύτην αἰνιττόμενος, ἔλεγε· εἰ τὰ ἐπίγεια εἶπον ὑμῖν, καὶ οὐ πιστεύετε, πῶς, ἐὰν εἴπω ὑμῖν τὰ ἐπουράνια, πιστεύσετε; ὥστε ἐπουσῶν δὲ εἴπῃ μείζονα καὶ ταπεινὰ, τῇ τῶν ἀκουόντων ἀσθενείᾳ λογιστέον αὐτό. τὰ δὲ ἐπίγεια ἐνταῦθά τινες μὲν τοὺς ἀνέμους φασὶν εἰρῆσθαι, τουτέστιν, εἰ καὶ ὑποδείγματα ἀπὸ τῶν ἐπιγείων ἔδωκα, καὶ οὐδὲ οὕτως ἐπείθητε, πῶς δυνήσεσθε τὰ ὑψηλότερα μαθεῖν; εἰ δὲ τὸ βάπτισμα ἐπίγειον ἐνταῦθά" λέγει, μὴ θαυμάσῃς. ἡ γὰρ ἄνω τὸ ἐν τῇ γῇ τελούμενον, ἡ τοὺς σύγχρονον ἑαυτῆς ἡνώσεως τὸ φιλοδεέστατος ἐκείνης ὀνομάζων, οὕτως αὐτὸ καλεῖ. εἰ γὰρ καὶ ἐπουράνιος αὕτη ἡ ἡνῶσις, ἀλλὰ τοῖς ἐκείνην ἀδιαβλήτως ἀλήθειαν καὶ οὐκ τῆς τῶν παθῶν οὐσίας οὖσαν, ἐπίγειος ἐστι. καὶ οὐκ εἶπεν, οὐκ ἐνοήσατε, ἀλλ' οὐκ ἐπιστεύσατε. ὅταν μὲν γὰρ τοῖς ἐκφανῆ τῆς δυσκολίας, ἃ ἀφῃρεῖ τοῦ νοῦ λαβεῖν ἐστι, καὶ μὴ ῥᾳδίως καταδέχηται, εἰκότως δὴ ἀνοίαν ἐγκαλεῖται· ὅταν δὲ ταῦτα μὴ δέχηται ἃ λογισμῷ μὲν οὐκ ἔστι λαβεῖν, πίστει δὲ μόνῃ, οὐκέτι ἀνοίας, ἀλλ' ἀπιστίας ἐστὶ τὸ ἔγκλημα. ἀπάγων οὖν αὐτὸν τοῦ μὴ ζητεῖν λογισμοῖς τὸ λεγθὲν, στοιβρότερον αὐτὸ καθικνεῖσθαι, ἀπιστίαν ἐγκαλῶν. εἰ δὲ τὴν ἡμετέραν πίστιν χρὴ δέχεσθαι ἡνῶσιν, τίνος ἂν εἶεν ἄξιοι τὴν τοῦ μονογενοῦς λογισμοῖς ἀδιεργάζομενοι; ἀλλ' ἴσως, εἴποι τις ἄν, καὶ τίνος ἕνεκεν ἐλέγετο ταῦτα, εἰ μὴ ἔμελλον πιστεύειν ἀκούοντες; ὅτι εἰ καὶ σκληροὶ μὴ βαπτίσεσθαι, ἀλλὰ μετ' ἀλλοις ἔμελλον αὐτὰ δέχεσθαι καὶ χαίρειν. " καθικνούμενος τοίνυν αὐτοῦ στοιβρότατα, δείκνυσιν *, ὅτι οὐ ταῦτα οἶδε μόνον, ἀλλὰ καὶ ἕτερα πολλῷ πλείονα τούτων καὶ μείζω. καὶ τοῦτο δηλοῖ τῆς ἐπαγωγῆς ἐδήλωσεν, οὕτως εἰπών· καὶ οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανόν, εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς, ὁ υἱὸς τοῦ ἀνθρώπου ὁ ὢν ἐν τῷ οὐρανῷ. καὶ ποία αὕτη ἀκολουθία; φησί; μεγίστη" μοι δοκῶ καὶ σφόδρα τοῖς ἐμπροσθεν συναφὴ οὖσα. ὅπερ γὰρ σκληρὸς εἶπεν, ὅτι οἶδα μόνον, ὅτι ἀπὸ Θεοῦ ἐλήλυθας

λ. καθὼς λ. ἐπιθυμια τ̃ χωματων ἀκροατ.

λ. ἐρεῖ,

λ. ἐβούλετο

λ. μὲν καθὼς καὶ τὸν λ. καὶ αἰνιλ. ἐπιτρέπειν,

λ. λέγει·

λ. διὰ

λ. καθικνεῖται

* λοιπὸν,

λ. ἀγαπητὲ

λήλυθας διδάσκαλος, τοῦτο αὐτὸ διορθοῦται, μονονοχὶ λέγων· μὴ νομίσῃς με οὕτως εἶναι διδάσκαλον, ὡς τοὺς πολλοὺς τῶν προφητῶν ἀπὸ γῆς ὄντας· ἐξ οὐρανοῦ γὰρ παρείμι νῦν. τῶν μὲν γὰρ προφητῶν οὐδεὶς ἀναβέβηκεν εἰς· ἐγὼ δὲ εἰς ἀναβαίνω. Εἶδες πῶς καὶ ὁ σφόδρα δικαίων ὑψηλὸν εἶναι, σφόδρα ἀνάξιον αὐτὸν τῆς μεγαλοψυχίας ἐστίν; οὐ γὰρ εἰς οὐρανὸν μόνον ἐστίν, ἀλλὰ καὶ πάντα χῶρον, καὶ πάντα πλησίον· ἀλλ' ἐπὶ τοσοῦτον τὴν ἀνθρωπείαν τοῦ ἀκροατοῦ ἀναλέγεται, καὶ μικρὸν αὐτὸν ἀνάγειν βουλόμενος. ἡμῶν δὲ ἀνθρώπων οὐδαμοῦ τὴν σάρκα ἐκάλεσεν, ἀλλ' ἀπὸ τῆς ἐλαφρονοίας ὅλον ἑαυτὸν, ἵν' οὕτως εἴπω, ὠθῶμεν νῦν. καὶ γὰρ τοῦτο ἔθος αὐτῷ, πολλάκις μὲν ἀπὸ τῆς θεότητος, πολλάκις δὲ ἀπὸ τῆς ἀνθρωπότητος τὰ πρῶτα καλεῖν. χ. νν

14 Καὶ καθὼς Μωϋσῆς ὕψωσε (W) ὄφιν ἐν τῇ ἐρήμῳ, φησὶν, οὕτως ὑψωθῆναι δεῖ (W) ἐγὼ τοῦ ἀνθρώπου. Πάλιν δὲ τοῦτο δεῖξαι ἀπηρτῆσθαι τῶν ἐμπροσθεν, πολλαχοῦ δὲ καὶ αὐτὸ τοῦτο διαφέρειν ἔχει. Εἰπὼν γὰρ τοῦ μείζονος εἰς ἀνθρώπους γεγενημένου βυθρησίαν δι' οὗ βαπτίσματος, ἐπάγει καὶ τοῦτο διαφέρον τῆς τοῦ σταυροῦ. ὥσπερ οὖν καὶ Παῦλος Κορινθίοις διαλεγόμενος ταῦτα ὁμοῦ φησι τὰς βυθρησίας, οὕτω λέγων· Μὴ Παῦλος ἐσταυρώθη ὑπὲρ ὑμῶν; ἢ εἰς τὸ ὄνομα Παύλου ἐβαπτίσθητε; μάλιστα γὰρ πάντων τὰ δύο ταῦτα τοῦ ἄφατον αὐτοῦ δείκνυσιν ἀγάπην, ὅτι τε ὑπὲρ ἐχθρῶν ἔπαθε, καὶ ὅτι ἀποθανὼν ὑπὲρ ἐχθρῶν, διὰ τοῦ βαπτίσματος ὁλόκληρον τῶν ἁμαρτημάτων τὴν συγχώρησιν ἐδωρήσατο. τίνος οὖν ἕνεκεν οὐκ εἶπε σαφῶς, ὅτι μέλλω σταυροῦσθαι, ἀλλ' ὅτι (W) παλαιὸν πρὸς ἐπέμψε τύπον τοῦ ἀχρειοῦσθαι; τοῦτον μὲν, ἵνα μάθῃς, ὅτι συνῆν τοῖς παλαιοῖς τοῖς χαροῖς, καὶ οὐκ ἀλλότρια τούτων ἐκήρυττε. ἔπειτα, ἵνα γνῷς ὅτι οὐκ ἄκων ὅτι τοῦ πάθους ἤρχετο. πρὸς τούτοις, ἵνα μάθῃς ὅλως ὅτε αὐτῷ τις ἀπὸ τοῦ σταυροῦ βλάβη, καὶ πολλοῖς αἴτιον τίκτεται σωτηρία. ἵνα γὰρ μή τις λέγῃ, καὶ πῶς ἦν εἰς τὸν σταυρωθέντα πίστις σώσαι σωθῆναι, ὅταν δὲ αὐτὸς ὑπὸ θανάτου κατεχόμενος ᾖ, ὅτι τῶν παλαιῶν ἡμᾶς ἰσοτίμους ἀγαθῶν. Εἰ γὰρ πρὸς εἰκόνα χαλκῆν ὄφεως ἰδόντες (A) Ἰουδαῖοι διέφυγον θάνατον, πολλῷ μᾶλλον (A) εἰς τὸν ἐσταυρωμένον πίστις οὖσα, εἰκότως καὶ πολλῷ μείζονος ἀπολαύσονται βυθρησίας. οὐ γὰρ διὰ τὴν ἀνθρωπείαν τοῦ ἐσταυρωμένου, οὐδὲ διὰ τοῦτο ἐπιστεύθη Ἰουδαίοις, τοῦτο μὲν· ἀλλ' ὅτι ἠγάπησεν ὁ Θεὸς (W) κόσμον, διὰ τοῦτο ὁ ἑνιαυτὸς αὐτοῦ ναὸς σταυροῦται, χ. ἐκμέσου τούτου ἐκ τούτου ἦν

15 Ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον. Ὁρᾷς τὴν τοῦ σταυροῦ αἰτίαν καὶ τὴν ἐξ αὐτοῦ σωτηρίαν; ὁρᾷς τοῦ τύπου πρὸς τὴν ἀλήθειαν τὴν συγκρίσεως; οὐ θάνατον" διέφυγον (A) Ἰουδαῖοι, ἀλλὰ τὸν παρόντα, ἵνα τὸν αἰώνιον (A) πιστεύοντες· οὐ σήματα ὄφεων ἦν ὁ χρεμάμενος ὄφις, ἀλλὰ τοῦ νοητοῦ δράκοντος ἐνεργήματα καὶ πλαγαὶ ὁ σταυρωθεὶς Ἰησοῦς· οὐ τοῖς ὀφθαλμοῖς τούτοις βλέπων ἐθεραπεύετο, ἀλλὰ τοῖς τῆς διανοίας ὀφθαλμοῖς ὁρῶν πρὸς ἀπιστίαν τὰ ἁμαρτήματα· οὐ χαλκοῦς ὁ χρεμάμενος ὢν εἰς σῶμα ὄφεως διατυπωθείς, ἀλλὰ σῶμα θεοπρεπὲς καὶ πνεύματος κατασκευασθέν· οὐ ὄφις ἔδακνε, καὶ ὄφις ἴατο, ὅπου καὶ ἀλλαχοῦ θανάτου ἀπώλεσε, καὶ θανάτου ἔσωσεν. ἀλλ' ὁ μὲν ἀπόλλυς ὄφις, οἷον εἶχεν, ὁ δὲ σώζων, ἵνα καθαρὸς ᾖ· καὶ ἀλλαχοῦ δὲ αὖ πάλιν. ὁ μὲν γὰρ ἀπόλλυς θανάτου, ἁμαρτίαν εἶχεν, ὥσπερ (W) ἰὸν ὁ ὄφις, ὁ δὲ τὸ θεοπρεπὲς, ἁμαρτίας πάσης ἀπήλλαχε, ὥσπερ ὁ χαλκοῦς ὄφις ἰοῦ. Ἁμαρτίαν γάρ, φησὶν, οὐκ ἐποίησεν, οὐδὲ δόλος εὑρέθη ἐν τῷ στόματι αὐτοῦ. καὶ τοῦτό ἐστιν ὃ φησι Παῦλος· Ἀπεκδυσάμενος τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας ἐδειγμάτισεν ἐν παρρησίᾳ θριαμβεύσας αὐτοὺς ἐν αὐτῷ. καθάπερ γὰρ ἐν ἀθλητικοῖς γυμνάσις, ὅταν ἐπὶ μετεώρου (W) ἀγωνίσηται καὶ ἄρας καὶ καταρράξας, λαμπροτέραν ἀποφαίνει τὴν νίκην· οὕτω καὶ ὁ Χριστὸς, τῆς οἰκουμένης ἁπάσης ὁρώσης, τὰς ἀντικειμένας δυνάμεις κατέβαλε, καὶ σὺν ἐπὶ τῆς ἐρημίας χ. ἔφυγον

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ρημίας πλησμονὴν ἰασάμενος, πάντων τῶν θείων ἀπήλλαξε, χρεμασθεὶς δηλ. τοῦ σταυροῦ. Ἀλλ' οὐκ εἶπε, χρεμασθῶμεν δεῖ, ἀλλ' ὑψωθῶμεν. ὅπερ γὰρ εὐφημότερον εἶχε ἐδόκει δηλῶσαι τὸ ἀκροώμενον καὶ ἐπὶ τοῦ τύπου, τοῦτο τέθεικεν.

κ. καὶ διὰ τί οὐκ εἶπε, κ.

16 Οὕτω γὰρ ἠγάπησέ, φησιν, ὁ Θεὸς τὸν κόσμον, ὥστε τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκεν, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον.

Ο ὃ λέγει τοιοῦτόν ἐστι· μὴ θαυμάσῃς ὅτι ἐγὼ μέλλω ὑφίστασθαι, ἵνα ὑμεῖς σωθῆτε. καὶ γὰρ καὶ ὁ τοῦ παιδὸς τοῦτο δοκεῖ, καὶ αὐτὸς ὕστερος ὑμᾶς ἠγάπησεν, ὡς ὑπὲρ τῶν ἀλλων δοῦναι τὸν υἱὸν, καὶ ἀλλων ἀγνωμόνων. καίτοι οὐκ ἦν ὡς ἔοικε ὑπὲρ φίλου τοῦτο ποιήσειεν, οὐδὲ ὑπὲρ δικαίου ἁπλῶς, ὅπερ καὶ ὁ Παῦλος δηλῶν, ἔλεγε· Μόλις γὰρ ὑπὲρ δικαίου τις ἀποθανεῖται. ρα. ε. ζ.

κ. ἐμφατικ. κ. τὸ κ. τὸ

ἀλλ' ἐκεῖνος μὲν πλατύτερον (τοῖς πιστοὺς γὰρ διελέγετο) ἐνταῦθα ὁ Σωσεσαλμένως μὲν ὁ Χριστὸς, ὅπερ τοῖς Νικόδημον ἦν ὁ λόγος, ἐμφατικώτερον δέ. καὶ γὰρ ἐκεῖσε λέξις πολλὴν ἔχει τὴν ἔμφασιν· τῷ τε γὰρ εἰπεῖν, ὕστως ἠγάπησε, καὶ τῷ, ὁ Θεὸς τὸν κόσμον, πολλὴν διέκνυσι τῆς ἀγάπης τὴν ὑπόστασιν. πολὺ γὰρ τὸ μέσον καὶ ἀπειρον ἐστί. ὁ γὰρ ἀθάνατος, ὁ ἄναρχος, ἡ μεγαλωσύνη ἡ ἀπέραντος, οὗτος ἀπὸ γῆς καὶ ἀσθενοῦς, οὗτος μυρίων γέμοντας ἁμαρτημάτων, οὗτος ἀπὸ πάντος τοιούτου κροκόδας τὸ χρέος, οὗτος ἀγνώμονας, τούτους ἠγάπησε. καὶ τοὺς μὴ ὄντας ὁ πάλιν ὁμοίως ἐμφατικὰ, ἅπερ ἐπήγαγε, λέγων· ὅτι τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκεν, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον. ὅπερ γὰρ εἶπεν, ὑψωθῆναι δεῖ, ἵνα μὴ θάνατον ὑπέστη, ἵνα μὴ κατηφὴς ὁ ἀκροατὴς ἀπὸ τούτων γένηται τῶν ῥημάτων, "ἀνθρώπινόν τι παθεῖν αὐτὸν νομίσῃ καὶ ἀνάξιον, ἵνα θάνατον αὐτὸν νομίζων αὐτὸν ἀνάξιον εἶναι), σκόπει πῶς αὐτὸν διορθοῦται, υἱόν τε Θεοῦ λέγων εἶναι καὶ δίδυμον, καὶ ζωῆς αἴτιον εἶναι), καὶ ζωῆς αἰωνίου. οὐκ ἀνὴρ ὁ τοῖς ἄλλοις ζωὴν παρέχων ἔμελε τοῦ θανάτου, αὐτὸς ἔμελλεν εἶναι) ἐν τῷ θανάτῳ διατρίβειν. εἰ γὰρ οἱ πιστεύοντες εἰς αὐτὸν σωρὸν ὄντα οὐκ ἀπόλλυται, πολλῷ μᾶλλον αὐτὸς σωθεὶς οὐκ ἀπόληται. ὁ γὰρ τῶν ἄλλων τὴν ἀπώλειαν διαιρῶν, πολλῷ μᾶλλον αὐτὸς ζωὴν ἀπέλαβε. ὁ τοῖς ἄλλοις παρέχων ζωὴν, πολλῷ μᾶλλον ἑαυτῷ παράζει ζωήν. ὁρᾷς ὅτι πάντα χρὴ πίστεως χρεία; τί γὰρ σωθῆναι παρὰ ζωῆς εἶναι) φησιν, ὁ λογισμὸς μὴ οὐκ ἂν ῥᾳδίως τοῦτο δέξαιτο· ἀλλὰ μαρτυροῦσιν ἐπὶ τοῦ νῦν ἕλληνες καταγελῶντες. ἡ δὲ τοῦ τῶν λογισμῶν ἀσθένειαν ὑπερβαίνουσα πίστις, ῥᾳδίως αὐτὸ καὶ δέξαιτο καὶ κατάρχοι. πόθεν δὲ ὅτι ἠγάπησεν ὁ Θεὸς τοῦ κόσμον; ἄλλοθεν μὲν οὐδαμόθεν, ἐξ ἀγαθότητος δὲ μόνης.

κ. ὑσαυρωμένον

κ. αὐτὸς

Εντεῦθεν τοίνυν αὐτοῦ τὴν ἀγάπην, αἰχμαλωτίζωμεν τῆς φιλανθρωπίας τὸν ὑπερβολὴν. ΗΘΙΚΟΝ
οὗτος μὲν γὰρ οὐδὲ τὸν μονογενοῦς ἐφείσατο δι' ἡμᾶς· ἡμεῖς δὲ καὶ χρημάτων φειδόμεθα καθ' ἑαυτῶν. αὐτὸς καὶ γνήσιον υἱὸν ἔδωκεν ὑπὲρ ἡμῶν· ἡμεῖς δὲ οὐδὲ δούλου καταφρονοῦμεν ὑπὲρ αὐτοῦ, ἀλλ' οὐδὲ ὑπὲρ ἡμῶν. καὶ πῶς ἂν εἴη ταῦτα συνῳμένης ἄξια; καὶ μὴ δὴ θερμὸν ἴδωμεν κινδύνους καὶ θανάτους ὑπὲρ ἡμῶν καταδεξάμενον, πάντων τοσούτων, καὶ ἐν τοῖς τοσούτοις ἀριθμούμεθα τῶν φίλων, καὶ πάντα αὐτῷ τὰ ἡμέτερα ἐγχειρίζομεν, καὶ αὐτὸν μᾶλλον, ἢ ἡμέτερα εἶναι) φαμεν, καὶ οὐδὲ ὕστως ἠμυνόμεθα ἀντίδοσιν ἀξίαν αὐτῷ διδόναι. ὅτι δὲ τοῦ Χριστοῦ οὐδὲ τοῦτο τὸ μέγεθος τῆς ἀγνωμοσύνης φυλάττομεν· ἀλλ' ἐκεῖνος μὲν τὸν ψυχὴν ἔθηκεν ὑπὲρ ἡμῶν, καὶ τὸ αἷμα τὸ τίμιον ἐξέχεε δι' ἡμᾶς, οὐδὲ ὀνους οὐδὲ ἀγαθοὺς γεγενημένους. ἡμεῖς δὲ οὐδὲ χρήματα χέομεν δι' ἑαυτούς, ἀλλὰ πορνεύομεν αὐτὸν γυμνὸν καὶ ξένον ὑπὲρ ἡμῶν ἀποθανόντα. καὶ τίς ἡμᾶς τῆς μιγούσης ἐξαιρήσεται κολάσεως;

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λάπεως; Εἰ γὰρ μὴ ὁ Θεός, ἀλλ' ἡμᾶς ἑαυτοὺς ἐκολάζομεν, ἆρα οὐκ ἂν καθ' ἑαυτῶν τὸ ψῆφον ἐξενέγκαιμεν; ἆρα οὐκ ἂν ὑπὸ τῆς γεέννης ἑαυτοὺς κατεδικάσαμεν πῦρ, τὸν ὑπὲρ ἡμῶν τὸν ψυχικὸν θέντα λιμῷ τηκόμενον ἐφορᾶντες; καὶ τί λέγω χρήματα; Εἰ γὰρ μελίας ἐψύχομεν ψυχάς, οὐκ ἂν πάσας ὑπὲρ αὐτῶν θεῖναι ἐχρῆν; καίτοιγε οὐδὲ οὕτως ἄξιόν ἐστι τῆς εὐεργεσίας ἐποιήσαμεν ἄν. ὁ μὲν γὰρ σφέτερος εὐεργετεῖ, φανερὸν ὑποδείκνυται τὴν χρηστότητα· ὁ δὲ εὐεργετηθεὶς, ὅταν μὴ δῷ δικαίως ἀποδίδωσιν, οὐ χάριν καταλιπόμενος, καὶ μάλιστα, ὅταν ὁ καταρξάμενος ἐχθρὸς εὐεργετῶν ᾖ· καὶ ὁ ἀντιδιδοὺς δὲ, καὶ εἰς εὐεργέτην καταπίπτει τὰ διδόμενα, καὶ αὖθις αὐτῶν ἀπολαύει πάλιν. ἀλλ' ἡμᾶς οὐδὲ ταῦτα ἐφέλκεται· ἀλλὰ πτώτων ἐσμὸν ἀγνωμονέστερον, οἰκέταις μὲν καὶ ἡμιόνοις καὶ ἵπποις πολλάκις χρυσᾶ πολλὰ ἐπιθέντες, τὸν δὲ δεσπότην γυμνὸν πολλάκις καὶ ῥίγους ὑπὸ θυρῶν ἀμείβοντα, καὶ ἀεὶ πρὸς ταῖς ὁδοῖς ἱστάμενον, καὶ χεῖρας ἐκτείνοντα πολλαχοῦ ἐφορῶντες, πολλάκις δὲ καὶ ἀπαντῶντες ὀφθαλμῷ, καίτοιγε καὶ τοῦτο αὐτὸ δι' ἡμᾶς γέγονεν. ἡδέως γὰρ πενᾶν, ἵνα σὺ πλουτῇς· καὶ γυμνὸς πολλάκις, ἵνα σοι πολλάκις τοῦ τῆς ἀφθαρσίας ἐνδύματος τύχῃ ὑπόθεσιν. ἀλλ' οὐδὲ ὕπνου πολλάκις ἀπολαύομεν τοῦ ὑμετέρου οὐδὲν, ἀλλὰ τὰ ἱματίων τὰ μὲν ὄντως σηπόμενα, τὰ δὲ ἄλλως τῷ χιτῶνι, καὶ πολλάκις τοῖς κεκτημένοις· ὁ δὲ καὶ ταῦτα καὶ ἄλλα πολλὰ δεδωκὼς, γυμνὸς πολλάκις. ἀλλ' οὐκ ἐν τῷ χιτῶνι αὐτὰ ἀποβλέπεθε, ἀλλ' αὐτοὶ πολλάκις γυμνοὶ καλλωπίζεσθε; καὶ τί δὲ πλέον ὑμῖν ἀπὸ τούτων; ἵνα δὲ τὸν ἀληθείαν εἴδῃ πλῆθος ὑμᾶς; καὶ τί τοῦτο; ὁ γὰρ τὸν πολλάκις σε ταῦτα θαυμάσονται, ἀλλὰ τοῖς δεομένοις πᾶν ἐγένετο. ὥστε εἰ βούλῃ θαυμάζεσθαι, ἑτέρως πολλαχοῦ μᾶλλον μελίαν ἀπολαύσῃ κρότων. τότε καὶ ὁ Θεός σε ἐπαινέσεται μετὰ τῶν ἀγγέλων· νυνὶ δὲ ἐπαινέσεται μὲν οὐδείς, φθονήσουσι δὲ ἅπαντες, τὸ μὲν σῶμα κοσμούμενον ὁρῶντες, τὸν δὲ ψυχὴν ἡμφιεσμένην ἔχοντα. οὕτω καὶ γυναῖκι πόρναις πολλάκις ὁ κόσμος, πολλάκις δὲ καὶ πολυτελέστερα καὶ φαιδρότερα πολλάκις ἐκείναις τὰ ἱμάτια· ὁ δὲ τῆς ψυχῆς κόσμος πολλοῖς οὐ δοκεῖ ζηλοῖ μόνον ἐστί. ταῦτα συνεχῶς λέγω, καὶ λέγων καὶ παύσομαι, καὶ πεινῶντων οὕτω κηδόμενος, ὡς τῶν ὑμετέρων ψυχῶν. ἐκείνοις μὲν γάρ, κἂν μὴ πρὸς ἡμῶν, ἀλλ' ὅμως ἐπέρωθεν ἔστιν ἵνα τις πολλαχοῦ ἐλεημοσύνη· κἂν μὴ δῶσιν πολλαχοῦ, ἀλλὰ λιμῷ διαφθαρῶσιν, οὐδὲν μέγα τοῦτο ζημίας αὐτοῖς. τί γὰρ ἔβλαψε τὸν Λάζαρον ἡ πενία, καὶ τὸ ὑπὸ λιμῷ τηκεσθαι; ὑμᾶς δὲ οὐδὲν ἐξαιρήσει τῆς γεέννης, ἂν μὴ τῆς πολλαχοῦ τῶν πενήτων τύχητε βοηθείας· ἀλλ' ἐρῶμεν τὰ αὐτὰ τοῦ πλουσίου, τοῦ διὰ σιτοῦ μὴ τηρωμένου, πολλαχοῦ δὲ καὶ μηδεμιᾶς τυγχάνοντος. ἀλλὰ μὴ γένοιτο μηδένα ταῦτα ἀκοῦσαι ποτε τὰ ῥήματα, ἀλλ' εἰς τοὺς κόλπους Ἀβραὰμ ἀπελθεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ομιλ. κη. 17 ΟΥ ΓΑΡ ΑΠΕΣΤΕΙΛΕΝ Ο ΘΕΟΣ ΤΟΝ ΥΙΟΝ ΑΥΤΟΥ, ΙΝΑ ΚΡΙΝΗ ΤΟΝ ΚΟΣΜΟΝ, ΑΛΛ' ΙΝΑ ΣΩΘΗ Ο ΚΟΣΜΟΣ.

Σειρ. ε. θ.

Σειρ. ιε. ιδ.

Ὅλοι τῶν ῥᾳθυμοτέρων εἰς ἁμαρτημάτων μέτρησιν καὶ ὀλιγωρίας ὑπερβολὴν τὴν τοῦ Θεοῦ κεχρημένοι φιλανθρωπίαν, ταῦτα φέρουσι τὰ ῥήματα· οὐκ ἔστι γέεννα, οὐκ ἔστι κόλασις, πάντα ὁ Θεὸς ἀφίησιν ἡμῖν τὰ ἁμαρτήματα. ὥσπερ βλασφημίζων σοφός τις ἀνὴρ φησι· Μὴ εἴπῃς, ὁ οἰκτιρμὸς αὐτοῦ πολύς, τὸ πλῆθος τῶν ἁμαρτιῶν μου ἐξιλάσεται· ὀλίγος ἔλεος καὶ ὀργὴ πρὸς αὐτόν, καὶ ἐπὶ ἁμαρτωλοῖς καταπαύσει ὁ θυμὸς αὐτοῦ. καὶ πάλιν· Κατὰ τὸ πολὺ ἔλεος αὐτοῦ πολὺς καὶ ὁ ἔλεγχος αὐτοῦ. πῶς οὖν, φησι, τὰ τῆς φιλανθρωπίας, εἰ τὰ καθ' ἑξῆς ἀποληψόμεθα τῶν ἁμαρτημάτων, ὅτι μὴ τὰ καθ' ἑξῆς ἀποληψόμεθα,

λη φόμθα, ἀκυε χ τ̃ σεφήτυ χ τ̃ Παύλυ λέγοντος· τ̃ μ̃, Οπ σὺ ἀποδώπις ἑκά- Ψαλμ. ξα. ιε.
στῳ κ̃ τὰ ἔργα αὐτυ· τ̃ ὄ, Ος ἀποδώσει ἑκάστῳ κ̃ ὃ ἔργον αὐτυ. ὁτι ὄ χ οὐ τω πολλὴ ἡ
φιλανθρωπία τ̃ Θεοῦ, χ τ̃τ̃ο ἐντεῦθεν δῆλον. εἰς γὰ δύο ζωῆς αἰῶνας τὰ ἡμέτερα διελὼν
ὁ Θεὸς τ̃τ̃ους, τόν τε πρόσοντα χ τὸν μέλλοντα βίον, χ τὸν μ̃ ἐν ἀγώνων τάξει, τὸν ὄ ἐν χώρᾳ
5 σεφθύων ποιήσας εἴη), πολλῷ καὶ ἐντεῦθεν τὴν φιλανθρωπίαν ἐπεδείξατο. πῶς δ πάνι δῆ-
λον; "ὅτι σεφάξαντας πολλὰ χ χαλεπὰ ἁμάρτηματα, χ ἀ" ἀφεληκότας ἀπὸ νεότητος εἰς Χ. διελὼν πολλῶν
ἕκατον γῆρας μυρίοις τὴν ψυχήν." καταῤῥυπαίνειν κακοῖς, οὐδενὸς τ̃τ̃ων ἀπήτησεν βρ- κ καταῤῥυ-
θμὰς ἡμᾶς τ̃ν ἁμάρτημ̃χ, ἀλλ' ἔδωκεν αὐτ̃ν ἄφεσιν ἀφὶ λούτρου παλιγενεσίας, χ δι- παίνοντας
κημοσιώσω χ ἁγιασμόν ἐχαρίσατο. πάσῃ, φησιν, ἀν ἐκ σεφότης ἡλικίας μυρίων κα-
10 τηξιωθείς ὑις μ̃ τοσ̃τα μυρία ἁμάρτη; ὁτιοῦτος λοιπὸν μείζονος κολάσεως ἄξιος. τ̃ν
γὰ αὐτ̃ν ἁμάρτημ̃χ ἀ τὰς αὐτὰς πέννυμεν δίκας, ἀλλὰ πολλῷ χαλεπωτέρας, ὅταν μ̃ τ̃ν
μυσταγωγίαν πλημμελήσωμεν. ὃ δηλοῖ Παῦλος ὅτω λέγων· Αθετήσας τις νόμον Μωϋ- Εβ. ι. κθ.
σέως, χωρὶς οἰκτιρμ̃ν ἀπὶ δυσὶ ἢ τρισὶ μάρτυσιν ἀποθνήσκει· πόσῳ (δοκεῖτε) χείρονος
ἀξιωθήσεται τιμωρίας; ὁ τ̃ν υἱὸν τ̃ Θεοῦ καταπατήσας, χ τὸ αἷμα τ̃ης διαθήκης κοινὸν ἡ- Χ. ἢ ἐφ μείζο-
15 γησάμενος, χ τὴν χάριν τ̃ πνεύματος ἐνυβρίσας; μείζονος οὖν ἔσαι κολάσεως ἄξιος ὁ νας κολάσε-
βιοὺς τος. πλὴν ἀλλ' χ τύτῳ μετανοίας ἰωέφξε θύρας, χ πολλοὺς τ̃πους ἔδωκεν εἰς τὸ ται μ̃ τὴν
ἀπονίψασθαι τὰ πεπλημμεληκότα, ἀν ἐθέλῃ. "Ταῦτ' οὖν ἐνόησον ἡλίκα φιλανθρω- χάειν ἁμάρ-
πίας δείγματα, τὸ μὲν χάριτι ἀφῆναι, χ μ̃ τὴν χάριν τ̃ν ἁμάρτόντα χ ἄξιον ὄντα κολάσεως τον.
μὴ κολάζειν, ἀλλὰ διδόναι καιρὸν χ σεφθεσμίαν ἀπολογίας αὐτ̃. διὰ ταῦτα πάντα ὁ Χ. ἐνόησον
20 Χειτὸς σεὸς τ̃ν Νικόδημον ἔλεγεν· Οὐκ ἀπέτειλεν ὁ Θεὸς τ̃ν υἱὸν αὐτ̃, ἵνα κρίνῃ τ̃ν κό- τὴν φιλ-
σμον, ἀλλ' ἵνα σώτῃ τ̃ν κόσμον. δύο γὰ εἰσιν αἱ τ̃ Χειτ̃ σεφοισίαι, ἡ ἤδη γεγενημένη, χ Ιωαν. γ. ιζ.
ἡ μέλλουσα· οὐκ ὅτι τοῖς αὐτοῖς ὄ αἱ δύο· ἀλλ' ἡ μὲν σεσέρα γέγονεν, ὑχ ἵνα ἐξεπάσῃ τὰ
σεσεγκλημένα ἡμῖν, ἀλλ' ἵνα ἀφῇ· ἡ ὄ δευτέρα, ὑχ ἵνα ἀφῇ, ἀλλ' ἵνα ἐξεπάσῃ. διὰ τ̃τ̃ο
τοι μὲν τ̃ης σεσέρας φησὶν· Οὐκ ἦλθον ἵνα κρίνω τ̃ν κόσμον, ἀλλ' ἵνα σώσω τ̃ν κόσμον.
25 τοι ὄ τ̃ης δευτέρας· Οτὰν ἔλθῃ ὁ υἱὸς ἐν τῇ δόξῃ τ̃ παντὸς αὐτυ, φησὶ τὰ μὲν σεῖατα
ἐν δξιᾷ, τὰ ἐείφια δὲ ἀριώνυμεν. καίτοιγε χ ἡ σεσέρα σοφοισία κρίσεως ἰω χ̃ τ̃
τ̃ δικαίου λόγου. διὰ τί; ὅτι σεὶ τ̃ης αὐτ̃ παρουσίας νόμος ἰω Φυσικὸς, χ σεφῆται, χ
γραφὸς πάλιν νόμος, χ διδασκαλία, χ μυεία ἐπαγγελία, χ σημείων ἐπιδείξεις, καὶ κο- Χ. διορθοῦν-
λάσεις, χ ὑμφεία, χ πολλὰ ἕτερα" διορθοῦν δυνάμενα· χ ἀκόλυθον ἰω τ̃τ̃ων πάντων ται ἰω.
30 ἁπαντῆσαι θύμως. ἀλλ' ὅπ φιλάνθρωπός ἐστιν, χ ποιᾶται ἐξέτασιν, ἀλλὰ συγχώρη- Χ. τύτων.
σιν" τέως. ἐπεὶ, εἰ τ̃τ̃ο ἐποίησεν, ἅπαντες ἂν ἀθέου αἱρπάθησαν. Παύτις γὰ ἥμαρ- Ρα. γ. κγ.
τον, φησι, καὶ ὑτερεῖται τ̃ης δόξης τ̃ Θεοῦ. Εἶδες φιλανθρωπίας ἄφατον ὑπερ-
βολήν;

18 Ο πιτεύων εἰς τ̃ν, χ κρίνεται· ὁ ὄ μὴ πιτεύων, ἤδη κέκριται. Καὶ μάλα εἰ
35 μὴ διὰ τ̃τ̃ο ἦλθεν, ἵνα κρίνῃ τ̃ν κόσμον, πῶς ὁ μὴ πιτεύων ἤδη κέκριται, εἰ μηδέπω" πά- Χ. παρέσω
ρεσι τ̃ης κρίσεως ὁ καιρός; ἢ τ̃τ̃ό φησιν, ὅτι αὐτὸ τὸ ἀπιτεῖν ἁμετανόητα, κόλασίς ἐσι (τὸ γὰ
ἐκβὸς εἶη) τ̃ φωτὸς χ καθ' αὑτὸ μείζω ἔχει τὴν τιμωρίαν) ἢ τὸ μέλλον σεσαναφωνεῖ.
καθάσερ γὰ ὁ φονεύων, κἂν μὴ τῇ ψήφῳ τ̃ κρίνατος καταδικασθῇ, τῇ τ̃ σεάγμα- Χ. ἀδίκως
τος" καταδεδίκασαι φύσει· ὅτω χ ὁ ἄπιστος. ἐπεὶ χ ὁ Αδὰμ ἡ ἡμέρᾳ ἔφαγεν ἀπὸ τοῦ
40 ξύλου, ἀπέθανεν. ὅτω γὰ χ ἡ ἀπόφασις εἶχεν· ἧ γὰ ἡμέρᾳ φάγητε ἀπὸ τ̃ ξύλου, ἀ-
ποθανεῖσθε· καίτοι ἔζη. πῶς οὖν ἀπέθανε; τῇ ἀποφάσει, τῇ τ̃ σεάγματος φύσει. ὁ
γὰ ἑαυτ̃ θάνατον ἑαυτὸν τῇ κολάσει ποιήσας, ἑαυτὸ τὴν τιμωρίαν ὀφί, κἂν μὴ τῷ σεάγ- Χ. ἐπιτρέφει
ματι πίῃς, ἀλλὰ τῇ ψήφῳ. ἵνα γὰ μὴ ἀκύσας τις, ὅτι οὐκ ἦλθον κρίναι τ̃ν κόσμον, ἀπ-
μφρητί νομίσῃ ἀμύτητον εἶναι, χ ῥᾳθυμότερος γένηται· χ τοῦτον" ἀποτιχίζει τὴν ὀλιγωρί-

ἀν, λέγων, ἤδη κέκριται. ὅπερ γὰρ ἔμελλεν ἡ κρίσις, καὶ ὅπου παρῶ, ἐκεῖ ἀγαθὸν φόβον τῆς τιμωρίας, καὶ δείκνυσιν ἤδη τοῖς κόλασιν. καὶ τοῦτο οὐκ αὐτὸ πολλῆς φιλανθρωπίας ἐστί, τὸ, μὴ μόνον δοκῶν τὸν υἱόν, ἀλλὰ καὶ τὸν τῆς κρίσεως αὐτὸν καθεδεῖν, ἵνα γνῶσιν ἀξιοῦσι τοῖς ἡμαρτηκόσι καὶ τοῖς ἀπιστοῦσιν ἀπονίψασθαι τὰ πεπλημμεληκότα. ὁ πιστεύων εἰς τὸν υἱὸν οὐ κρίνεται. ὁ πιστεύων, οὐκ ὀφείλεται. ὁ πιστεύων, οὐκ ὑπόδικος. ὁ πιστεύων, οὐκ ὑπόλυτος ἁμαρτιῶν. Τί οὖν, δὴ ἀκάθαρτον βίον ἔχῃ καὶ πολλὰς ὀφλήσεις ὀκνῶν ἀγαθὰς; μᾶλλον μὲν τοιούτους, οὐδὲ γνησίους Τit. a. 15. εἶναι πιστοὺς ὁ Παῦλός φησι· Θεὸν γὰρ ὁμολογοῦσιν εἰδέναι, τοῖς δὲ ἔργοις ἀρνοῦνται. πολὺ δὴ τοῦτο ἐκεῖνό φησιν, ὅτι καὶ αὐτὸ τὸν οὐ κρίνει. ἀλλὰ τῷ μὴ ἔργων χαλεπωτέραν δώσει δίκην, ἀπιστίας δὲ ἕνεκεν οὐκ ὀλίγης ἄπαξ. ὁρᾷς πῶς ἀπὸ φοβερῶν ἀρξάμενος, εἰς αὐτὰ δὴ ταῦτα πάλιν τὸν λόγον κατέληξεν; ἀρξάμενος μὲν γάρ φησιν· ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος καὶ πνεύματος, οὐ μὴ εἰσέλθῃ εἰς τὴν βασιλείαν τοῦ Θεοῦ· ἐνταῦθα δὲ πάλιν, ὁ μὴ πιστεύων εἰς τὸν υἱόν, ἤδη κέκρι). μὴ γὰρ δὴ νομίσῃς, φησί, τὴν ἀναβολὴν ὠφελεῖν τὸν ὑπεύθυνον ἤδη γεγονότα, ἐὰν μὴ μεταβάλλῃ). τῷ γὰρ ἤδη καταδικασθέντων καὶ κολαζομένων οὐδὲν ἄμεινον ἀφεῖσθαι) ὁ μὴ πιστεύσας.

19 Αὕτη δέ ἐστιν ἡ κρίσις, ὅτι τὸ φῶς εἰς τὸν κόσμον, καὶ ἠγάπησαν οἱ ἄνθρωποι μᾶλλον τὸ σκότος, ἢ τὸ φῶς. Ὃ δὲ λέγει τοιοῦτόν ἐστι· διὰ τοῦτο κολάζονται, ὅτι σκότος ἀφῆναι, καὶ φωτὶ προσδραμεῖν οὐκ ἠβουλήθησαν. ὑπὲρ ταῦτα γὰρ λοιπὸν καὶ ἀπολογίας αὐτοὺς ἀποστερᾷ πάσης. Εἰ μὲν γὰρ ἦλθον κολάζων, φησί, καὶ ἀπαιτῶν βάθους τῶν πεπραγμένων, εἶχον εἰπεῖν, ὅτι διὰ τοῦτο ἀπεπηδήσαμεν. νυνὶ δὲ ἦλθον ἀπαλλάξαι τοῦ σκότους, καὶ πρὸς φῶς ἀγαγεῖν. τίς οὖν τὸν μὴ βουλόμενον ἀπὸ σκότους φωτὶ προσελθεῖν ἐλεήσειεν ἄν; οὐδὲν γὰρ ἔχοντες ἡμῖν ἐγκαλεῖν, ἀλλὰ μυρία ὑπεργεγυμνωμένοι, φησίν, ἀπιπηδῶσιν ἡμῶν. τοῦτο καὶ ἀλλαχοῦ ἐγκαλῶν ἔλεγε, Οἱ ἐμίσησάν με δωρεάν. καὶ πάλιν· Εἰ μὴ ἦλθον, καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον. ὁμοῦ γὰρ ἐν ἀπουσίᾳ φωτὸς ἐν σκότῳ καθήμενος, ἴσως ἂν συγνώμην εἶχεν· ὁ δὲ μετὰ τὴν παρουσίαν αὐτοῦ τῷ σκότει προσεδρεύων, διεστραμμένης γνώμης καὶ φιλονείκου τεκμήριον ἐκφέρει καθ' ἑαυτοῦ. Εἶτα, ὅπερ ἐδόκει ὂν ἐγκλημάτων ἄπιστον εἶναι τοῖς πολλοῖς (οὐδεὶς γὰρ ἂν σκότος προσιμήσατο φωτός) πίθησι καὶ τὴν αἰτίαν, ἀφ' ἧς τοῦτο ἔπαθον. τίς οὖν ἐστιν αὕτη;

Ἦν γὰρ αὐτῶν, φησι, πονηρὰ τὰ ἔργα. 20 Πᾶς γὰρ ὁ τὰ φαῦλα πράττων, μισεῖ τὸ φῶς, καὶ οὐκ ἔρχεται πρὸς τὸ φῶς, ἵνα μὴ φανερωθῇ αὐτοῦ τὰ ἔργα.

Καὶ μοι δὲ κρίνων οὐδὲ ἐξετάζων ἦλθεν, ἀλλὰ συγχωρῶν καὶ ἀφιεὶς τὰ πλημμεληθέντα, καὶ ἀπὸ πίστεως σωτηρίαν δίδους. πῶς οὖν ἔφυγεν; Εἰ μὲν γὰρ δικαστήριον ἐλθὼν ἐκάθισεν, εἶχέ τινα λέγειν τὸ εἰρημένον. ὁ γὰρ πονηρὰ ζωγραφῶν ἑαυτῷ, καὶ δικάζοντα φεύγειν εἰκὸς· τῷ δὲ συγχωροῦντι καὶ προστρέχουσιν οἱ πεπλημμεληκότες. Εἰ τοίνυν συγχωρῶν ἦλθε, τοῦτον μάλιστα προσδραμεῖν αὐτῷ εἰκὸς ἦν, τὸν πολλὰ ζωγραφοῦντα ἑαυτοῖς ἁμαρτήματα, ὅπερ οὖν καὶ ὅτι πολλῶν γέγονε. καὶ γὰρ καὶ πολῶναι καὶ ἁμαρτωλοὶ ἐλθόντες συνανέκειντο τῷ Ἰησοῦ. τί οὖν ἐστι τὸ λεγόμενον; ὅτι τῶν αἰσθομένων ἑαυτοὺς ἐν κακίᾳ μενόντων ταῦτά φησιν. αὐτὸς μὲν γὰρ διὰ τοῦτο ἦλθεν, ἵνα τὰ μὲν προτέρα ἀφῇ ἁμαρτήματα, προσέχῃ δὲ τοῖς μέλλουσι ἀσφαλίσεσθαι). ὅπερ δὲ τινές εἰσιν οὕτω χαῦνοι καὶ ἐκλελυμένοι πρὸς τοῦτο * τῆς ἀρετῆς πόνους, ὡς εἰς ἐκείνας ἀναπνοὰς βούλεσθαι προσεδρεύειν τῇ πονηρίᾳ καὶ μηδέποτε αὐτῆς ἀφίστασθαι, τοῦτον ὑπισχνεῖται ἐνταῦθα" δηλοῖ. ὅπερ γὰρ ὁ χειρισμὸς" καὶ ὁ τῆς τοῦ δόγματος ὀρθότητος, καὶ πολιτείαν ὑγιαίνουσαν ἀπαιτεῖ, διδάσκει, φησί, μεταθέσθαι πρὸς ἡμᾶς, ὅπερ μὴ βούλον) βίον ὀρθὸν ὑποδείξασθαι. ὁ μὲν γὰρ ἐν ἐλλείψει ζῶντα οὐδεὶς ἂν διελέγξειεν. ὁ γὰρ θεοὺς τοιούτους ἔχων, καὶ ἑορτὰς ὁμοίως τοῖς θεοῖς αἰσχρὰς καὶ καταγελάστους, ἄξια τῶν δογμάτων καὶ τὰ ἔργα ὑποδείκνυται· ὁ δὲ τοῦ Θεοῦ,

ῥᾳθύμως

ῥᾳθύμως ζῶντες, ἀπόνως δὲ διώκοντας ἔχοιεν ἂν καὶ ἡγεμόνας. τοσοῦτον δὲ τοῖς ἐμφρονοῖς τῆς ἀληθείας ἐστὶ δῆλα. ὅρα τοίνυν πῶς μὴ ἀκριβείας τί θησιν ὁ Φησιν. οὐ γὰρ εἶπεν, ὁ φαῦλα πεφάξας οὐκ ἔρχεται· πρὸς δὲ φῶς, ἀλλ' ὁ πεφάσων ἀεί, τουτέστιν, ὁ ἀεὶ βουλόμενος "ἐκκυλισθῆναι τῆς ἀμφίτιας βορρόρω, οὐ βούλεται νόμοις ἑαυτὸν ὑποβάλλειν τοῖς ἐμοῖς, ἀλλ' ἐξω μόνων πορνεύειν μετ' ἀδείας, καὶ τὰ ἄλλα πάντα πεφθεῖν τὰ κεκωλυμένα. ἐνταῦθα γὰρ ἐλθών, ὡς ἐν φωτὶ κλέπτης, καταδηλος γίνεται· διὰ ταῦτα τὴν ἀρχὴν φύγῃ τὴν ἐμὴν. πολλῶν χάριν ἔστιν ἀκοῦσαι καὶ νῦν ἑλλιμένων λεγόντων, διὰ τοῦτο μὴ δύνασθαι πρὸς τὴν πίστιν τὴν ἡμετέραν ἐλθεῖν, διὰ δὲ μὴ δύνασθαι μέθης καὶ πορνείας καὶ τῶν τοιούτων ἀφίστασθαι πλημμελημάτων. Τί οὖν, φησιν; οὐκ εἰσί καὶ χριστιανοὶ φαῦλα πεφάσοντες, καὶ ἕλληνες ἐν φιλοσοφίᾳ ζῶντες; χριστιανοὶ μέν· ὅτι φαῦλα πεφάσοντές εἰσιν, οἶδα κἀγώ· εἰ δὲ καὶ ἕλληνες ὀρθῶς βιοῦντες, τοῦτο οὐκέτι οἶδα σαφῶς. μὴ γάρ μοι τοῦτο ἀπὸ φύσεως εἴπῃς ἐπιχειρεῖς καὶ κοσμίως (οὐ γὰρ δίδει τοῦτο ἀρετή) ἀλλ' εἰπὲ μοι πολλῷ ἀπὸ τῶν παθῶν ἀπορρύονται βίᾳ, καὶ φιλοσοφοῦντα. ἀλλ' οὐκ αὖ ἔχοις. εἰ γὰρ βασιλείας ἐπαγγελία, καὶ γεέννης ἀπειλή, καὶ ἄλλη "ἐπιμέλεια τοσαύτη, μόλις κατέχουσι τοῦ αὐθεφτοῦς οὐ φιλοσοφίᾳ, σχολῇ γ' ἂν ἐκεῖ μηδενὸς πεπεισμένοι τούτων μετέλθοιεν ἀρετήν. εἰ δὲ ἕλληνες καὶ ἀπορρίνονται δόξης ἕνεκεν τοῦτο. ποιοῦσιν· ὁ δὲ δόξης ἕνεκα τοῦτο ποιῶν, ὅταν δόξῃ λαθεῖν, οὐ φείσεται τοῦ χρήσασθαι ταῖς ἐπιθυμίαις τῇ πονηρᾷ. πλὴν ἀλλ' ἵνα μὴ δόξωμεν ἡμῖν εἶναι φιλόνεικοι, συγχωρήσωμεν ὀρθῶς βιοῦν αὐτούς. εἰ οὐ ἕλληνισον. οὐδέποτε γὰρ τοῦτο συνωποδύσαι τῷ λόγῳ. ὃ γὰρ ὅτι πολὺ συμβαῖνον εἶπον, οὐ τὸ καθ' ἑκάστους γινόμενον. ὅρα δὲ καὶ ἑτέρωθεν πῶς πάσης ἀποστερεῖ ἀπολογίας αὐτοὺς εἰπών, ὅτι ἦλθε τὸ φῶς εἰς τὸν κόσμον. μὴ γὰρ αὐδί, φησιν, αὐδὲ ἐζήτησαν; μὴ γὰρ ἔκαμον; μὴ γὰρ ἐπόνησαν ἵνα θύρωσιν; αὐδὲ τὸ φῶς ἦλθε πρὸς αὐτούς, καὶ σαφῶς ἑαυτὸ προσέδραμον. εἰ δέ τινες καὶ παρὰ χριστιανοῖς εἶεν πονηροὶ βιοῦντες, ἐκεῖνο μὲν εἰποιμι, ὅτι οὐ περὶ τῶν ἐξ ἀρχῆς ἡμομένων χριστιανῶν καὶ οὐ προηγόνων ἀγαθῶν τὴν εὐσέβειαν τοῦτο φησιν (εἰ δὲ καὶ μάλιστα καὶ ὅτοι πολλάκις ἀπὸ βίου πονηροῦ ἐκ τῆς τῶν δογμάτων ἀκριβείας πρὸς σωτηρίαν ἦσαν) ἀλλ' ὅμως καὶ περὶ τούτων "αὐτὸν οἶμαι νῦν λέγειν, ἀλλὰ περὶ τῶν ἐξ ἑλλήνων ἢ Ιουδαίων ὀφειλόντων πρὸς τὴν ὀρθὴν πίστιν "ἐλθεῖν. δείκνυσι γὰρ ὅτι οὐδεὶς ἐδύνατο ἐν πλανῇ ζῶν ὅτι τὴν πίστιν ἐλθεῖν, μὴ πρότερον μεταχαράξας ἑαυτοῦ βίον ὀρθόν. ἐὰν οὐδεὶς δὲ ἐν ἀπιστίᾳ μείνειε, μὴ πρότερον ἐλόμενος δόγματος εἶναι κακός. μὴ γάρ μοι τοῦτο εἴπῃς· ὅτι σωφρονῶ, καὶ οὐχ ἁρπάζει. ἐγὼ δὲ μόνα ταῦτά ἐστιν ἀρετή. τί γὰρ ὄφελος, ὅταν μὲν ταῦτα μὲ ἔχῃ, δόξης δὲ ἡ δουλος κενῆς, καὶ φίλων ἑταιρείαν ἀχρυνόμενος ὅτι τῆς πλάνης μένῃ; ὅτι γὰρ οὐκ ἔστιν ὀρθῶς βιοῦν. ὁ γὰρ δόξης δοῦλος, ὅτι πορνεύοντος οὐκ ἐλάττων ἐστίν· ἔστι πολλῷ πλείονα καὶ χαλεπώτερα ἐργάζεται* ἐκείνου. ἀλλ' εἰπέ μοι τινα πάντων ἀπηλλαγμένον τῶν παθῶν καὶ πάσης κακίας ἐλεύθερον, καὶ μένοντα πρὸς ἕλληνισμόν. ἀλλ' οὐκ ἂν ἔχοις. καὶ γὰρ οἱ τὰ ἐναντία λαμπάζοντες, καὶ χρημάτων καὶ γαστρὸς πεφυσιωμένοι, καθάπερ φασί, δόξῃ μάλιστα πάντων αὐθεφτων ἐδουλώθησαν, ὃ πάντων ἐστὶν αἴτιον τῶν κακῶν. οὕτω καὶ οἱ Ιουδαῖοι μεμνήκασιν Ιουδαῖοι· διὰ καὶ ἐκάλουν αὐδεῖς ἔλεγε· Πῶς δύνασθε πιστεύειν, δόξαν παρὰ αὐθεφτων λαμβάνοντες; ἢ τί δήποτε ὦ Ναθαναήλ, ᾧ καὶ ἀληθῶς ἐμαρτύρησεν, οὐ διελέχθη πρὸς τούτων, οὐδὲ ἐξέπεινε λόγον μακρόν; ὅτι οὐδὲ ἐκεῖνος μὴ τοσαύτης πρὸς εἶχετο ἀσυνδησης. οὐδὲ μὲν γὰρ τοῦτο ἔρχεται ἔθετο, ἢ ὅτι ἄλλοι καιρὸν ἀναπαύσεως εἶχον, τοῦτον οὐδὲ καιρὸν ἀκροάσεως ἐποιήσατο· ἐκεῖνος δὲ πρὸς ἕτερα πειθεὶς, ἀφίκετο. πλὴν οὐδὲ ἐκεῖνον πρὸς ἑαυτὸν ἔδραμε. πρὸς γὰρ ἐκεῖνόν φησιν· Ἀπ' ἄρτι ὄψεσθε οὐρανὸν ἀνεῳγμένους, καὶ τοὺς ἀγγέλους τοῦ Θεοῦ ἀναβαίνοντας καὶ καταβαίνοντας ὅτι ἐμὲν τὸν αὐθεφτον, τοῦτο δὲ τούτων μὲν οὐδὲν εἶπε, πρὸς δὲ τῆς οἰκονομίας καὶ τῆς ἀϊδίου ζωῆς διαλέγεται; διαφέρως ἐκεῖ

Ιωαν. α. να.

ἑκάστῳ τοὺς τὴν ὑποκειμένην προαίρεσιν φιλοῦντας. ἐκείνῳ μὲν γὰρ, ὅπου καὶ τὰ τῶν προφητῶν ἥπτετο, καὶ οὐδὲ δειλὸς ὅτως ἦν, ἤρκει τοσοῦτον ἀκοῦσαι μόνον· οὗτος δὲ, ὅπου δειλία ἐπὶ κατεῖχετο, σαφῶς μὲν αὐτὰ τὸ πρᾶγμα οὐκ ἐξεκάλυψε, κατέσεισε δὲ αὐτὰ τὴν γνώμην, ὥστε φόβῳ φόβον ἐκβαλεῖν, τόν τε μὴ πιστεύοντα λέγων κρίνεσθαι, καὶ τὸ μὴ πίστις οὖσιν ἀπὸ ποινηρᾶς γίνεσθαι συνειδήσεως. ὅπου γὰρ καὶ τῆς πράξεως τῶν ἀνθρώπων δόξης πολλοὶ ἐποιοῦντο λόγον, ἢ ταύτης μᾶλλον ἢ τῆς κολάσεως (πολλοὶ γάρ, φησι, τῶν ἀρχόντων ἐπίστευσεν εἰς αὐτόν· ἀλλ' οὐκ Ἰουδαίους ἦν ὁμολογεῖν) καὶ ἀπὸ ταύτης αὐτὸν καθαίρεται, λέγων· ὅτι οὐκ ἔνεστι ἐμοὶ μὴ πίστις οὖσιν τὰ ἄλλα μὴ πιστεύειν, ἀλλ' ἢ ἀλλὰ τὸ βίον ἀκαθάρτον ἔχειν. καὶ τοιοῦτόν μού φησιν, Ἐγώ εἰμι τὸ φῶς· εἰ ταῦτα οὖν, ἦλθε τὸ φῶς εἰς τὸν κόσμον. εἰ γὰρ τοῖς μιαροῖς συνεσκιασμένως μᾶλλον ἐφέρετο, τοιοῦτόν οὖν, σαφέστερον. Ἀλλ' ὅμως ὑπὸ τῆς δόξης ὁ ἄνθρωπος κατεῖχε τῆς τῶν πολλῶν, ὥστε οὐδὲ παῤῥησιάζεσθαι ἠνείχετο ὡς ἐχρῆν.

ΗΘΙΚΟΝ Φεύγωμεν τοίνυν τὴν κενὴν δόξαν· τοῦτο γάρ ἐστι πάντων τὸ πάθος τυραννικώτερον. ἐντεῦθεν πλεονεξία καὶ χρημάτων ἔρως, ἐντεῦθεν μῖσος καὶ πόλεμοι καὶ μάχαι. ὁ γὰρ τοῦ πλείονος ἐρῶν, ἀδαμαντίνων ἂν δικῶν ἐστερημένος. ἐρᾷ δὲ ἀδαμάντων ἄλλοθεν, ἀλλ' ἢ ἀπὸ τῆς δόξης ἐρᾷν κενῆς. λίνος γὰρ ἔνεκεν, εἰπέ μοι, πλῆθος θυνούχων καὶ ἀνδραποδῶν ἀγέλας, καὶ πολλῷ ἂν πολλοὶ προσβάλλονται φαντασίαν; ἀχρείας ἕνεκεν, ἀλλ' ἐπὶ τοῦ μάρτυρας ἔχειν τῆς ἀκαίρου ταύτης φαντασίας τοὺς ἀποθνῄσκοντας. ἀλλ' ποίνιον ταύτην ἀποτέμωμεν μᾶλλον τῆς κεφαλῆς, καὶ τὰ λοιπὰ τῆς κακίας· ἀνελώμεθα μέλη, καὶ ὀφθῶμεν· τὸ κωλύσον ἔσαι τοῦ γέλωτος ὅτως ἡμᾶς οἰκεῖν ὡς ἀνθρώπους. οὐδὲ γὰρ τοσοῦτον κακίαν μόνον ὠθεῖ τοὺς ἁλόντας, ἀλλὰ καὶ τὰς ἀρετὰς πρυφέσηκε· καὶ, ὅταν ἡμᾶς ἐκεῖθεν ἐκβαλεῖν μὴ δυνηθῇ, ἐν αὐτῇ τῇ ἀρετῇ πολλοῦ τοῦ ζημίου ἐργάζεται), τοὺς μὲν πόνους ἐάσας ἰδίους ἀναγκάζουσα, τὸν δὲ καρπὸν ἀποστεροῦσα. ὁ γὰρ τοῖς τοιούτοις βλέπων, καὶ νηστεύων καὶ θρηνῶν καὶ ἐλεῶν, ἀπέχει μισθὸν αὐτῶν τὴν τούτοις ζημίαν ἐλεεινότερον ἡγοῦντο· δοῦλον, ἢ ὅταν συμβαίνῃ κόπτεσθαι εἰκῇ καὶ μάτην, καὶ καταγέλαστον γίνεσθαι, καὶ τῆς δόξης ἐκπίπτειν δίκης· ὃ γάρ ἐστιν ἀμφοτέρων ἐφιέμενον, ἀμφοτέρων τυγχάνειν. τυγχάνει μὲν γὰρ ἐστιν ἀμφοτέρων, ὅταν μὴ ἀμφοτέρων, ἀλλὰ τῆς μιᾶς ἐπιθυμῶμεν τῆς ἐκ τοῦ θεάτρου· ἀμφοτέρων δὲ ἐρῶντα οὐκ ἔστιν ἀμφοτέρων τυγχάνειν. διόπερ, εἰ βουλόμεθα δόξης ἐπιτυγχάνειν, φεύγωμεν τὴν ἀνθρωπίνην δόξαν, καὶ τῆς παρὰ τοῦ Θεοῦ μόνης ἐπιθυμῶμεν. οὕτω γὰρ καὶ ταύτης, κἀκείνης ἐπιτυχόντες ἐσόμεθα· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, διʼ οὗ καὶ μεθʼ οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ομιλ. κθ. 22 ΕΞΗΛΘΕ ΔΕ ΕΙΣ ΤΗΝ ΙΟΥΔΑΙΑΝ ΓΗΝ αὐτὸς καὶ οἱ μαθηταὶ αὐτοῦ, καὶ ἐκεῖ διέτριβε μετ' αὐτῶν. [καὶ ἐβάπτιζεν.]

Ὀργὴν τῆς ἀληθείας φιλοτιμότερον ἦν ἰσχυρότερον ἡγοῦντο αὐτοί, ὥσπερ τοῦ ψεύδους οὐδὲν ἀσθενέστερον, κἂν μυρίοις τραπεζώμασι συσκιάζηται. εὐφραδέστατόν τε γὰρ ἐστι καὶ ὅτῳ τύχῃ, καὶ καταῤῥᾴδιον. ἡ δὲ ἀλήθεια γυμνὴ προέκειτο πᾶσι τοῖς βουλομένοις αὐτῆς τὴν ὄψιν ἀσκοπεῖν, καὶ ὅτε λανθάνειν βούλεται, ὅτε κίνδυνον δέδοικεν, οὐκ ὀπίσω λαβοῦσα τὴν ἑαυτῆς δόξης ἐφίεται τῆς παρὰ τῶν πολλῶν, οὐκ ἄλλῳ τινὶ τῶν ἀνθρωπίνων ὅτι βούλεται, ἀλλὰ πάντων ἔσχεν αὐτοτέρω, δεχομένη μὲν μυρίας ὑποβουλάς, ἰδιοῦσα δὲ ἀκαταγώνιστος, καὶ οὐ τοῖς αὐτῶν καταφεύγουσα, ὥσπερ οὐκ ἀσφα-

λῶς

λῆ τειχίῳ φυλάττουσα τὴν τῆς οἰκείας δωμάτεως ἀσφάλειαν, καὶ ἂν μὴ λαθραίως ἐκτεπυμένη καταδύσεις, πᾶσι ὀφθεῖσα τοῖς πέριξ ἑαυτῆς. τοῦτο γοῦν καὶ ὁ Χριστὸς ἐν Πιλάτῳ διαλεγόμενος ἔλεγεν· Ἐγὼ πώποτε παῤῥησίᾳ ἐλάλησα τῷ κόσμῳ· ἐγὼ δὲ ἐν" κρυφῇ ἐλάλησα οὐδέν. τοῦτο καὶ τότε εἶπε, καὶ νῦν ἔφασκε. "μὴ γὰρ ἐν κρυπτῷ, φησίν," ἐξῆλθεν εἰς τὴν Ἰουδαίαν μόνος αὐτὸς καὶ οἱ μαθηταὶ αὐτοῦ, καὶ οὐκ διέτριβε καὶ ἐβάπτισεν. οὐ μὴν γὰρ ταῖς ἑορταῖς εἰς τὴν πόλιν ἐλήλυθε, ὥστε ἐν μέσοις αὐτοῖς τοσοῦτον τὰ δόγματα καὶ τὴν ἀπὸ τῶν θαυμάτων ὠφέλειαν μὴ ὀφθῆναι τὰς ἑορτάς, ὅτε τοῖς Ἰουδαίοις πολλαχοῦ ἦρχετο, ὅτε δὲ ἐν ταύτῃ πολλοὶ συνέτρεχον. τὸν γὰρ πολυοχλοῦντας ἀεὶ καταλάμβανε τόπους, οὐκ ἐπιδεικνύμενος, οὐδὲ φιλοτιμούμενος, ἀλλὰ πλείοσι τὴν πρὸς ἑαυτὸν παρέχειν ὠφέλειαν σπουδάζων. καίτοι τοσοῦτόν φησιν ὁ εὐαγγελιστής, ὅτι ὁ Ἰησοῦς οὐκ ἐβάπτισεν, ἀλλ' οἱ μαθηταὶ αὐτοῦ· ὅθεν δῆλον, ὅτι οὐ ταύτῃ τοῦτό φησι. καὶ τίνος ἕνεκεν" αὐτὸς οὐκ ἐβάπτισε; τοσοῦτον Ἰωάννης εἶπεν· ὅτι αὐτὸς ὑμᾶς βαπτίσει ἐν πνεύματι ἁγίῳ καὶ πυρί· πνεῦμα δὲ ὅπου ἐθέλει πνεῖ. εἰκότως οὖν οὐκ ἐβάπτισεν· οἱ δὲ μαθηταὶ τοῦτο ἐποίησαν, βουλόμενοι πολλοὺς" τοσούτους ἀγαγεῖν τῇ σωτηρίῳ διδασκαλίᾳ. καὶ τί δήποτε, τῶν μαθητῶν τοῦ Ἰησοῦ βαπτιζόντων, οὐκ ἐπαύσατο ὁ Ἰωάννης τοῦτο ποιῶν, ἀλλὰ μεμφόμενος βαπτίζων καὶ αὐτὸς, καὶ μέχρι τῆς εἰς τὸ δεσμωτήριον εἰσαγωγῆς τοῦτο ἐποίησε; τὸ γὰρ εἰπεῖν, ἐν ᾧ καὶ Ἰωάννης βαπτίζων ἐν Αἰνών, καὶ ἐπαγαγεῖν, ὅτι

24 Οὔπω γὰρ βεβλημένος εἰς τὴν φυλακὴν ὁ Ἰωάννης, Δηλονότος ἐν, ὅτι ἕως τότε οὐκ ἐπαύσαντο βαπτίζοντες. "τίνος οὖν ἕνεκεν ἕως τότε ἐβάπτισε; καίτοιγε σεμνοτέρους δὴ ἀπέφηνε τοὺς μαθητὰς τοῦ Ἰησοῦ, εἰπών, ἐκείνων ἀρξαμένων, αὐτὸς ἐπαύσατο. τίνος" οὖν ἕνεκεν ἐβάπτισεν; ἵνα μὴ τοὺς ἑαυτοῦ μαθητὰς εἰς πλείονα ζῆλον" ἐμβάλῃ καὶ φιλονεικοτέρους ἐργάσηται. εἰ γὰρ μυριάκις βοᾷν, καὶ τῶν πρωτείων ἀεὶ τοῦ Χριστοῦ παραχωρῶν, καὶ τοσοῦτον ἑαυτὸν ἐλαττῶν, οὐκ ἔπεισεν αὐτοῖς πρόσκαιρον· εἰ καὶ τοῦτο πρός τινα ἔσχε, πολλῷ φιλονεικοτέρους δὴ ἐποίησε. Διὸ καὶ τοῦτο καὶ ὁ Χριστὸς τότε μάλιστα ἤρξατο κηρύττειν, ὅτε ἀνεπόδην" ὁ Ἰωάννης ἐγίνετο. οἰκονομῶν δὲ καὶ διὰ τοῦτο συγχωρηθῆναι τὸν τελευτὴν Ἰωάννου καὶ παχῦναι αὐτοῦ τὴν ἀκοήν, ὥστε πᾶσαν τοῦ πλήθους τὴν δόξαν ἔτι τὸν Χριστὸν μετελθεῖν, καὶ μηκέτι ταῖς πρὸς ἀμφοτέρων αὐδαῖς σχίζεσθαι γνώμας. χωρὶς δὲ τούτων καὶ ἐν ᾧ βαπτίζειν οὐκ ἐπαύσατο συνεχῶς πολλαπλῶν, καὶ μεγάλα καὶ σεμνὰ δείκνυε τὰ τοῦ Ἰησοῦ. ἐβάπτιζε γάρ, οὐδὲν ἕτερον λέγων, ἢ εἰς τὸν ἐρχόμενον μετ' αὐτὸν ἵνα πιστεύσωσιν. ὁ τοίνυν" ταῦτα κηρύττων, πῶς δὴ σεμνοὺς ἀπέφηνε τοὺς μαθητὰς τοῦ Χριστοῦ παιδαρίων; ἐπὶ γὰρ τοιούτῳ ἂν ἐδόξεν ζήλῳ ἢ ὀργῇ τοῦτο ποιῆν· " ὃ δὲ ὅπερ ἐφθάνομεν κηρύττων, ἐμφαίνεσθαι ταῦτα ἀπέφαινεν. οὐ γὰρ ἑαυτῷ τὴν δόξαν ἐκπαῖον, ἀλλὰ τῷ Χριστῷ πρὸ ἔπεμπε τοὺς ἀκροωμένους, καὶ οὐχ ἥπτον τῶν μαθητῶν" αὐτῷ συνέσπαιρεν, ἀλλὰ καὶ πολλῷ μᾶλλον, ὅσῳ καὶ μείζων ἡ μαρτυρία ἦν, καὶ πολλῷ μείζονα δόξαν ἐπὶ πᾶσιν εἶχεν ἐκείνων. ὅπερ οὖν καὶ ὁ εὐαγγελιστὴς αἰνιττόμενος ἔλεγεν, ὅτι ἐξήρχοντο καὶ ἐβαπτίζοντο πρὸς αὐτὸν πᾶσα ἡ Ἰουδαία καὶ οἱ περίχωροι τοῦ Ἰορδάνου· καὶ τῶν μαθητῶν ὁ βαπτιζόντων, οὐ διέλιπον πολλοὶ πρὸς αὐτὸν τὴν ἔχοντες. Εἰ δέ τις ἀξιοπαθοῖ· ἐπὶ τί πλέον εἶχε τὸ τῶν μαθητῶν* βάπτισμα τοῦ Ἰωάννου; ἐροῦμεν, ὅτι οὐδέν. ἐκάτερα γὰρ ὁμοίως τῆς ἐκ τοῦ πνεύματος χορηγίας ἀμοιρεῖ, καὶ αἰτία μία ἀμφοτέροις τοῦ βαπτίζειν, τὸ τοῦ Χριστοῦ προσάπτειν τοὺς βαπτιζομένους. ἵνα γὰρ μὴ ἀεὶ προσέχοντες οὕτω σώσωσι τοὺς ὀφείλοντας πιστεύειν, ὅπερ ὅτι τοῦ Σίμωνος ὁ ἀδελφὸς ἐποίησε, καὶ ὅτι τοῦ Ναθαναὴλ ὁ Φίλιππος, ὃ βαπτίσαι συνεχώρησαν, ὥστε δι' αὐτοῦ ἀπομαθεῖν ἐπαγγελθαι ἀπόντι, καὶ τῇ μιμουσῃ προσοδοποιῆν πίστει. ὅτι δὲ οὐδὲν πλέον εἶχεν ἀλλήλων τὰ βαπτίσματα, τὰ ἐγκλήματα δηλοῖ. ποῖα δὴ ταῦτα;

25 Ἐγένετο

25 Ἐγένετο, φησι, ζήτησις ἐκ τῶν μαθητῶν Ἰωάννου μετὰ Ἰουδαίου περὶ καθαρισμοῦ. Ζηλοτύπως γὰρ ἔχοντες ἀεὶ πρὸς τοὺς τοῦ Χριστοῦ μαθητὰς ⓐ μαθηταὶ Ἰωάννου, πρὸς αὐτόν τι ⓦ Χριστὸν, ὅπερ εἶδον αὐτοὺς βαπτίζοντας, ἤρξαντο διαλέγεσθαι πρὸς τοὺς βαπτιζομένους, ὡς τοῦ περὶ αὐτοῦς βαπτίσματος πλέον τι τῶν μαθητῶν τοῦ Χριστοῦ ἔχοντος· ⓒ λαβόντες ἕνα τῶν βαπτισθέντων, ἐπεχείρουν τοῦτον πείθειν· ἀλλ' οὐκ ἔπειθον. ὅτι γὰρ αὐτοῖς ⓐ ὑποδραμόντες εἰσὶν, ἀλλ' οὐκ ἐκφανὲς ἐζήτησεν, ἄκυρον πῶς τοῦτο ὁ εὐαγγελιστὴς ἠνίξατο. οὐ γὰρ εἶπεν, ὅτι Ἰουδαίου τινὸς μετ' αὐτῶν ἐζήτησεν, ἀλλ' ὅτι ζήτησις ἐκ τῶν μαθητῶν Ἰωάννου ἐγένετο μετὰ Ἰουδαίου τινὸς περὶ καθαρισμοῦ. σκόπει δέ μοι καὶ ὃ αἰνιγματώδες τοῦ εὐαγγελιστοῦ. οὐ γὰρ καταφορικῶς ἐχρήσατο τῷ λόγῳ, ἀλλ' ἴσον δυνάμει, ὥστε μυθεῖται ὃ ἔγκλημα, ζήτησιν γενέσθαι ἁπλῶς λέγων· ἐπεὶ ὅτι γε ἀπὸ ζηλοτυπίας ἐλέγετο καὶ λεγόμενα, καὶ ἐξῆς δηλοῖ, ἃ καὶ αὐτὰ αἰνιγματωδῶς τέθεικεν.

26 Ἦλθον γάρ, φησι, πρὸς ⓦ Ἰωάννην καὶ λέγουσι, Ῥαββεὶ, ὃς ἦν μετὰ σοῦ πέραν τοῦ Ἰορδάνου, ᾧ σὺ μεμαρτύρηκας, ἴδε οὗτος βαπτίζει, καὶ πάντες ἔρχονται πρὸς αὐτόν·

Τουτέστιν, ὃν ἐβάπτισας σύ. τοῦτο γὰρ αἰνίττονται λέγοντες, ᾧ σὺ μεμαρτύρηκας, οὐχ, ὃν σὺ λαμπρὸν ἔδειξας καὶ πρόβλεπτον ἐποίησας, τὰ αὐτὰ σοι τολμᾷ· ἀλλ' οὐκ εἶπον, ὃν σὺ ἐβάπτισας, βαπτίζει (ἦ γὰρ ἂν ἠναγκάσθησαν καὶ τῆς φωνῆς ἀναμνῆσαι τῆς ἄνωθεν κατενεχθείσης, καὶ τῆς τοῦ πνεύματος ἐπιφοιτήσεως)· ἀλλὰ τί; ὃς ἦν μετὰ σοῦ πέραν τοῦ Ἰορδάνου, ᾧ σὺ μεμαρτύρηκας, τουτέστιν, ὃς μαθητὰς πάλιν ἐποίει πλείονας, ὃς ἡμῶν πλέον εἶχεν ὀφθέν, οὗτος ἑαυτὸν ἀποχίσας, βαπτίζει. καὶ τοῦτο οὐ μόνον ᾤοντο παροξύνειν αὐτὸν, ἀλλὰ καὶ ταῖς τὰ αὐτῶν προδοκιμᾶσθαι λοιπόν. πάντες γάρ, φησιν, ἔρχονται πρὸς αὐτόν. ὅθεν δῆλον ὅτι ὅτε τοῦ Ἰωάννου ἀπεληλύθεισαν, μικρὸν ἔσχον ζήτησιν ἕξαν. ταῦτα γὰρ ἔλεγον ἀτελέστερόν τε διακείμενοι, καὶ οὐδέπω φιλονικίας ὄντες καθαροί. τί οὖν ὁ Ἰωάννης; οὐδὲ αὐτὸς αὐτοῖς σφοδρῶς ἐπεβόμησε, δεδοικὼς μὴ καὶ αὖθις παλιν ἀποχωρήσωσι, ἕτερόν τι κακὸν ἐργάσωνται." ἀλλὰ τί φησιν;

27 Οὐδεὶς δύναται λαμβάνειν οὐδὲν, ἐὰν μὴ ᾖ δεδομένον αὐτῷ ἐκ τοῦ οὐρανοῦ. Εἰ μὲν ταπεινότερον φθέγξεται πρὸς τοὺς Χριστοῦ, μὴ θαυμάσῃς. οὐ γὰρ ἰσοῦται τοιούτῳ πάθει προκατειλημμένους ἀθρόον καὶ ἐκ προοιμίων διδάξαι τὸ πᾶν· ἀλλὰ θέλει πέως αὐτοὺς καταπλῆξαι καὶ φοβῆσαι, καὶ δηλῶσαι, ὅτι οὐκ ἕτερῳ, ἀλλ' ἢ τῷ Θεῷ πολεμοῦσιν, αὐτῷ πολεμιώτατοι. ὅπερ οὖν καὶ ὁ Γαμαλιὴλ ἔλεγεν, Οὐ δύνασθε καταλῦσαι αὐτὸ, μήποτε καὶ θεομάχοι" εὑρεθῆτε, τοῦτο καὶ αὐτὸς λανθανόντως ἐνταῦθα κατασκευάζει. ὃ γὰρ εἶπεῖν, οὐδεὶς δύναται λαμβάνειν, ἐὰν μὴ ᾖ δεδομένον αὐτῷ ἐκ τοῦ οὐρανοῦ ἄνωθεν, οὐδὲν ἄλλο δηλοῦντός ἐστιν, ἢ ὅτι καὶ "ἀδύνατοις ὑπεχέσθη σι, καὶ ὅτι θεομάχοι ἐντεῦθεν πάλιν εὑρίσκονται. τί οὖν; ⓒ πρὸς Θεοῦ δῶν ἔλαβον ἀφ' ἑαυτῶν; ἔλαβον, ἀλλ' ὑπέως διελύθησαν καὶ ἀπώλοντο· ταῦτα τοῦ Χριστοῦ οὐ τοιαῦτα. ἐντεῦθεν αὐτοῦ καὶ θαυμάζεται ῥῆμα, δείκνυσι ὅτι οὐκ ἂν ἄνθρωπος, ἀλλὰ Θεός ἐστιν ὁ προβαλλόμενος λόγους. ὅθεν εἰ δὲ καὶ λαμπρὰ τὰ ἐκείνου, καὶ πάντες πρὸς αὐτὸν ἔρχονται, θαυμάζειν οὐ χρή. τοιαῦτα γὰρ τὰ θεῖα, καὶ Θεός ἐστιν ὁ ταῦτα κατασκευάζων. οὐ γὰρ ἄνθρωπος ἴσχυσε τοιαῦτά ποτε. "τὰ γὰρ ἀνθρώπινα πάντα εὐφώρατα καὶ ταχέα, καὶ καταῤῥᾳ θυμεῖται καὶ ἀπόλυται· ταῦτα δὲ οὐ τοιαῦτα· οὐκ ἀρα ἄνθρωπινα." καὶ ὅρα πῶς ὅτε εἶπον, ὡ σὺ μεμαρτύρηκας, τότε καὶ τοῦτο ὤοντο προσβαλέσθαι εἰς τιμὴν τοῦ Χριστοῦ καθαίρεσιν, εἰς αὐτοῦ αὐτὸ περιέτρεψε, καὶ πρότερον δείξας, ὅτι οὐ παρὰ τῆς αὐτοῦ μαρτυρίας τὸ λαμπρὸν αὐτῷ γέγονε, μὴ ταῦτα ἐντεῦθεν αὐτοὺς ὑπονομεύει. οὐ γὰρ δύναται, φησιν, ἄνθρωπος λαμβάνειν ἀφ' ἑαυτοῦ οὐδὲν, ἐὰν μὴ ᾖ δεδομένον αὐτῷ ἐκ τοῦ οὐρανοῦ." Εἰ γὰρ ὅλως ἐχρῆσθε τῆς ἐμῆς μαρτυρίας, φησὶ, καὶ ἀληθῆ ταύτην ἠγεῖσθε, μάθετε ὅτι ἀφ' ταύτην μᾶλλον οὐκ ἐμὲ ἐκείνου, ἀλλ'

οὐκ εἶπον

χ. ὅτι ἡ γένεσις ταῦτα λέγει, ὑμᾶς ἐχθίστ.

χ. ὁδὸ ἡ ἐπάνω αὐτὸ ὑδός

χ. ἐχθροὶ χ. πᾶσι φοβερὸς δὲ μιλίσ.

χ. ἐδὼν χ. εἰ γὲ ἀξ.

σκεῖνον ἐμοῦ προφητῶν ἐχεῖν. "τί γὰρ ἐμάρτυρησα; ὑμᾶς καλῶ τάυτα μάρτυρας.

28 "Αυτοὶ γὰρ ὑμᾶς μοι μάρτυρᾶτε, ὅτι εἶπον, ὅλι οὐκ εἰμὶ ἐγὼ ὁ Χεισὸς, ἀλλ' ἀπεσαλμένος εἰμὶ ἔμπροσθεν ἐκείνου. Εἰ τοίνυν "ἔχεθε τῆς ἐμῆς μάρτυρίας ("ἐγὼ τὴν γὰρ προβάλλεθενιῶ, λέγοντες ᾧ σὺ μεμάρτύρηκας) οὐ μόνον οὐκ ἠλάτ[ω]σαν ὀκ τῶν τὴν ἐμὴν δέξασθαι μάρτυρίαν, ἀλλὰ πλεονεκτεῖ μάλισα ὀκ τάυτα, ἀλλ ὡς τάδε ἐμὴ ἡ μάρτυρία, ἀλλὰ τῶ Θεοῦ ἰῶ. "ὥςε, εἰ ἀξιόπισος ὑμῖν εἶναι δοκῶ, μὴ τῶν ἄλλων χάριν τοῦτο εἶπον, ὅλι ἀπεσαλμένος εἰμὶ ἔμπροσθεν ἐκείνου. ὁρᾶς πῶς δείκνισι καὶ μικρὸν θείου τὴν φωνὴν ὖσαν; ὁ γὰρ λέγει τοιοῦτόν ἐςι· ἀγάκονός εἰμι, καὶ τὰ τοῦ πέμψαντος λέγω, ὀκ ἀνθρώπινη χάριτι κολακεύων αὐτὸν, ἀλλὰ ᾧ πατεὶ αὐτῶ ᾧ πέμψαντί με ἀγκονόμβιος. ὀκ ἀρα ἐχρῆν πάμιν τὴν μάρτυρίαν, ἀλλ' ὅπερ ἀπεσάλην εἶπον, εἶπον. μὴ τοίνυν ἀγὰ τοῦτο νομίσητε μέγαν εἶναί με. τοῦτο γὰρ ἐκεῖνον δείκνισι μέγαν. ὁ γὰρ κύριος τῶν προφητῶν ἐκεῖνός ἐςιν "ὃν καὶ ἀπέσειλεν.

χ. διὸ καὶ ἐπέμψα λέγων.

29 Ο ἔχων τὴν νύμφιον νυμφίος ἐςίν· ὁ δὲ φίλος τοῦ νυμφίου ὁ ἑσηκὼς καὶ ἀκούων αὐτῶ, χαρᾷ χαίρει ἀγὰ τὴν φωνὴν τῶ νυμφίου. Καὶ πῶς ὁ λέγων, ὀκ εἰμὶ ἄξιος λῦσαι αὐτῶ [ω] ἱμάντα τῶ ὑποδήματος, φίλον αὐτῶ νῦν φησιν ἑαυτὸν εἶναι; οὐκ ἐπαίρων δὲ καθ' ἑαυτὸν, οὐδὲ κομπάζων ταῦτα λέγει, ἀλλὰ δεῖξαι βουλόμενος, ὅτι καὶ αὐτὸς τοῦτο μάλισα ἀπεύδῃ, καὶ "ὅτε ἀκόντος αὐτῶ οὐδὲ λυπουμένου ταῦτα γίνεται, ἀλλ' ἐπιθυμοῦντος καὶ ἀσπαζομένου, καὶ ὅλι ταῦτά ἐςιν ὑφ' ὧν μάλισα πρῶτα ἔπεσεμψεν." ἀ καὶ σφόδρα ζηλωτὸς ἀγὰ τῆς τοῦ φίλου προσηγορίας ἐδήλωσεν. ὑ γὰρ οὕτως [α] ἀγάκονοι τῶ νυμφίου, ὡς [α] φίλοι χαίρουσι δὲ ὑφορώνται ὧν τοῖς τοιούτοις. οὐ τοίνυν ὃ ὁμότιμον, ἄπαγε, ἀλλὰ ὃ πολὺ τῆς ἡδονῆς προέχουσα βουλόμενος, ἅμα μὲν καὶ συγκαταβαίνων αὐτῶν τῇ ἀσθενείᾳ, φίλον ἑαυτὸν φησιν εἶναι· ἔπει καὶ τὴν ἀγάκρισιν ἐδήλωσεν "εἰπών, ὅτι ἀπεσαλμένος εἰμὶ ἔμπροσθεν ἐκείνου. ἀγὰ δὴ ταῦτα, καὶ ἀγὰ ὃ νομίζειν αὖθις ἀνέκλεσε τοῖς μυρομένοις, φίλον ἑαυτὸν ἐκάλεσε τοῦ νυμφίου, δείκνις ὅτι οὐ μόνον οὐ ἀνέκλεται, ἀλλὰ καὶ σφόδρα χαίρει." τοῦτο γὰρ ἦλθον ἀνῦσαί, φησι, καὶ τοσοῦτον ἀπέχω τοῦ ἀλγῆσαι τοῖς προπομποῖς, ὅλι τότε μάλισα ἀνῆλγησα, εἰ μὴ τοῦτο ἐγίνετο. εἰ μὴ γὰρ προσῆλθεν ἡ νύμφη τοῖς νυμφίοις, τότε ἀνεκλήθην, ἀλλ' ὑγιαίνω, φησίν, ὅταν τὰ ἡμέτερα ἰῶνται. καὶ γὰρ τῶν ἐκείνου προσκυνούντων ἡμᾶς ἐσμεν [α] ἀδόκιμοι τες. ὁ γὰρ ἐβουλόμην, γένοιτο, καὶ ὑπογινώσκει τὸ νυμφίον ἡ νύμφη, ὃ ὑμᾶς μάρτυρᾶτε" αὐτὴ λέγουσες, ὅλι πρῶτος ἔρχομαι πρὸς αὐτόν. ὅτο γὰρ ἐκαινόδαζον, καὶ ἀγὰ ὅτο πάντα ἔπεσεμψον, καὶ ὅτο νῦν ἐκλεκτικὸς ὁρᾶν, χαίρω δὲ ἀγάλλομαι καὶ σκιρτῶ. τί δέ ἐςιν, ὁ ἑσηκὼς καὶ ἀκούων αὐτῶ χαρᾷ χαίρει ἀγὰ τὴν φωνὴν τῶ νυμφίου; ἀπὸ τῆς προβολῆς [ω] λόγον μετάγαγε ὅπι ὃ προκείμενον. ὅπῃ γὰρ νυμφίου καὶ νύμφης ἐμνημόνευσε, δείκνισιν ἡ νυμφαγωγία πῶς ἔχει, ὅτι ἀγὰ φανῆς καὶ διδασκαλίας. ὅτω γὰρ ἡ ἐκκλησία ἁρμόζεται τῷ Θεῷ. διὸ ὃ Παῦλος ἔλεγε, Η πίσις ὁδὲ ἀκοῆς, ἡ δὲ ἀκοὴ ἀγὰ ῥήματος Θεοῦ. ἀγὰ τούτων ἐγὼ χαίρω τὴν φωνήν. καὶ ὃ, ὁ ἑσηκὼς ὃ, ὐχ ἁπλῶς πίπτει, ἀλλὰ δείκνις, ὅτι τὰ αὐτῶ πέπαυται, καὶ ὅτι αὐτὸν λοιπὸν ἑσάναι χρὴ καὶ ἀκούειν ἐκείνῳ προσδόκα τὴν νύμφιον, ὡς ὅτι λήτορής ὁδὶ καὶ ἀγάκονος, καὶ τὰ τῆς χρηςῆς ἐλπίδος αὐτῷ, καὶ τὰ τῆς εὐφροσύνης ὀξῆλθεν εἰς ἔργον. ἀγὰ τῶτό φησιν,

Ρω. ι. κ.

χ. εἶτα ὐκ ἀφ' ὧν εἶπε τὴν περὶ τοῦ πῶς αὔξησιν προφαίνει, ἀγ. λὰ καὶ ἡ μίλλουσιν γίνεσθαι φαίνων, δι' ὧν φθάνει εἰπεῖν, ἄρχεται πρὸς τὰ μελλόντων καὶ ὑποφαίνεται. ὑπὸ τῶν εἰρημένων τε καὶ γεγραμμένων ἤδη καὶ παῦται πισούμενος, ἕτοιμος ἐπάγων καὶ λέγων. Ε-κείνον δεῖ αὐξάνειν, ἐμὲ δὲ ἐλαπποῦσθαι. Τῶτ' ἔςιν, ἡ μὲν ἐμὴ χαρὰ πεπλήρωται. Τῶτ' ἔςιν, ἰῶνται πρὸς ἐμοῦ δὲ ἔργον ὁ γάμος ἐσθαι ἔδει, καὶ πλέον οὐδὲν δυνάμεθα ἐργάσασθαι λοιπόν. "Εἶτα ὐχὶ τὴν πρέπουσαν μόνον, ἀλλὰ καὶ τὰ μέλλοντα πάθη αὔξησιν γίνεσθαι κωλύων, καὶ ὡσεὶ τὰ μιγόντων ἀποφαίνει) [λέγων] ἀπὸ τῶν εἰρημένων τε καὶ γεγραμμένων ἤδη καὶ ταῦτα πισούμενος. διὸ καὶ ἐπάγει λέγων·

30 Εκείνον δεῖ αὐξάνειν, ἐμὲ δὲ ἐλαπποῦσθαι. Τῶτ' ἔςι, τὰ μὲν ἡμέτερα ἔσι καὶ ἐπαύσατο λοιπόν, αὐξάνει δὲ τὰ ἐκείνου. τῶτο γὰρ ὁ διδάσκαλος νῦν, ὐχὶ νῦν ἔςαι μόνον, ἀλλὰ πολλῷ

πολλῷ μᾶλλον πεσεῖν. τοῦτο γάρ ἐστιν ὁ μάλιστα λαμπρότερα δείκνυσι τὰ ἡμέτερα· διὰ τοῦτο δὴ καὶ ἦλθον, καὶ χαίρω, ὅτι τὰ αὐτὰ πολλῷ ἔλαβε τὸν ὑπόδοσιν, καὶ γέγονε ταῦτα, δι' ἅπερ πρότερα τὰ πρὸς ἡμῶν ἐθρύπτο. Εἶδες πῶς ἡρέμα καὶ μετὰ πολλῆς τῆς σοφίας, τό τε πάθος αὐτῶν κατεπαῴδυνε, καὶ τὴν βασκανίαν ἔσβεσε, καὶ ἀδυνάτους ὑπεχειροῦτο ἔδειξεν, ὧν μάλιστα παύεται κακία; διὰ τοῦτο γὰρ καὶ ὠχνομήκει, ἐπὶ ζῶντος αὐτοῦ καὶ βαπτίζοντος, ταῦτα λέγεσθαι, ἵνα αὐτὸν μάρτυρα τῆς ὑποροχῆς ἔχωσι, καὶ μηδεμίαν, εἰ μὴ πείθοιντο, ἀπολογίαν ἔχειν. οὐδὲ γὰρ ἀφ' ἑαυτοῦ ὅτι ταῦτα εἰπεῖν ἦλθεν, οὐδὲ ἑτέρων ἐρωτησάντων. αὐτοὶ γὰρ ἦσαν καὶ πυθόμενοι, καὶ ἀκηκοότες. οὐδὲ γὰρ ὅτως ἀφ' ἑαυτοῦ λέγοντι ἐπείθοντο, ὡς αὐτοκατάκριτον τὸν ψῆφον εἶχον, μὴ τὴν ἐρώτησιν ἀκούοντες ἀποκρινομένου· ὥσπερ οὖν καὶ Ἰουδαῖοι καὶ διὰ τοῦτο μᾶλλον ἀποτείλασι πρὸς αὐτὸν, καὶ ἀκηκοσι ἅπερ ἤκουσαν, καὶ μὴ πιστεύσωσι, πάσης ἀπολογίας ἑαυτοὺς ἐξέβαλον.

ΗΘΙΚΟΝ Τί τοίνυν ἐντεῦθεν παιδευόμεθα; ὅτι πρότερον αἴτιον τῶν κακῶν ἡ δοξομανία. τοῦτο γοῦν καὶ αὐτοὺς ὅτι τὴν ζηλοτυπίαν ἤγαγε, τοῦτο πάλιν αὐτοὺς μικρὸν λοιφήσαντας διήλεγξε. διὸ

Ματθ. θ. 15. καὶ προσελθόντες τῷ Ἰησοῦ λέγουσι· Διατί οἱ μαθηταί σου οὐ νηστεύουσι; φύγωμεν τοίνυν, ἀγαπητοί, τὸ πάθος. ἂν γὰρ τοῦτο φύγωμεν, τῆς γεέννης ἀπαλλαγησόμεθα. τοῦτο γὰρ μάλιστα αὐτῆς δυνάμει τὸ πῦρ, καὶ πρωταχοῦ τὴν ἀρχὴν ἐκτείνει τὴν ἑαυτοῦ, καὶ ἡλικίαν πᾶσαν καὶ ἀξίαν πᾶσαν καπνίζει τυραννικῶς. τοῦτο γοῦν ἐκκλησίας ἄνω καὶ κάτω πεποίηκε, τοῦτο καὶ τοῖς πολιτικοῖς λυμαίνεται πράγμασι, τοῦτο καὶ οἰκίας ὁλοκλήρους ἀνέτρεψε, καὶ πόλεις καὶ δήμους καὶ ἔθνη. καὶ τί θαυμάζεις; ὅπου γε καὶ εἰς τὴν ἔρημον ἐξελθὸν, πολλῷ αὐτοῦ κἀκεῖ τὴν δυσωδίαν ἐπεδείξατο. οἱ γὰρ πολλὰ χρήματα χαίρειν εἰπόντες καὶ τὴν τοῦ κόσμου φαντασίαν πᾶσαν, καὶ μηδενὶ συγκινούμενοι, καὶ τὰς τυραννικωτέρας τῶν σωμάτων κρατοῦντες ἐπιθυμίας, οὗτοι πολλάκις, ἀλόντες ὑπὸ κενοδοξίας, πολλὰ ἀπώλεσαν. διὰ τοῦτο ὁ πάντος ὁ πολλὰ καμὼν οὐδὲν κερδάνας, δηλαδὴ μύρια ἀμαρτήσαντος, ὁ φαεσσάμος οὐ τέλων ἦτον ἔχων ἀπῆλθεν. δηλαδὴ ὁ μὴ κατηγορεῖν οὐ πάθος, οὐδὲν ἔργον ἐστὶ (πολλοὶ γὰρ τὰ αὐτὰ ψηφίζονται) ὃ χ' ζητούμενον, ὅπως αὐτοῦ παιγνιώμεθα. πῶς οὖν αὐτοῦ παιγνιώμεθα; διὰ δυλιεύσωμεν δόξῃ δόξης. ὥσπερ γὰρ οὐ τῆς πλούτου καταφρονοῦμεν, ὅταν πρὸς ἕτερον ἴδωμεν πλοῦτον, καὶ τῆς ζωῆς ταύτης ὑπεροροῦμεν, ὅταν συνοήσωμεν τὸν πολλῷ ταύτης ἀμείνω· οὕτω καὶ δόξαν τὴν ἐνταῦθα δικαιοσύνης δωσόμεθα, ὅταν τὴν ταύτης συνοήσωμεν πολλῷ σεμνοτέραν, τὴν ὄντως δόξαν. ἡ μὲν γὰρ κενή τίς ἐστι καὶ ματαία, ὄνομα ἔχουσα πράγματος ἔρημον· ἐκείνη δὲ ἀληθὴς ἡ ἀπὸ τοῦ οὐρανοῦ, οὐκ ἀνθρώπου, ἀλλ' ἀγγέλου καὶ ἀρχαγγέλου ἐστὶ τοῦ ἀρχαγγέλων διασοτέρου, μᾶλλον δὲ μετ' αὐτοῦ καὶ τοῦ ἀνθρώπου ἐπαινέτας ἔχουσα. αἰ πρὸς σκηνὴν δ' θεάδεον ἴδηις, ἀν' οὐκ ἀνθρώπου, ἀν' οὐκ ἀγγέλου χρότον σεαυτὸν μεταθῇς, οὐδέποτέ σε δυνήσεται ἡ ἐν ταῦτα καταγεῖν, οὐδὲ γνόμενα ἡήσῃ μεγάλα, οὐδὲ ἀπόντα ζητήσεις. καὶ γὰρ ἐν τοῖς βασιλείοις τούτοις οὐδεὶς τὸν τοῦ βασιλέως πρεσβυτέρων δορυφόρων ἀφεὶς θρόνον τοῦ θεοῦ ἔχοντι καὶ ὅτι τὸ θεῖον καθημένῳ, κολακείαν προσεργάζεται φωνάς, ἢ μιγῶν καὶ κωφῶν προσπαλμῶν καὶ βομβούντων θόρυβον. οὐδὲν γὰρ τούτων ἀμεινον αἱ τῶν δυθεόντων διφημίαι παρέχονται. εἰδότες τοίνυν τῶν ἀνθρωπίνων τὸν βυτέλειαν, πάντα εἰς τοὺς ἀσύλους ζωοταγωγῶμεν θησαυρούς, καὶ τὴν μένουσαν καὶ ἀκίνητον δόξαν ὑπιζητήσωμεν· ἧς γένοιτο πάντας ἡμᾶς ὑπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ομιλ. λ. 31. Ο ΑΝΩΘΕΝ ΕΡΧΟΜΕΝΟΣ, ΕΠΑΝΩ ΠΑΝΤΩΝ ἐστιν· ὁ ὢν ἐκ τῆς γῆς ἐστι, καὶ ἐκ τῆς γῆς λαλεῖ.

Δειγεν

Δεινὸν ὁ τῆς δόξης ἔρως, δεινὸν, καὶ πολλῶν γέμον κακῶν, ἀνήμερόν τις ὄντως ἐστὶ καὶ δυσκατάπαυστος, καὶ θηρίον ἀνίατον καὶ πολυκέφαλον, κἂν τοὺς τρέφοντας αὐτὸ ὁπλίζόμενον. καθάπερ γὰρ ὁ σκώληξ τὰ ξύλα, ἀφ' ὧν πέπεται, διαφθείρει, καὶ ὁ ἰὸς τὸν σίδηρον, ὅθεν τρέφεται, διαφθείρας, καὶ ἡ κενοδοξία τὸν τρέφουσαν αὐτὸν ἀπόλλυσι ψυχήν· διὸ καὶ πολλῆς ἡμῖν δεῖ τῆς ἀσυλίας, ὥστε ἀφανίσαι τὸ πάθος. ὅρα γοῦν καὶ ἐνταῦθα ὅσα ἐπάδει τοῖς μαθηταῖς τοῦτο παθοῦσιν ὁ Ἰωάννης, καὶ μόλις αὐτοὺς κατασοφεύεται. μὴ γὰρ πρὸ ἐμοῦ ἐλήλυθεν ἐρημιῶν καὶ ἐτέροις αὐτοὺς ἐποτίλῃ λόγοις. ποίοις δὴ τούτοις; ὁ μόνωθεν ἐρχόμενος, Φησιν, ἐπάνω πάντων ἐστίν· ὁ ὢν ἐκ τῆς γῆς ὤν, ἐκ τῆς γῆς ἐστί, καὶ ἐκ τῆς γῆς λαλεῖ· ὁ ἐκ τοῦ οὐρανοῦ ἐρχόμενος, φησὶ, μαρτυρείτω· καὶ ταύτην με ἀξιοπιστοτέραν εἶναι φατε· ἐκεῖνο ὑμᾶς οὐκ ἀγανακτῆσον εἰδέναι; ὡς οὐκ ἔνι τὸν ἐκ τῶν οὐρανῶν ἐρχόμενον ἀξιόπιστον ἀπὸ τοῦ τὰ γῆς οἰκοῦντος γενέσθαι. ὃ δὲ ἐπάνω πάντων, τί ἐστι; καὶ τί βούλεται δηλοῦν, εἰπεῖν ἡμῖν ἐπιδείξασθαι ἡ λέξις; ὅτι οὐδενὸς δεῖται, φησὶ, καὶ ἀρχὴν ἐστὶν αὐτὸς ἑαυτῷ, καὶ ὅτι πάντων μείζων καὶ κρείττων. τὸ δὲ ἐκ τῆς γῆς ὄντα καὶ λαλοῦντα ἑαυτὸν φησιν, οὐχ ὅτι ἐξ οἰκείας διανοίας ἐφθέγξατο· ἀλλ', ὥσπερ ὁ Χριστὸς εἶπεν· Εἰ τὰ ἐπίγεια εἶπον ὑμῖν, καὶ οὐ πιστεύετε, τὸ βάπτισμα ὕστερον καλῶν, οὐκ ἐπὶ ἐπιγείου ἦν, ἀλλ' ἐπὶ τοῦ ἀπορρήτου αὐτοῦ γνώσεως προέβαινε τὸ ἐρημικόν· ὕστερον καὶ ἐνταῦθα, ἐκ τῆς γῆς λαλεῖν ἑαυτὸν ὁ Ἰωάννης εἶπε, τοῦ τὴν Χριστοῦ διδασκαλίαν τὰ αὐτοῦ παραβαλλόντος. οὐδὲν γὰρ ἄλλο δηλοῖ, τὸ ἐκ τῆς γῆς λαλεῖν, ἢ ὅτι μικρὰ καὶ ταπεινὰ καὶ εὐτελῆ τοῖς ἐκείνου παραβαλόμενα τὰ ἐμὰ, καὶ τοιαῦτα, οἷα εἰκὸς γήϊνον δέξασθαι φύσιν. Παρεμὲ γὰρ ἐκείνῳ πάντες τὴν σοφίας ἀπόκρυφοι. ὅτι γὰρ οὐ τοῖς λογισμοῖς ἀνθρωπίνοις λέγει, δῆλον ἐκ τοῦδε. ὁ ἐκ τῆς γῆς ὤν, φησιν, ἐκ τῆς γῆς ἐστί· καίτοιγε οὐκ ἐκ τῆς γῆς ἦν αὐτῷ τὸ σῶμα, ἀλλὰ τὰ κρείττονα ὑπερφυᾶ. καὶ γὰρ καὶ ψυχὴν εἶχε καὶ πνεύματος μετέσχεν, οὐκ ἐκ τῆς γῆς. πῶς οὖν ἀπὸ τῆς γῆς εἶναί φησιν; ὁρᾷς ὅτι οὐδὲν ἄλλο φησὶν, ἢ ὅτι μικρὸς ἐγὼ καὶ οὐδενὸς ἄξιος λόγου, ἅτε χαμαὶ ἐρχόμενος καὶ ἐν τῇ γῇ τεθείς· ὁ δὲ Χριστὸς ἄνωθεν ἡμῖν ἀφῖκται; ἀφ' ὧν δὴ τῶν πόνων σβέσας τὸ πάθος, τότε λοιπὸν μετὰ πλείονος τῆς παῤῥησίας φθέγξεται περὶ τοῦ Χριστοῦ. τοσοῦτον γὰρ τοῦτο τοῦ ῥήματος προέβαλλε, μηδέποτε χώραν ἐν τῇ διανοίᾳ τῶν ἀκροωμένων ἔχειν δυνάμενα. ὅταν δὲ ἀπὸ κεφαλῆς ἀνέστασε, τότε μετὰ ἀδείας λοιπὸν καταβάλλει τὰ σπέρματα, λέγων· ὁ ἄνωθεν ἐρχόμενος, ἐπάνω πάντων ἐστί.

"Καὶ ὃ ἤκουσε λαλεῖ, καὶ ὃ ἑώρακε μαρτυρεῖ· καὶ τὴν μαρτυρίαν αὐτοῦ οὐδεὶς λαμβάνει. Μέγα καὶ ὑψηλὸν εἶπεν πρὸς αὐτὸν, πάλιν ὅτι τὸ ταπεινότερον τοῦ λόγου αἴρει· ὃ γὰρ, ὃ ἤκουσε καὶ ἑώρακεν, ἀνθρωπινώτερόν ἐστιν. οὐ γὰρ ἀπὸ τοῦ παραλαβεῖν, ὄψει, οὐδ' ἀπὸ τοῦ ἀκοῦσαι ἤδει ἃ ἤδει· ἀλλ' ἐν τῇ φύσει τὸ πρὸς εἶναι, τέλειος ἐκ τῶν πατρικῶν κόλπων προελθών, καὶ οὐ διδόμενος τοῦ διδάσκοντος. Καθὼς γάρ, φησι, γινώσκει με ὁ πατήρ, οὕτω κἀγὼ γινώσκω τὸν πατέρα. τί οὖν ἐστιν, ὃ ἤκουσε λαλεῖ, καὶ ὃ ἑώρακε μαρτυρεῖ; ἵνα μὴ τῶν αἰσθήσεων τούτων ἡμᾶς πρὸς τὰ μεγαλοφανῆ ἀνάγῃ καὶ ἀξιόπιστον διδάσκαλον, καθ' ὧν ἢ ὄψει τι παραλάβωμεν, ἢ ἀκοῇ δεξώμεθα; ἅτε δὴ πλανωμένοις, καὶ ψευδῆ λέγουσι τοῦτο καὶ ἐνταῦθα κατασκευάσαι βουλόμενος ὁ Ἰωάννης, ἔλεγε τὸ, ἃ ἤκουσε καὶ ἑώρακε· "τοιοῦτός ἐστιν, οὐδὲν τῶν πρὸ αὐτοῦ ψευδὴς ὄντων, ἀλλὰ πάντα ἀληθῆ. διὰ τοῦτο" γοῦν καὶ ἡμᾶς παρεισερχομένους πολλάκις ἐρωτῶμεν· σὺ ἤκουσας; σὺ εἶδες; καὶ δι' ἐχθρῶν τοῦτο; ἀναμφίβολος ἡ μαρτυρία. ὁ αὐτὸς γὰρ ὅταν λέγῃ, Καθὼς ἀκούω κρίνω, καὶ ἃ ἤκουσα παρὰ τοῦ Πατρός μου λαλῶ, Ἰωαν. τε. ιι. καὶ ἃ ἑωράκαμεν λαλοῦμεν, καὶ ὅσα αὖ ἕτερα τοιαῦτα φθέγγηται, ἵνα μάθωμεν ὅτι διδασκό-

μένος λέγῃ ἃ λέγει (τοῦτο γὰρ τῆς ἐσχάτης ἀνοίας ἐστὶ νομίζειν) ἀλλ' ἵνα μηδὲν τῶν λεγομένων ὑποπτεύηται παρὰ τῶν ἀναισχύντων Ἰουδαίων. ὅθεν γὰρ οὐδέπω τὴν παρρησίαν ταύτην εἶχον, ζωηρῶς ὅπου ἔφυγε, ἐκεῖθεν ἀξιόπιστα ποιῶν τὰ λεγόμενα. καὶ τί θαυμάζεις εἰ ὅπου ἔφυγε πατέρα καταφθάνει· ὅπου γε αὐτὸς ἐβόα ὅτι τοῦ πατρὸς φήσας, καὶ ὅτι ταῖς γραφαῖς πολλάκις ἔρχεται· " ὡς ὅταν λέγῃ, ἐκεῖναί εἰσιν αἱ μαρτυροῦσαι περὶ ἐμοῦ; ἆρ' οὖν ἐκ τῶν πατρῴων ἐλάττονα αὐτὸν φήσομεν, ὅθεν ταῖς ἐκεῖθεν ἔλκει μαρτυρίας; ἄπαγε. διὰ γὰρ τοῦτο τῶν ἀκουόντων ἀσθενεστέρου οὕτω μεθοδεύει λέγων, καὶ παρὰ τοῦ πατρὸς ἀκηκοώς φησι λαλῶ ἅπερ ἐλάλει, οὐχ ὡς διδασκάλου δεόμενος, ἀλλ' ἵνα ἐκεῖνοι πίστωσι μηδὲν εἶναι ψεῦδος τῶν λεγομένων. ὃ γὰρ λέγει ὁ Ἰωάννης τοιοῦτόν ἐστιν· ἐγὼ δέομαι ἀκοῦσαι τοῦ πρὸς ἐκείνου. διὰ τοῦτο ἔρχεται, καὶ ἐκεῖθεν ἀπαγγέλλων, ἃ μόνος αὐτὸς οἶδε σαφῶς· ὃ γὰρ, ἑώρακε καὶ ἤκουσε, τοῦτο ἔστι διηθειῶτος· καὶ τοῦτο μαρτυρίαν αὐτοῦ σοβεῖς λαμβάνει. καίτοι καὶ μαθητὰς εἶχε, καὶ πολλοὶ πεπιστεύκεισαν τοῖς λεγομένοις. πῶς οὖν φησιν, οὐ σοβεῖς; τοῦτο, αὐτὸ τοῦτο ὀλίγοι, εἴρηται νῦν. ἐπεὶ εἰ μηδένα ἔλεγε, πῶς ἐπήγαγεν,

33 Ὁ λαβὼν αὐτοῦ τὴν μαρτυρίαν, ἐσφράγισεν ὅτι ὁ Θεὸς ἀληθής ἐστιν;

Ἐν ταύτῃ καὶ τῶν ἰδίων καθάπτεται μαθητῶν, ὡς οὐ σφόδρα μεγάλων αὐτῷ πίστιν εἰδέναι τέως. ὅτι γὰρ σοβεῖ μὴ ταῦτα ἔλεγεν αὐτῷ, δῆλον καὶ ἐκ τῶν μετέπειτα λεχθέντων. διὰ τοῦτο γὰρ αὐλεῖς, καὶ δεσμωτήριον οἰκῶν, ἐκεῖθεν ἔπεμψε πρὸς αὐτόν, ἵνα αὐτῷ ζωηδίσῃ μᾶλλον. Ματθ. ια. ϛ. Καὶ ὃ καὶ τότε μόλις ἔπεισε θυόν, ὅπερ δὴ καὶ ὁ Χριστὸς αἰνιττόμενος ἔλεγε, Καὶ μακάριος, ὃς ἂν μὴ σκανδαλισθῇ ἐν ἐμοί. " καὶ διὰ τοῦτο καὶ νῦν ἔλεγε, καὶ τὴν μαρτυρίαν αὐτοῦ σοβεῖς λαμβάνει," καὶ τοὺς μαθητὰς ἀσφαλιζόμενος τοὺς ἑαυτοῦ, καὶ μονονουχὶ " λέγων· μὴ, ὅθεν μέλλουσιν αὐτῷ ὀλίγοι τέως πιστεύειν, διὰ τοῦτο ψευδῆ " νομίσητε εἶναι τὰ λεγόμενα, ἃ γὰρ ἑώρακε," λαλῶ. ταῦτα δὲ λέγει ἅμα καὶ τῆς Ἰουδαϊκῆς καθαπτόμενος ἀναισθησίας· " ὅπερ οὖν καὶ ὁ εὐαγγελιστὴς ἐπεξερχόμενος ἐπεμήνυσεν αὐλοῖς, ὅτω λέγων· ὅτι εἰς τὰ ἴδια ἦλθε, καὶ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον. τοῦτο δὲ οὐκ αὐτοῦ ἔγκλημα, ἀλλὰ τῶν μὴ δεξαμένων κατηγορία. ὁ λαβὼν αὐτοῦ τὴν μαρτυρίαν, ἐσφράγισεν ὅτι ὁ Θεὸς ἀληθής ἐστιν. ὁρᾷς ταῦτα αὐλοῖς καὶ φοβᾷ, δεικνὺς, ὅτι ὁ μὴ τούτῳ πιστεύων, οὐκ αὐτῷ μόνον, ἀλλὰ καὶ τῷ πατρὶ ἀπιστεῖ. διὸ καὶ ἐπάγει·

37 Πᾶν, ὃ δίδωσί μοι ὁ πατήρ μου, πρὸς ἐμὲ ἥξει, καὶ τὸν ἐρχόμενον πρὸς μὲ οὐ μὴ ἐκβάλω ἔξω. Ορα πῶς πάντα ποιεῖ δι' ἑαυτοῦ σῴζοντος. Διὰ γὰρ τοῦτο ἐπήγαγε τοῦτο, ἵνα μὴ δόξῃ παρεργάζεσθαι καὶ εἰκῇ ταῦτα λέγειν. τί δέ ἐστιν ὃ φησι, πᾶν, ὃ δίδωσί μοι ὁ πατήρ, πρὸς ἐμὲ ἥξει, καὶ ἀναστήσω αὐτὸ τῇ ἐσχάτῃ ἡμέρᾳ; τίνος γὰρ ἕνεκεν τῆς χαλεπῆς ἀναστάσεως, ἧς καὶ ἀσεβεῖς μετέχουσιν, ὡς ἐξαιρέτου δώρου μέμνηται τῶν πιστευόντων εἰς αὐτόν; ὅτι οὐχ ἁπλῶς ἀναστάσεως μέμνηται, ἀλλὰ τῆς τοιᾶσδε ἀναστάσεως. πρότερον γὰρ εἰπών, οὐ μὴ ἐκβάλω αὐτόν, καὶ οὐ μὴ ἀπολέσω ἐξ αὐτοῦ, τότε εἶπε τὸ ἀνάστασιν. ἐν γὰρ τῇ ἀναστάσει Ⓐ μὴ ἐκβάλλονται," φησιν (Αρχετε αὐτὸν καὶ ἐμβάλλετε εἰς τὸ σκότος τὸ ἐξώτερον) Ματθ. κβ. 13. Ⓐ ἢ ἀπόλλυω)· φοβήθητε γὰρ μᾶλλον, φησι, τὴν ἀνάκλησιν καὶ ψυχὴν ἐν σώματι ἐν γεέννῃ ἀπολέσαι. "Ἐγὼ δέ, ζωὴν αἰώνιον δίδωμι, τοῦτο δηλοῖ. ἐκπορεύονται γὰρ Ⓐ μὴ ἐκ φαύλης προαιρέσεως εἰς ἀνάστασιν κρίσεως· Ⓐ ἢ ἐκ ἀγαθῆς, εἰς ἀνάστασιν ζωῆς. Διὰ τοῦτο τοίνυν τὴν ἀνάστασιν ἐδήλωσεν ἐνταῦθα, τὴν ὅτι τοῖς ἀγαθοῖς. τί ἦ βούλεται διὰ τοῦ λέγειν, πᾶν, ὃ δίδωσί μοι ὁ πατήρ, πρὸς ἐμὲ ἥξει; καθάπτεται τῆς ἀπιστίας αὐτῶν, δεικνὺς ὅτι ὁ μὴ πιστεύων αὐτῷ, ὃ θέλημα πληροῖ τὸν παῤῥησίας. Ἐγὼ ὅτω μὲ διὰ γυμνοῦ ἤ φησιν, ὑφειλόμενος δέ. καὶ πάντα χρὴ τὸν ποιεῖν θέλων δεῖξαι τῷ πατρὶ πρόσκειται σὺν ἀπίστοις, οὐκ αὐτῷ μόνῳ. Εἰ γὰρ θέλημα αὐτοῦ τοῦτό ἐστι, καὶ διὰ τοῦτο ἦκεν, ἵνα σώσῃ" Ⓐ αὐθέντον Ⓐ μὴ πιστεύοντες, τὸ θέλημα αὐτοῦ πληροῦσιν. ὅταν οὖν, φησιν, ὁ πατὴρ ὁδηγῇ ἕνα, οὐδέν ἐστι τὸ κωλύον αὐτὸν ἐλθεῖν πρὸς μέ. καὶ ἀλλαχοῦ φησιν· οὐδεὶς δύναται ἐλθεῖν πρός μέ, ἐὰν μὴ ὁ πατὴρ ἑλκύσῃ αὐτόν. ὁ δὲ Παῦλός φησιν, ὅτι αὐτὸς πληροδίδωσιν αὐτὸν τῷ πατρί. ὅταν γὰρ πληροῖ, φησι, τὴν βασιλείαν τῷ Θεῷ καὶ πατρί· ὥσπερ οὖν δίδους ὁ πατήρ, οὐκ ἀποστερῶν ἑαυτὸν προέτρεψε τοῦτο ποιεῖ· ὅτω καὶ πληροδίδοσι ὁ υἱός, οὐκ ἐκβαλὼν ἑαυτὸν τοῦτο ποιεῖ. λέγει δὲ πληροδίδοναι, ὅτι δι' αὐτοῦ τὴν προσαγωγὴν ἐφήκαμεν. τὸ δέ, δι' οὗ, τοῦτο καὶ ὅτι τὸ παῤῥησίαν εἴρηται, ὥσπερ ὅταν λέγῃ· Δι' οὗ ἐκλήθητε εἰς κοινωνίαν τοῦ υἱοῦ αὐτοῦ· " ἐκ προσώπου τοῦ θελήματος τοῦ πατρός. καὶ πάλιν· Μακάριος εἶ, Σίμων Βαρ Ἰωνᾶ, Ματθ. ιϛ. ὅτι σὰρξ καὶ αἷμα οὐκ ἀπεκάλυψέ σοι. ὃ δὲ αἰνίττεται ἐνταῦθα, τοιοῦτόν ἐστιν· ὅτι τὸ τυχὸν πρᾶγμα ἡ πίστις ἡ εἰς ἐμέ, ἀλλὰ τῆς ἄνωθεν δόσεως ῥοπῆς. ἐκ τούτου δὲ ὅλου κατασκευάζει τὸν λόγον, δεικνύς, ὅτι ψυχῆς γυναίας τινὸς * καὶ τῆς πρὸς τὸν Θεοῦ" ἐφελκομένης αὐτὴν δεῖται ἡ πίστις. ἀλλ' ἴσως ἐρεῖ τις· Εἰ πᾶν, ὃ δίδωσιν ὁ πατήρ, ἔρχεται πρός σε, καὶ ὃς ἂν ἑλκύσῃ, καὶ οὐδεὶς δύναται ἐλθεῖν πρός σε, ἐὰν μὴ ἡ δεδομένον αὐτῷ ἄνωθεν, πάσης αἰτίας εἰσὶ καὶ ἐγκλήματος ἀπηλλαγμένοι οἷς δίδωσιν ὁ πατήρ. λόγοι ταῦτα φιλοὶ καὶ προφάσεις. δεόμεθα γὰρ καὶ τῆς οἰκοθεν προαιρέσεως. Ὁ γὰρ διδάσκεσθαι προαιρέσεως ὅτι, καὶ Ὁ πιστεύειν. ἐνταῦθα ἦ οὐδὲν ἄλλο ἐμφαίνει δι' ὃ, ὃ δίδωσί μοι ὁ πατήρ, ἀλλ' ἤ, ὅτι δ' Ὁ τυχὸν πρᾶγμά ἐστι Ὁ πιστεῦσαι εἰς ἐμέ, οὐδὲ λογισμῶν ἀνθρωπίνων, ἀλλὰ τῆς ἄνωθεν ἀποκαλύψεως δεῖ, καὶ ψυχῆς εὐγνωμόνως δεχομένης τὴν ἀποκάλυψιν. Ἐ Ὁ, ὁ ἐρχόμενος πρός μὲ σωθήσεται," τοῦτο δηλοῖ, ὅτι μυρίας ἀπολαύσεται πολλῆς. ὑπὲρ γὰρ τούτων καὶ παρεγνώμεν, φησί, καὶ σάρκα ἀνέλαβον, καὶ τὸν τοῦ δούλου μορφὸν ὑπῆλθον. Εἶτα ἐπήγαγε·

38 Κατέβην ὐχ ἵνα τὸ ἐμὸν θέλημα ποιῶ, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με.

Τί λέγεις; ἕτερον γὰρ τὸ σὸν, καὶ ἕτερον τὸ ἐκείνου; ἵνα οὖν μὴ τοῦτό τις ὑποπτεύσῃ, διώρθωσε τῇ ἐπαγωγῇ, πάλιν λέγων·

40 Τοῦτο δέ ἐστι τὸ θέλημα τοῦ πέμψαντός με, ἵνα πᾶς ὁ θεωρῶν τὸν υἱὸν, καὶ πιστεύων εἰς

Λυκ. 18. μθ. ζωὴν αἰώνιον. Τοῦτο οὖν ἐστὶ τὸ θέλημα; καὶ πῶς λέγεις· Πῦρ ἦλθον βαλεῖν ἐπὶ τὴν γῆν, καὶ τί ἤθελον ἰδεῖν, εἰ ἤδη ἀνήφθη; εἰ δὲ καὶ σὺ τοῦτο θέλεις, δῆλον ὅτι ἓν θέλημα. καὶ γὰρ καὶ ἀλλαχοῦ φησιν· ὥσπερ γὰρ ὁ πατὴρ ἐγείρει τοὺς νεκροὺς καὶ ζωοποιεῖ, οὕτω καὶ ὁ υἱὸς οὓς θέλει ζωοποιεῖ. τί δέ ἐστι τὸ θέλημα τοῦ πατρός; ἵνα μὴ ἀπόληται ἐξ αὐτῶν μηδὲ ἕν; τοῦτο δὲ καὶ σὺ θέλεις· καὶ τοίνυν ἕτερον μὲν ἐκεῖνο, ἕτερον δὲ τοῦτο. Οὕτω καὶ ἀλλαχοῦ φαίνεται τὸ πρὸς τὸν πατέρα ἴσον ἐπὶ βεβαιότερον προάγων, φησὶ λέγειν· ἐγὼ καὶ ὁ πατὴρ ἐλευσόμεθα καὶ μονὴν παρ' αὐτῷ ποιησόμεθα. ὁ οὖν λέγει τοῦτο ἐστιν· οὐκ ἀλλοτί τι προσέξων ἦλθον ἢ τοῦτο, ὅπερ καὶ ὁ πατὴρ βούλεται. οὐκ ἰδιόν τι ἐμὸν πρὸς τὸ τοῦ πατρὸς ἔχω θέλημα. πολλάκις γοῦν τὰ τοῦ πατρὸς ἐμὰ ὅτι, καὶ τὰ ἐμὰ ἐκείνου. εἰ τοίνυν καινὰ τὰ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ· εἰκότως φησίν, οὐχ ἵνα τὸ ἐμὸν θέλημα ποιήσω. ἀλλ' οὕτω μὲν οὐ ταῦθα οὐκ εἶπεν, ἀλλὰ πρὸς ὃ βέλει τοῦτο τηρεῖ. τὰ γὰρ ὑψηλά, ὅπερ ἔφην, τέως ἐγκρύπτει καὶ συσκιάζει, καὶ βούλεται δεῖξαι, ὅτι εἰ εἶπεν ὅτι τὸ θέλημα τὸ ἐμὸν τοῦτο ἐστί, κατεφρόνησαν ἄν. λέγει τοίνυν, ὅτι καὶ ἐγὼ ἐκείνῳ συμπροσάπτω τῷ θελήματι, βουλόμενος αὐθις μᾶλλον πλῆξαι, ὡσανεὶ ἔλεγε· τί νομίζετε; ἐμὲ προσοργίζεσθε ἀπιστοῦντες; τὸ πατέρα μὲν οὐκ ἐμοὶ προσκυνεῖτε. τοῦτο γάρ ἐστι τὸ θέλημα τοῦ πέμψαντός με, ἵνα πάντες, ὃ δέδωκέ μοι, μὴ ἀπολέσω ἐξ αὐτοῦ. δείκνυσιν ἐνταῦθα οὐκ αὐτὸν διούμενον τῆς αὐτῶν θεραπείας, οὐδὲ δι' οἰκείαν χρείαν προσκαλούμενον, ἀλλὰ διὰ τὴν ἐκείνων σωτηρίαν, καὶ διὰ τὸ πρὸς αὐτῶν ὑμνεῖν. ὅπερ ἐν τῇ προτέρᾳ δημηγορίᾳ φησίν, ὅτι δόξαν παρὰ ἀνθρώπων οὐ λαμβάνω. καὶ πάλιν, ταῦτα λέγω ἵνα ὑμεῖς σωθῆτε. ἄνω γὰρ καὶ κάτω τοῦτο ἀσυδάζει πεῖσαι ὅτι διὰ τὴν ἐκείνων σωτηρίαν πρόκειται. λέγει γὰρ καὶ πατρὶ δόξαν παρασκευάζειν, ὥστε αὐτοπαθῶς εἶπε. καὶ ὅτι διὰ τοῦτο οὕτω λέγει, διὰ τοῦτο ἐξῆς τοῦτο σαφέστερον ἀπεκάλυψεν. ὁ γὰρ ζητῶν, φησί, τὸ θέλημα τὸ ἑαυτοῦ, τὴν δόξαν τὴν ἰδίαν ζητεῖ· ὁ δὲ ζητῶν τὴν δόξαν τοῦ πέμψαντος αὐτόν, ἀληθής ἐστι καὶ οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ. τοῦτο δέ ἐστι τὸ θέλημα τοῦ πατρός, ἵνα πᾶς ὁ θεωρῶν τὸν υἱὸν καὶ πιστεύων εἰς αὐτὸν, ἔχῃ ζωὴν αἰώνιον,

Καὶ ἀναστήσω αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ. Τί δήποτε συνεχῶς αἴρει καὶ κάτω τρέφει τὴν ἀνάστασιν; ἵνα μὴ τοῖς πρόσθεν θαύμασι κρίνωσι μόνον τὴν τοῦ Θεοῦ δύναμιν· ἵνα κἂν ἐνταῦθα μὴ ἀπολαύσωσι, μὴ διὰ τοῦτο ὑπολειφθῶσι τῶν ἄλλων, ἀλλὰ τὰ μέλλοντα προσδοκῶσιν, καὶ ἵνα μὴ διὰ τὸ μὴ κολάζεσθαι τοὺς τοῦτον, αὐτοῦ καταφρονῶσιν, ἀλλ' ἑτέραν προσδοκῶσι ζωήν.

ΗΘΙΚΟΝ Ἀλλ' ἐκεῖνοι μὲν οὐδὲν κέρδαινον, ἡμᾶς δὲ κερδαίνειν ἀναγκάζουσιν ἐν τῷ συνεχῶς ἡμῖν τὴν ἀνάστασιν ἐπηχεῖσθαι. κἂν πλεονεκτῆσαι βουληθῶμεν, κἂν ἁρπάσαι, κἂν ἄτοπόν τι προσέξαι, αὐτίκα τὴν ἡμέραν ἐκείνην εἰς νοῦν βαλώμεθα, καὶ τὸ δικαστήριον ἐκεῖνο προγράψωμεν, καὶ πάντος χαλινοῦ σφοδρότερον κατέξει τὴν ὁρμὴν τὸ ἄτοπον ὁ λογισμὸς οὗτος· καὶ λέγωμεν πρὸς ἄλλους τε ἀεὶ καὶ πρὸς ἑαυτούς, ἀνάστασις ἔστι, καὶ δικαστήριον ἡμᾶς μένει φοβερόν. κἂν ἴδωμεν ἵνα γαυρούμενον καὶ ἐπὶ τοῖς πρόσθεν ἀγαθοῖς φλεγμαίνοντα, τοῦτο αὖθις ἐπιλέγωμεν, ἐμφαίνοντες ὅτι πάντα ἐνταῦθα μένει. κἂν ἕτερον ἀλγοῦντα ἴδωμεν καὶ ἀποδυσπετοῦντα, καὶ πρὸς ἐκεῖνο τοῦτο αὖθις φθεγξώμεθα, δηλοῦντες ὅτι τέλος ἔχει τὰ λυπηρά. κἂν ῥᾳθυμοῦντα δὲ μαστιγούμενον, τοῦτο αὖθις πάλιν ἐπαιάζωμεν δηλοῦντες, ὅτι ἀνάγκη τῆς ῥᾳθυμίας βύθιους δίδυας. ἰσχυρὸν ἔστω τὸ ῥῆμα πάντος φαρμάκου μᾶλλον τὴν ἡμετέραν θεραπεύσαι ψυχήν. καὶ γὰρ ὄντως ἀνάστασις, καὶ ἀνάστασις ἐπὶ γυμνασίαν, καὶ μακρὰν, οὐδὲ παρέργως. ἔστι γὰρ μικρὸν ὅσον, ὃ ἐργάζεται ἡμῖν, καὶ οὐ χρεία. καὶ πάλιν· Πάντας ἡμᾶς φανερωθῆναι δεῖ ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ· τουτέστι, καὶ πονηροὺς καὶ ἀγαθούς· οὐκ ἐμοί, ἵνα ὑπὲρ πάντων αἰσχύνωνται, οὐκ ἐμοί, ἵνα ὑπὲρ πάντων λαμπροτέρων ἀγάλλωνται. καθάπερ γὰρ ἐνταῦθα καὶ δικάζοντες καὶ πονηροὺς κολάζοισι καὶ ἀγαθοὺς τιμῶσι

τιμῶσι δημοσίᾳ· οὕτω δὴ κἀκεῖ γίνε), ὥστε τοῖς μὲν τὴν αἰσχύνην μείζω, τοῖς δὲ τὴν λαμπρότητα ἡμέραν φανεσθαι. Ταῦτα τοίνυν καθ' ἑκάστην ἐκδίκως ἀπορραίνωμεν ἑαυτοὺς τὴν ἡμέραν. Τοῦτα ἂν ἀεὶ τρέφωμεν," σὺν ἐμοὶ φησὶ τὸ πρόσωπον ἡμᾶς διδάσκειν δυνήσε) πραγμάτων. τὰ δὲ βλεπόμενα πρόσκαιρα, τὰ δὲ μὴ βλεπόμενα αἰώνια. Ζωοποιῶ τοίνυν τὸ πρὸς ἑαυτὸν φρονεῖν ἡμᾶς καὶ πρὸς ἀλλήλους· δύο ἐστὶν ἃ τὴν κρίσιν καὶ βύθιον τῶν πεπραγμένων. καὶ ὅσοι νομίζουσιν εἰμὶ μυρμηκίαν εἶναι, πολλὰ λεγέτωσαν, καὶ βύθους ἀπαλλαγήσονται τῆς σπερδόνος τὸ νοσήματος. Εἰ γὰρ δύο ἐστὶν ἃ τὴν κρίσιν, οὐκ ἔστιν εἰμὶ μυρμηκία, κἂν μυρία φιλονεικῶσι καὶ ἀποπνίγωνται. Ἀλλὰ γὰρ αἰσχύνομαι χριστιανοὺς πρὸς διδάσκειν. ὁ γὰρ δεόμενος μαθεῖν ὅτι ἔστιν δύο κρίσις, καὶ μὴ σφόδρα πεπεικὼς ἑαυτὸν, ὅτι οὐκ ἀνάγκη καὶ ἁπλῶς καὶ ὡς ἔτυχε, τὰ πράγματα φέρεται, οὐκ ἂν εἴη χριστιανός. Διὰ τοῦτο παρακαλῶ καὶ δέομαι, πάντων τῶν πονηρῶν ἑαυτὸν ἐκκαθαίρωμεν, καὶ πάντα πράξωμεν ὥστε συγκατάβασιν τυχεῖν καὶ ἀπολογίας τῆς τὴν ἡμέραν ἐκείνην. Ἀλλ' ἴσως ἐρεῖ τις· καὶ πότε ζωοτέλεια, πότε δὲ ἀνάστασις ἔσται; ἰδοὺ πόσος γέγονε χρόνος, καὶ οὐδὲν τοιοῦτον ζωόεν. Ἀλλ' ἔσται, πίστευσατε. καὶ γὰρ ὁ τοῦ κατακλυσμοῦ τοιαῦτα ἔλεγεν, οὐ κατέλαβε καὶ κατελέλυσε τὸν Νῶε, ἀλλ' ἦλθεν ὁ κατακλυσμὸς καὶ πάντας μὲν ἀπωλείας ἀπεσώσατο, καὶ κιβωτὸν δὲ ἔσωσε τοὺς πιστεύσαντα. ὁ δὲ τοῦτο τοῦ Λὼτ καὶ τοσοῦτον τὸν θεσβύτην πλημμελῶ ἐκείνῳ, ἕως τοῦ πῦρ ἐξ οὐρανοῦ κατενεχθέντες ἀπώλειας ἠφάνισε. καὶ ὅτε ἐπὶ τούτων, ὅτε ἐπὶ τοῦ τοῦ Νῶε ἑτοίμου τοῦ προσίμιον τῶν μελλόντων συμβήσεσθαι, ἀλλὰ προφώντων, μεθυόντων, ἐμπροσπαιζόντων ἀπάντων, ὅτως ἐκεῖνα γέγονε τὰ ἀφόρητα. οὕτω καὶ ἡ ἀνάστασις ἔσται· ὁ μὴ τοιμίοις πᾶσι, ἀλλ' ἐν μέσαις ὄντων ἡμῶν εὐημερίαις. διὰ τοῦτο καὶ ὁ Παῦλός φησιν· Ὅταν γὰρ λέγωσιν Εἰρήνη καὶ ἀσφάλεια, τότε αἰφνίδιος αὐτοῖς ἐφίσταται ὄλεθρος, ὥσπερ ἡ ὠδὶν τῇ ἐν γαστρὶ ἐχούσῃ, καὶ οὐ μὴ ἐκφύγωσι. Διὰ τοῦτο καὶ "ὅταν φωνήσωσιν ὁ Θεός, ἵνα ἀμέμπτους ὦμεν ἐναντίον καὶ ἐν αὐτῇ τῇ ἀσφαλείᾳ μὴ θαρραλέως ἡ λέγῃς; οὐ προσδοκᾷς τὴν ἀνάστασιν ἔσεσθαι καὶ κρίσιν; δαίμονες ὁμολογοῦσι ταῦτα, καὶ σὺ" ἀναγνώστης; ἦλθες γὰρ, φασι, πρὸ καιροῦ βασανίσαι ἡμᾶς; καὶ ὃ βάσανον ἔστιν λέγοντες, καὶ κρίσιν ἴσασι καὶ εὐθυμίας καὶ τιμωρίας. μὴ τοίνυν προξενῶμεν τῷ Θεῷ, πρὸς ὃν φαῦλα τολμᾶν, καὶ ἀπιστοῦντες τῷ τῆς ἀνάστασεως λόγῳ. ὥσπερ γὰρ ἐν τοῖς ἄλλοις ἦρξεν ἡμῶν ὁ Χριστός, οὕτω καὶ ἐν τούτῳ. καὶ γὰρ πρωτότοκος διὰ τοῦτο λέγεται ἐκ τῶν νεκρῶν. Εἰ μὴ ἀνάστασις ἦν, πῶς ἔμελλε πρωτότοκος ἔσεσθαι, μηδενὸς ἐκ τῶν νεκρῶν ἐπομένου; Εἰ μὴ ἀνάστασις ἦν, τοῦ τοῦ Θεοῦ τὸ δίκαιον σώζει), τοσούτων μὲν πονηρῶν εὐημερούντων, τοσούτων δὲ ἀγαθῶν θλιβομένων, καὶ ἐν τῇ θλίψει βίον καταλυόντων; πῦ γὰρ τὰ καθ' ἁρμόδιον ἑκάστος ἀπολήψεται τούτων, εἰ μὴ ἀνάστασις μή ἐστιν; σὺ δὲ τὸν ὀρθῶς βεβιωκότων τὴν ἀνάστασιν ἀμπισχεῖ, ἀλλὰ καθ' ἑκάστην εὐχονται τὴν ἡμέραν, τὴν ῥῆσιν ἐκείνην τὴν ἀγίαν λέγοντες· ἐλθέτω ἡ βασιλεία σου. Τίνες οὖν εἰσιν οἱ τὴν ἀνάστασιν ἀμφισβητοῦντες; οἱ βεβήλους ἐχθροὺς τὰς ὁδοὺς καὶ ἀκάθαρτον τὸν βίον, καθάπερ ὁ προφήτης φησί· Βεβηλώσουσι αἱ ὁδοὶ αὐτῶν ἐν πάσῃ καιρῷ· ἀφῃρημέναι οἱ κρίματά σου ἀπὸ προσώπου αὐτῶν. ὁ γὰρ θεὸς, ὅτι ἔστιν, οὐκ ἔστιν αὐθέκαστον βίον ἔχειν καθαρὸν ἀνάστασιν ἀμφισβητοῦντα· ὡς οἵτε μηδὲν συνειδότες ἑαυτοῖς πονηρὸν, καὶ λέγουσι, καὶ βούλονται, καὶ πιστεύουσιν ὥστε τὴν ἀνταπόδοσιν λαβεῖν. μὴ τοίνυν αὐτὸν προξενῶμεν, ἀλλ' ἀκούωμεν αὐτοῦ λέγοντος, Ὅτι φοβήθητε τὸν δυναμένον καὶ ψυχὴν καὶ σῶμα ἀπολέσαι ἐν γεέννῃ· ἵνα διὰ τοῦ φόβου γενώμεθα βελτίους, καὶ τῆς ἀπωλείας ταύτης ἀπαλλαγέντες καταξιωθῶμεν τῆς βασιλείας τῶν οὐρανῶν· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ομιλ. μς.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ομιλ. μς΄. 41 ΕΓΟΓΓΥΖΟΝ ΟΥΝ ΟΙ ΙΟΥΔΑΙΟΙ ΠΕΡΙ αὐτοῦ ὅτι εἶπεν, ἐγώ εἰμι ὁ ἄρτος ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς·
42 Καὶ ἔλεγον, οὐχ οὗτός ἐστιν Ἰησοῦς ὁ υἱὸς Ἰωσήφ, οὗ ἡμεῖς οἴδαμεν τὸν πατέρα καὶ τὴν μητέρα; πῶς οὖν λέγει ἐκ τοῦ οὐρανοῦ καταβέβηκέναι;

ΟΝ ὁ Θεὸς ἡ κοιλία καὶ ἡ δόξα ἐν τῇ αἱρέσει αὐτῶν, "γράφων Φιλιππησίοις ὁ Παῦλος φησί τινων ἔλεγε. ὅτι οἱ μὲν Ἰουδαῖοι διοδοτοι, δῆλον μὲν ἀπὸ τῶν ἐμπροσθεν, δῆλον δὲ καὶ ἀφ' ὧν τῷ Χριστῷ προσελθόντες διελέγοντο. ὅτε μὲν γὰρ ἄρτον ἔδωκεν αὐτοῖς καὶ τὴν γαστέρα ἐνέπλησε, καὶ προφήτην ἔλεγον εἶναι, καὶ βασιλέα ποιῆσαι ἐζήτουν· ὅτε δὲ αὐτοῖς ἐδίδασκε περὶ τῆς πνευματικῆς τροφῆς, περὶ ζωῆς αἰωνίου, ὅτε ἀπήγαγεν αὐτοὺς τῶν αἰσθητῶν, καὶ περὶ ἀναστάσεως διελέγετο, καὶ ὑψηλοτέραν ἐποίει τὴν γνώμην, ὅτε μάλιστα θαυμάζειν αὐτὸν ἐχρῆν, τότε γογγύζουσι καὶ ἀποπηδῶσι. καὶ μοι, εἰ οὗτός ἐστιν ὁ προφήτης, καθὼς "ἔφησαν εἰπόντες," οὗτός ἐστι περὶ οὗ φησιν ὁ Μωϋσῆς, Ὅτι προφήτην ὑμῖν ἀναστήσει Κύριος ὁ Θεὸς ἐκ τῶν ἀδελφῶν ὑμῶν ὡς ἐμέ, αὐτοῦ ἀκούσεσθε, ἐχρῆν "αὐτοὺς ταῦτα ἀκούειν λέγοντος, ὅτι ἐκ τοῦ οὐρανοῦ καταβέβηκα. ἀλλ' οὐκ ἤκουον, ἀλλ' ἐγόγγυζον. ἐπὶ γὰρ αὐτὸν ἠδιοῦντο διὰ τὸ νεανίσκον εἶναι τὸ τῶν ἄρτων σημεῖον· διὰ τοῦτο φανερῶς μὲν οὐκ ἀντέλεγον, τῷ δὲ γογγύζειν ἐνέφαινον ὡς ἠγωνάκτουν, ὅτι μὴ ἔδωκεν αὐτοῖς πάντοτε ἄρτους ἐκ οὐρανοῦ βρέχων ἐβούλοντο, καὶ γογγύζοντες ἔλεγον· οὐκ ἔστιν οὗτός ὁ υἱὸς Ἰωσήφ; ὅθεν δῆλον ὅτι οὐδὲ τὸν θαυμαστὸν αὐτοῦ καὶ παραδόξον οὐδέπω ἠδέσαντο γνώμην. διὰ τοῦτο γοῦν αὐτὸν υἱὸν Ἰωσήφ ἔτι λέγουσιν εἶναι, καὶ οὐκ ἐπιμένουσι, οὐδὲ λέγει αὐτοῖς, οὐκ εἰμὶ υἱὸς Ἰωσήφ· ἀλλ' ὅτι υἱὸς Ἰωσήφ ἦν, ἀλλ' ὅμως οὐδέπω ἠδύναντο τὸν θαυμαστὸν ἐκεῖνον ἀκοῦσαι τόκον. εἰ δὲ τὸ σῶμα οὐκ ἠδύναντο σαφῶς ἀκοῦσαι, πολλῷ μᾶλλον τὸ ἄρρητον τοῦ λόγου. εἰ δὲ τὸ ταπεινὸν οὐκ ἀπεκάλυψε, πολλῷ μᾶλλον ἐκεῖνο οὐκ αὐτοῖς ἐφανέρωσε. καίτοι τοῦτο αὐτοῦ σφόδρα ἐσκανδάλιζε, τὸ ἐξ οὐτελοῦς εἶναι καὶ τῆς τυχούσης· ἀλλ' ὅμως οὐκ ἀπεκάλυψεν, ἵνα μὴ ἕτερον σκάνδαλον ἀναιρῶν, ἕτερον ποιήσῃ. τί οὖν αὐτὸς γογγυζόντων αὐτῶν ἔλεγε;

44 Οὐδεὶς δύναται ἐλθεῖν πρός με, ἐὰν μὴ ὁ πατήρ μου, ὁ πέμψας με, ἑλκύσῃ αὐτόν.
"Τοῦτοις ἀποπηδῶσι Μανιχαῖοι λέγοντες, ὅτι οὐδὲν ἐφ' ἡμῖν κεῖται. καὶ μοι τοῦτο δείκνυσι κωλύοις ὄντας τῆς γνώμης. εἰ γὰρ τις ἔρχεται πρὸς αὐτόν, φησί, τί δεῖ τῆς ἕλξεως; τοῦτο δὲ οὐδὲ ἐφ' ἡμῖν ἀναιρεῖ, ἀλλὰ δείκνυσιν ἡμᾶς βοηθείας δεομένους. καὶ αἰτίαται ἐνταῦθα οὐδὲν τὸν ἀκοντα ἑρπάζοντα, ἀλλὰ τὸν πολλῆς ἀπολαύοντα συμμαχίας. εἶτα δείκνυσι καὶ τὸν τρόπον καθ' ὃν ἕλκει. ἵνα γὰρ μὴ πάλιν αἰσθητόν τι περὶ τὸν Θεὸν ὑποπτεύσωσιν, ἐπήγαγεν·

46 Οὐχ ὅτι τὸν Θεὸν τις ἑώρακεν, εἰ μὴ ὁ ὢν παρὰ τοῦ Θεοῦ, οὗτος ἑώρακε τὸν πατέρα. Πῶς οὖν ἕλκει, φησί; τοῦτο ὁ προφήτης ἀνωθεν εἶπε προαναφωνήσας,
45 Οὐκ ἔσονται πάντες διδακτοὶ Θεοῦ. Εἶδες τῆς πίστεως τὸ ἀξίωμα; "καὶ πῶς ἀκούσας παρὰ πατρὸς διδαχθείς, οὐδὲ δι' ἀνθρώπου, ἀλλὰ δι' αὐτοῦ τοῦ Θεοῦ" τοῦτο μέλλοισι μανθάνειν; διὰ δὴ τοῦτο τὸν τῶν λόγων ποιῶν ἀξιόπιστον, ὅτι οὐ προφήτας αὐτοῖς ἐπέπεμψεν. εἰ τοίνυν ἔσονται πάντες διδακτοὶ Θεοῦ, πῶς τινες οὐ πιστεύουσιν; ὅτι τὸ εἰρημένον περὶ τῶν πλειόνων εἴρηται. *τὸ χωρὶς τούτου, "οὐχ ἁπλῶς πάντας τὸ προφητικόν, ἀλλὰ πάντας δηλονότι τοὺς βουλομένους. διδάσκαλος γὰρ προκάθηται, πᾶσιν ἕτοιμος ὢν τὰ αὐτοῦ παραδιδόναι, καὶ εἰς πάντας ἐκχέων τὸν διδασκαλίαν τὸν ἑαυτοῦ. Καὶ ἐγὼ ἀναστήσω αὐτὸν ἐν τῇ ἐσχάτῃ

ἀπόπεμψον

περὶ τῶν Παύλου ἐπιστολῶν ἀλαζονεύεται ἕλκει δὲ τὸν

ἐν τῇ ἐσχάτῃ

Δευτ. ιη. ιε.

Ιωαν. ς. λθ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἑξάτῃ ἡμέρᾳ. οὐ μικρὸν ἐνταῦθα τοῦ γόου τὸ ἀξίωμα, εἶγε ὁ πατὴρ προσάπτει, καὶ δοῦ ἀνίσησιν· οὐχὶ Δημεσύμβους πρὸς Φ πατέρα τὰ ἔργα (πῶς γάρ;) ἀλλὰ δεικνὺς τὸ ἴσο-σάσιον τῆς δυνάμεως. ὥσπερ οὖν ἔλεγον, καὶ ὁ πέμψας με πατὴρ μαρτυρεῖ ἐμοί, εἶτα, ἵνα μὴ φωνὴν προσεργάζωνται, πρέπεμψεν αὐτοῖς ταῖς χερσὶν· οὕτω καὶ ἐνταῦθα, ἵνα μὴ τὸ αὐτὸ ἐκεῖνο πάθωσι, προσπέμπει αὐτοὺς τοῖς προφήταις, τούτοις ζωηρῶς ἄνω καὶ κάτω τρέφων, δεικνὺς ἑαυτὸν οὐκ ἐναντίον ὄντα τῷ πατρί. τί οὖν Φ πρὸς τοῦτο, φησὶν, οὐχὶ διδακτοὶ ἦσαν τοῦ Θεοῦ; τί οὖν ἐνταῦθα τὸ ἐξαίρετον; ὅτι τότε μὲν δι' ἀγγέλων ἐμυθάνον τὰ τοῦ Θεοῦ· νῦν δὲ ἀφ' ἑαυτοῦ τοῦ μονογενοῦς υἱοῦ τοῦ Θεοῦ καὶ ἀφ' ἑαυτοῦ πνεύματος τοῦ ἁγίου. εἶτα φησὶν, οὐχ ὅτι τὸν πατέρα τις ἑώρακεν, εἰ μὴ ὁ ὢν ἐκ τοῦ Θεοῦ, οὗτος τὸν τῆς αὐτίας λόγον ἐνταῦθα ὅτι λέγων, ἀλλὰ καὶ τὸν τρόπον τῆς οὐσίας. ἐπεὶ εἰ ὅτι ἔλεγε, πάντες προσῆλθον τοῦ Θεοῦ ἐσμεν. ποῦ οὖν τὸ ἐξαίρετον ἦν ἡμῶν; πῶς δὲ ἔνεκεν τηνικάδε ἀλλ' οὐ τέθνηκε, φησὶν, ἀφ' ἑαυτοῦ τῶν ἐκείνων ἀναπέφθην. εἰ γὰρ εἰ πόντος, οὐκ ἂν οὐρανοῦ καταβέβηκα, ὅτως ἐσκανδαλίσθησαν· τί οὖν οὐκ ἔπαθον, εἰ καὶ τοῦτο προσέθηκεν; αὐτὸν δὲ ζωῆς ἑαυτὸν καλεῖ, ὅτι τῷ ζωὴν ἅμα συγκρατεῖ ἑαυτῷ καὶ τῷ μέλλοσαν, καὶ φησιν· ὃς αὐτὸν φάγῃ οὐ τοῦ αὐτοῦ τούτου, ζήσεται εἰς Φ αἰῶνα. αὐτὸν δὲ ἤτοι τὰ δόγματα φησιν ἐνταῦθα τὰ σωτήρια, καὶ τὴν πίστιν τὴν εἰς αὐτὸν, ἢ τὸ σῶμα τὸ ἑαυτοῦ. ἀμφότερα γὰρ νοῦν ἔχει τὸν ψυχικόν. καίτοιγε ἄλλαχού φησιν, ἐάν τίς μου Φ λόγον ἀκούσῃ, καὶ μὴ γνῶσηται θαυμάσῃ· οὐ ἐσκανδαλίσθησαν. ἐνταῦθα δὲ οὐδὲν τοιοῦτον ἔπαθον, τάχα δὲ ἐπὶ δυσωπεῖσθαι αὐτὸν ἀπὸ τῶν μεγίστων αὐτῶν. ὅρα δὲ πόθεν ποιεῖται τὸν πρὸς ὃ μόνα δέχονται φοβερόν. ἀπὸ τοῦ τέλους ἀκοῦσαι ἐκατέρας τῆς ἔφης. δεικνὺς γὰρ ὅτι καὶ ξένιόν τινα ἐκείνη παρέσχε τὸν χειμῶνα·

49 Οἱ πατέρες ὑμῶν ἔφαγον ἐν τῇ ἐρήμῳ τὸ μάννα, καὶ ἀπέθανον. Εἶτα κατασκευάζει τὸ μάλιστα πεῖσον αὐτοῖς, ὅτι πολλῷ τῶν πατέρων αὐτῶν μείζονων αὐτοὶ ἠξίωνται, οὓς προεῖπε Μωϋσέα ἀμφιπόμβους ἐν μασοῖς ἀνδρας ἐκείνους. Δι' ὃ καὶ ἔλεγεν ὅτι ἀπέθανον Φ τὸ μάννα φαγόντες, ἐπήγαγεν, ὁ τρώγων ἐκ τοῦ ἄρτου τούτου, ζήσεται εἰς Φ αἰῶνα. καὶ τὸ, ἐν τῇ ἐρήμῳ, οὐκ ἄπλως τέθεικεν, ἀλλ' ἀμφιπόμβους ὅτι οὐδὲ ἐξεπάδη ὅπου χρόνον πολύν, οὐδὲ ἐμείσπλησεν εἰς τὸν τῆς ἐπαγγελίας γῆν. οὗτος δὲ ὁ ἄρτος οὐ τοιοῦτος.

51 Καὶ ὁ ἄρτος δὲ, ὃν ἐγὼ δώσω, ἡ σάρξ μού ἐστιν, ἣν ἐγὼ δώσω ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς. Εἰκότως δὲ ἐνταῦθα Δι' ἀπορήσειεν ἄν τις, ποῖος τῶν λόγων τούτων χαλεπὸς ἦν, οἰκοδομηθῆναι μὲν οὐδὲν οὐδὲ χρησιμεύοντων, καὶ τοῖς οἰκοδομηθεῖσι δὲ λυμαινομένων. ἐκ γὰρ τούτου, φησὶ, πολλοὶ τῶν μαθητῶν αὐτοῦ ἀπῆλθον εἰς τὰ ὀπίσω, λέγοντες· σκληρός ἐστιν ὁ λόγος οὗτος, τίς δύναται αὐτοῦ ἀκούειν; ἐνταῦθα γὰρ ταῦτα μόνοις προσδοθῆναι τοῖς μαθηταῖς, καθάπερ ὁ Ματθαῖος ἔλεγεν, ὅτι ἰδίᾳ διελέγετο αὐτοῖς. τί δήποτε οὖν ἐφύλαττεν; τί δὲ χρήσιμον τῆς ῥητορείας; πολὺ γὰρ τὸ χρήσιμον καὶ τὸ ἀναγκαῖον. ὅπερ ἐπέτεινεν Ἕλλησι αἰτιοῦντες αὐτὸν τὴν σωματικήν, καὶ τῆς ὑπὲρ τῶν προγόνων προσηκούσης ἀναμιμνήσκοντες, καὶ μέγα τὸ μάννα λέγοντες· δεικνὺς ὅτι πολλὰ σκιὰ τύπος ἦν καὶ σκιά, ἢ ὅπερ παραμικρὰ ἀληθείας ἡ παροῦσά ἐστι, μέμνηται Ἕλλησι πνευματικῆς. ἀλλ' ἔδει, φησὶν, εἰπεῖν, ὅτι Φ πατέρες ὑμῶν ἔφαγον ἐν τῇ ἐρήμῳ τὸ μάννα, ἐγὼ δὲ ἄρτον πρὸς ἔχον ὑμῖν. ἀλλὰ πολὺ τὸ μέσον. ἐδόκει γὰρ τοῦτο καὶ ἔλαττον εἶναι ἐκείνου, τῷ σκιᾷ μὲν ἄνωθεν φέρεσθαι, τοῦτο δὲ κάπω γενέσθαι τὸ θαῦμα τῶν ἄρτων. ἐπεὶ οὖν ἐζήτουν ἐκ τοῦ οὐρανοῦ φερομένου Ἕλλησι, Δι' ὅτο ζωηρῶς ἔλεγεν· ἐκ τοῦ οὐρανοῦ καταβέβηκα. εἰ δὲ ἀζεταζοίτις, τί δήποτε καὶ τὸ προεῖπε μυστηρίων ἐνέβαλε λόγον, σκιᾷ ἐφύλαττεν, ὅτι δὲ τούτων σφόδρα τῶν λόγων ὁ χρόνος ἦν. τὸ γὰρ ἀσαφὲς τῶν εἰρημένων ἀεὶ Φ ἀκροατὴν Δημιουργεῖ καὶ προσεκκαλεῖται

ἐργάζεται. ὑ τοίνυν σκανδαλίζεσθαι ἐδέ, ἀλλ' ἐρωτᾶν" μᾶλλον δὲ πυθέσθαι· νυνὶ δ' ἀνεχώρησαν. Εἰ γὰρ ὡς φήτην αὐτὸν εἶ ἐνόμιζον, ἐχρῆν πιστεῦσαι τοῖς λεγομένοις. ὥστε τῆς ἐκείνων ἀνοίας τὸ σκάνδαλον ἰών, οὐ τῆς ἀπορίας τῶν λεγομένων. σὺ δ' ὅρα πῶς χρὴ μικρὸν αὐτοῦ ἀνήγαγε πρὸς αὐτόν. ἐν ταῦθα γὰρ ἑαυτὸν φησι δίδοναι, οὐ τὰ πέρα· καὶ ὁ ἄρτος δέ, φησίν, ὃν ἐγὼ" δώσω, ἡ σάρξ μού ἐστιν, ἣν ἐγὼ δώσω ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς. ἀλλὰ ξένη τις ἦν ἡ διδασκαλία, φησί, καὶ παράλογος. καίτοιγε ὁ Ἰωάννης ἄνωθεν τοῦτο ἠνίξατο, ἀμυδρῶς αὐτὸ ἀποκαλέσας· ἀλλ' οὐδὲ οὕτως ἤδεσαν, φησιν. οἶδα κἀγώ. ἀλλ' οὐδὲ οἱ μαθηταὶ ἠπίστησαν. Εἰ γὰρ καὶ ἀνασάσεως οὐδέπω τι ἤδεσαν σαφές, καὶ ἐκ τοῦ ἠγνόησαν τί ποτέ ἐστι, λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν· πολλῷ μᾶλλον περὶ τῶν εἰρημένων. ταῦτα γὰρ ἐκείνων ἀσαφέστερα ἦν. ὅτι μὲν γὰρ περὶ τῆς ἀναστάσεως ἔλεγεν, ἤδεσαν, εἰ καὶ μὴ οὕτω σαφῶς εἰρήκασιν οἱ ἁγιογράφοι· ὅτι δὲ σάρκα τις ἔφαγεν, οὐδέποτε οὐδεὶς εἶπεν ἐκείνων. ἀλλ' ὅμως ἐπείθοντο καὶ ἠκολούθουν, καὶ ὡμολόγουν ῥήματα ζωῆς αἰωνίου αὐτὸν ἔχειν. τοῦτο γὰρ μαθητοῦ, τὸ μὴ περιεργάζεσθαι τὰ τοῦ διδασκάλου, ἀλλ' ἀκούειν καὶ πείθεσθαι, καὶ μὴ περισκοπεῖν καὶ ἐξαμβλύνειν τὴν λύσεως. τί οὖν, φησιν, ὅτι τὸ ὠμὸν ζωέβη, καὶ ἀπῆλθον εἰς τοὐπίσω; τοῦτο οὐδὲ τῶν ἐκείνων αἴσθου. ὅταν γὰρ ἡ ζήτησις τοῦ πῶς εἰσέλθῃ, ζωὴ ἐξέρχεται καὶ ἀπιστία. οὕτω καὶ Νικόδημος ἐθορυβεῖτο λέγων· πῶς δύναται ἄνθρωπος εἰσελθεῖν εἰς τὴν κοιλίαν τῆς μητρὸς αὐτοῦ; οὕτω δὲ οὗτοι ταὐτόν λέγοντες,

52 Πῶς δύναται δοῦναι ἡμῖν φαγεῖν τοῦτ τὴν σάρκα αὐτοῦ;

Εἰ γὰρ τὸ, πῶς, ζητεῖς, διὰ τί τοῦτο ὅτι τῶν ἄρτων οὐκ εἶπες, πῶς τοὺς πέντε εἰς τοσούτους ἐξέτεινεν; ὅτι τοῦ χρεωδαήναι μόνον ἦσαν τότε, οὐ δὲ τὸ φαῦμα ἰδεῖν. ἀλλ' ἡ πεῖρα τότε, φησὶν, ἐπαίδευσεν· οὐκοῦν ἐξ ἐκείνης ἔδει καὶ τοῦτα νοεῖν οὐ παιδαρίδεια. Διὰ γὰρ τοῦτο προλαβὼν ἔφαυματούργησε ὁ παιδαγωγὸν ἔχειν, ἵνα δι' ἐκείνου διδαχθέντες, μηκέτι διαπιστῶσι τοῖς μὴ τοῦτα λεγομένοις.

ΗΘΙΚΟΝ Ἐκεῖνοι μὲν οὖν οὐδὲν ἐκαρπώσαντο τότε ἐκ τῶν εἰρημένων, ἡμεῖς δὲ τῆς διεργεσίας δι' αὐτῶν τῶν ἔργων ἀπολελαύκαμεν. διὰ τί δὲ ἀναγκαῖον μαθεῖν τὸ φαῦμα τῶν μυστηρίων τί ποτέ ἐστι, καὶ διὰ τί ἐδόθη, καὶ τίς ἡ ὠφέλεια τοῦ πράγματος. ἐν σῶμά ἐσμεν, καὶ μέλη ἐκ τῆς σαρκὸς αὐτοῦ καὶ ἐκ τῶν ὀστέων αὐτοῦ. ἃ οὖν μεμνημένοι ἀκολουθεῖτωσαν τοῖς λεγομένοις. ἵν' οὖν μὴ μόνον τῇ τιμῇ ἀγαπῶμεν τοῦτο ἡνώμεθα, ἀλλὰ καὶ κατ' αὐτὸ τὸ πρᾶγμα εἰς ἐκείνην ἀναχεραδῶμεν τὴν σάρκα. διὰ τῆς ἕνωσης τοῦτο γίνεται, ἧς ἐχρείσατο, βουλόμενος ἡμῖν δεῖξαι τὸν πόθον, ὃν ἔχει περὶ ἡμᾶς. διὰ τοῦτο ἀνέμιξεν ἑαυτὸ ἡμῖν, καὶ ἀνέφυρε τὸ σῶμα αὐτοῦ εἰς ἡμᾶς, ἵνα ἓν τι ἡνώμεθα, καθάπερ σῶμα κεφαλῇ συνημμένον. τῶν γὰρ σφόδρα ποθούντων ἐστὶ τοῦτο *. τοῦτο γοῦν ὁ Ἰωὴλ ἀνιπτόμενος ἔλεγε περὶ τῶν οἰκετῶν, οἷς ἐν ὅτῳ μὴ ἐνάρθολος πόθος, ὡς περισφίγγαι ταῖς ἀρχῇν αὐτοῦ ὀπτιθυμεῖν. οὗτοι γὰρ καὶ πολλὰ αὐτῶν ἐνδεικνύμενοι πόθον οὐκ εἶχον, ἔλεγον· τίς δὲ ὄφελος ἡμῖν τῶν ἀρχῶν αὐτοῦ ἐμπλησθῆναι; διὰ δὴ καὶ ὁ Χριστὸς αὐτὸ πεποίηκεν, εἰς φιλίαν ἡμᾶς ἀγαγὼν μείζονα, καὶ τὸν αὐτοῦ πόθον ἐνδεικνύμενος τὸν περὶ ἡμᾶς οὐκ ἰδεῖν αὐτὸν μόνον παρέσχε τοῖς ὀπτιθυμοῦσιν, ἀλλὰ καὶ ἅψασθαι δὲ φαγεῖν, καὶ ἐμπῆξαι τοὺς ὀδόντας τῇ σαρκὶ καὶ συμπλακῆναι δὲ τὸν πόθον ἐμπλῆσαι πάντα. ὡς λέοντες τοίνυν πῦρ πνέοντες, ὅτως ἀναχωρῶμεν ἀπὸ τῆς τραπέζης ἐκείνης, φοβερὸν ἀπεργαζόμενοι ἡμῖν ἀκόλουθον ἡνώμενοι, καὶ τῇ κεφαλῇ τῇ ἡμετέρᾳ συνοδοιπορήσαντες, καὶ τῇ ἀγάπῃ ἣν περὶ ἡμᾶς ἐπεδείξατο. ἃ μὲν οὖν ἡνώπησαντες πολλάκις ἑτέρωθι τρέφειν δίδασι τὰ τεθέντα· ἐγὼ δὲ οὐχ ὅτω, φησὶν, ἀλλὰ ταῖς ἀρχῇ τρέφω παῖς ἐμαῖς, ἐμαυτὸν ὑμῖν παραστήσαι πολλὰς ὑμᾶς ἀνῆκε εἰ βουλόμενος, καὶ χρήσασθαι ὑμῖν περὶ τὰ μαγόντων ὑποτεινόμενα ἐλπίδας. ὁ γὰρ ἐνταῦθα ὑμῖν ἐκδοὺς ἑαυτὸν, πολλῷ μᾶλλον ἐν τῷ μέλλοντι ἀδιάφορος

χ. ἐλεγεν
χ. ἀναγκαῖον
χ. παῦ μᾶλλον τῆς συνήθους ἑαυτοῦ. ὅτι λέγοντες, ὅτι μαπι ζωῆς
χ. τὸ μυστικὸν
χ. αὐτοῦ τῶν
χ. δίδασκ... ἔχ οἱ ἔχον ὕστερον, ἀλλ πεναγιάζ...
χ. ἤδεται
χ. ἀπὸ χέσπα·
χ. ἐγένετο
χ. ἐπὶ τῆς ἀναστάσεως

φὸς ἠθέλησα ὑμέτερος γενέσθαι, συνοινώνησα σαρκὸς καὶ αἵματος δι' ὑμᾶς, πάλιν αὐτὴν ὑμῖν τὴν σάρκα καὶ τὸ αἷμα, δι' ὧν συγγενὴς ἐγνώσθην, ἐκδίδωμι. τοῦτο τὸ αἷμα τὴν εἰκόνα ἡμῖν ἀνθημαῖον ἐργάζεται τὴν βασιλικὴν, τοῦτο κάλλος ἀμήχανον τίκτει, τοῦτο ἀπορραθῆναι τῆς ψυχῆς τὴν ἀνθρωπείαν σὰρκ ἀφίησιν, ἀρρῶν αὐτὴν συνεχῶς καὶ πρέφον. τὸ μὲν γὰρ ἀπὸ τῶν σιτίων ἡμῖν αἷμα γινόμενον οὐκ αὐθέως τοῦτο ποιεῖ, ἀλλ' ἕτερόν τι· τοῦτο δὲ οὐχ οὕτως, ἀλλ' αὐθέως τὴν ψυχὴν ἀρδεύει καὶ μεγάλην τινὰ δύναμιν ἐμποιεῖ. τοῦτο τὸ αἷμα" ἀξίως λαμβανόμενον ἐλαφρύνει μὲν δαίμονας καὶ πόρρωθεν ἐλαύνει ποιεῖ, καλῶν τὰ ἄγγελους πρὸς ἡμᾶς καὶ (ιν) διασπᾶται τὴν ἀγγέλων. ὅπου γὰρ ἂν ἴδωσι τὸ αἷμα τὸ διαστικὸν, φεύγουσι μὲν δαίμονες, συνέρχονται δὲ ἄγγελοι. τοῦτο τὸ αἷμα ἐκχυθὲν πᾶσαν τὴν οἰκουμένην ἐξέπλυνε· πολλὰ 10 περὶ τοῦ αἵματος τούτου ὁ μακάριος Παῦλος ἐν τῇ πρὸς Ἑβραίους ἐφιλοσόφησε. ὅτι τὸ αἷμα τὰ ἄδυτα καὶ τὰ ἅγια τῶν ἁγίων ἐκάθηρεν. εἰ δὲ ὁ τύπος αὐτοῦ τοσαύτην εἶχεν ἰσχὺν ἔν τε τῷ ναῷ τῶν Ἑβραίων, ἔν τε Λιγύπτῳ μέσῃ τῇ * φλιὰς ἐπιχριόμενον, πολλῷ μᾶλλον ἡ ἀληθὴς. τοῦτο τὸ αἷμα τὸ χρυσοῦν θυσιαστήριον ἁγίασε· τούτου χωρὶς γὰρ ἐτόλμα ὁ ἀρχιερεὺς εἰς τὰ ἄδυτα εἰσιέναι· τοῦτο δὲ αἷμα ἱερέας ἐχειροτόνει· τοῦτο ἐκάθηρεν ἁμαρτίας ἐν τοῖς τύποις. εἰ δὲ ἐν 15 τοῖς τύποις τοσαύτην εἶχεν ἰσχύν, εἰ τὸν σπιλὸν οὕτως ὁ θάνατος ἔφειξε, τὴν ἀληθῆ αὐτὴν, εἰπέ μοι, πῶς οὐκ ἂν ἐφοβήθη; τοῦτο ἡ σωτηρία τῶν ἡμετέρων ψυχῶν, τούτῳ" λούεται ἡ ψυχὴ, τούτῳ καλλωπίζεται, τούτῳ πυρᾶται, τοῦτο πυρὸς λαμπρότερον ἐργάζεται (ιν) νοιῶν τὸν ἡμέτερον, τοῦτο χρυσοῦ φαιδρότερον τὴν ψυχὴν ποιεῖ, τοῦτο δεξάμενον τὸ αἷμα καὶ τὸν οὐρανὸν ἐποίησε βατόν. φεισπᾶ ὄντως τὰ μυστήρια τῆς ἐκκλησίας, φεισπᾶν ὄντως τὸ θυσι- 20 αστήριον. ἀνέβαινεν ἐκ τοῦ παραδείσου πηγὴ ποταμοὺς ἀμαθεῖς" ἀφίσα· ἀπὸ τῆς τραπέζης ταύτης ἄνεισι πηγὴ ποταμοὺς ἀφίσα πνευματικούς. παρὰ ταύτην τὴν πηγὴν πεφυτευμένα εἰσὶν οὐκ ἐτέα ἄκαρπα, ἀλλὰ δένδρα πρὸς αὐτὸν φθάνοντα τὸν οὐρανὸν, καρπὸν ἔχοντα ὥριμον ἀεὶ καὶ ἀμάραντον. εἴ τις καυσᾶται, παρὰ ταύτην ἰκέτω τὴν πηγὴν, καὶ καταψυχέτω τὸ καῦσος. καὶ γὰρ αὐχμοὺς λύει, καὶ τὰ ἀληθινὰ πνεύ- 25 τα" παραμυθεῖται, οὐ τὰ ἀπὸ ἡλίου *, ἀλλὰ τὰ ἀπὸ τῶν βελῶν τῶν πεπυρωμένων. καὶ γὰρ τὸν ἀρχὴν ἄνωθεν ἔχει, καὶ τὴν ῥίζαν ἐκεῖθεν, ὅθεν καὶ ἀρδεται. πολλοὶ ταύτης (ιι) ῥυάκες τῆς πηγῆς, ὃς ἀφίσιν ὁ παράκλητος· καὶ μεσίτης ὁ υἱὸς τοῦ, ὁ δίχελλαν ἔχων καὶ ὁδοποιῶν, ἀλλὰ τὴν ἀληθείαν ἀνοίγων τὴν πρὸς ἡμᾶς. αὕτη ἡ πηγὴ, φωτός ἐστι πηγὴ ἀναβλύζουσα ἀ- λήθειας ἀκτῖνας. ταύτην καὶ αἱ νῦν πρεσήκασι δυνάμεις πρὸς τὸ κάλλος ἐνορᾶσαι τὴν ῥέ- 30 θρον, ὅπερ καὶ σαφέστερον ἐκφαίνει τὴν προκειμένων θεωρῆσαι τὴν δυνάμιν καὶ τὰς μύρμα- ρυγὰς τὰς ἀποθρίτους. ὥσπερ γὰρ χρυσοῦ τηκομένου μύρτε τὴν χεῖρα βάλῃ, εἰ οἷόν- τε ἦν, μύρτε τὴν γλῶτταν, χρυσίον αὐθέως αὐτὴν ἐποίησεν· ὕτω δή, καὶ πολλῷ πλέον ἐν τούτῳ τὴν ψυχὴν ἐργάζεται τὰ προκείμενα. δύναται μὲν γὰρ πυρὸς σφοδρότερον ὁ ποταμὸς, ἀλλ' οὐ καίει, ἀλλὰ βαπτίζει μόνον ὅπερ ἂν λάβῃ. ποθὲν δὲ αἷμα μύρτε τοσοῦτο ἀεὶ ἐν 35 θυσιαστηρίοις καὶ ἐν δικαίων σφαγαῖς, τοῦτο ἡ τιμὴ τῆς οἰκουμένης, τούτῳ ἠγόρασε τὴν ἐκκλη- σίαν ὁ Χριστός, τούτῳ κατεκόσμησεν αὐτὴν ἅπασαν. καθάπερ γὰρ μύρτεφος οἰκέτας ὠνού- μενος χρυσίον δίδωσι, καὶ καλλωπίσας πάλιν ἀδεῖς βουλόμενος, χρυσῷ τοῦτο ποιεῖ· ὕτω καὶ ὁ Χριστὸς καὶ ἠγόρασεν ἡμᾶς αἵματι, καὶ ἐκόσμησεν αἵματι. (ιι) τούτου μετέχοντες τοῦ αἵμα- τος μετ' ἀγγέλων καὶ ἀρχαγγέλων τῶν ἄνω δυνάμεων ἑστήκασιν, αὐτὴν προκείμενοι τοῦ 40 Χριστοῦ τὴν βασιλικὴν στολὴν, τὰ ὅπλα ἔχοντες τὰ πνευματικά. ἀλλ' οὐδὲν εἶπον μέ- δεπω μέγα· αὐτὸν γὰρ εἰσιν ἐνδεδυμένοι (ιν) βασιλέα. ἀλλ' ὥσπερ ὅτι μέγα καὶ θαυμα- στόν· ὕτως ἂν μὲν μὴ καθαρότητος προσέλθῃς, εἰς σωτηρίαν προσῆλθες· ἂν δὲ μὴ πο- νηροῦ ζωηδότος, εἰς κόλασιν καὶ τιμωρίαν. Ὁ γὰρ ἐσθίων, φησὶ, καὶ πίνων ἀναξίως τοῦ Κυ- α.Κορ. ια.κθ. ρίου, κρίμα ἑαυτῷ ἐσθίει καὶ πίνει. εἰ γὰρ (ιι) ῥυπωῶντες τὴν πορφύραν τὴν βασιλικὴν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

χηλάζονται ὁμοίως, ὥσπερ ⓐ διαῤῥηγνύντες· " οὐδὲν ἀπειλὴ τοῦ ἀληθάρτου διανοίᾳ δεδεμένος τὸ σῶμα, τῷ αὐτῷ ἐπορμίσηται πνεύματι τοῖς αὐτοῖς διαῤῥήξασι διὰ τῆς ἡ-
Εcp. 1. κη. λων. ὅρα γοῦν πῶς φοβερὰν ἔδειξεν ὁ Παῦλος τὴν κόλασιν, εἰπών· Ἀθετήσας τις νόμον Μωϋσέως χωρὶς οἰκτιρμῶν ἐπὶ δυσὶν ἢ τρισὶ μάρτυσιν ἀποθνήσκει· πόσῳ δοκεῖτε χείρονος ἀξιωθήσεται πείρας ὁ τὸν υἱὸν τοῦ Θεοῦ καταπατήσας, καὶ τὸ αἷμα τῆς διαθήκης κοινὸν ἡγησάμενος, ἐν ᾧ ἡγιάσθη; προσέχωμεν τοίνυν ἑαυτοῖς, ἀγαπητοὶ, τοιούτων ἀπολαύοντες ἀγαθῶν· καὶ ὅταν βουληθῶμέν τι λέγειν εἰπεῖν, ἢ συναρπαζόμενοι ἐαυτοὺς ἰδωμεν ὑπὸ ὀργῆς ἢ ἑτέρου τινὸς τοιούτου πάθους· λογισώμεθα τίνων κατηξιώθημεν, οἵου πνεύματος ἀπηλαύσαμεν, ἵνα " ἔσαι σωφρονισμὸς ἡμῖν τῶν ἀλλοτρίων παθῶν ἐκεῖ ὁ λογισμός. μήτι γὰρ τίνος τοῖς πόδσι προσπλώμεθα; μήτι τίνος οὐ διεγειρόμεθα; μήτι τίνος οὐ φειδόμεθα τῆς σωτηρίας τῆς ἑαυτῶν; ἐννοήσωμεν τίνων ἡμᾶς κατηξίωσεν ὁ Χριστὸς, δικαιωθῆναι, δοξασθῆναι, μὴ διὰ πίστεως μόνον, ἀλλὰ καὶ διὰ τῶν ἔργων αὐτῶν· ἵνα καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ομιλ. μζ. 53 ΕΙΠΕΝ ΟΥΝ ΑΥΤΟΙΣ Ο ΙΗΣΟΥΣ· ΑΜΗΝ, ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου, καὶ πίητε αὐτοῦ τὸ αἷμα, οὐκ ἔχετε ζωὴν αἰώνιον ἐν ἑαυτοῖς.

54 Ὁ τρώγων μου τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα ἔχει ζωὴν αἰώνιον ἐν ἑαυτῷ.

Ὅταν περὶ πνευματικῆς διαλεγώμεθα, μηδὲν ἔστω βιωτικὸν ἐν ταῖς ἡμετέραις ψυχαῖς, μηδὲν γήινον· " ἀλλὰ πάντα ἀναχωρείτω, πάντα· ἀδοκοπείσθω τὰ τοιαῦτα, καὶ ὅλοι γινώμεθα τῆς τῶν θείων λογίων ἀκροάσεως μόνης. Εἰ γὰρ βασιλέως ὑποδεχόμενος [πόλει] " ἅπας ἀπελαύνεται θόρυβος· πολλῷ μᾶλλον, τοῦ πνεύματος ἡμῖν διαλεγομένου, " πολλῆς μὲν ἡσυχίας, πολλῆς δὲ ἡμῖν δεῖ τῆς φρενός. καὶ γὰρ φρενὸς ἄξια τὰ λεγόμενα σήμερον. καὶ πῶς, ἄκουε. ἀμὴν [γὰρ] φησι, λέγω ὑμῖν, ἐὰν μὴ τις μου φάγῃ τὴν σάρκα καὶ πίῃ μου τὸ αἷμα, οὐκ ἔχει ζωὴν αἰώνιον ἐν ἑαυτῷ. ὅπερ ἔμπροσθεν ἔλεγεν, ὅτι ἀδύνατον τοῦτο ἐστὶ, δείκνυσιν αὐτὸς οὐ μόνον οὐκ ἀδύνατον, ἀλλὰ καὶ σφόδρα ἀναγκαῖον. διὸ καὶ ἐπάγει· ὁ τρώγων μου τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα, ἔχει ζωὴν αἰώνιον, κἀγὼ ἀναστήσω αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ. ὅπερ γὰρ ἔλεγον, ὅτι ὁ τρώγων ἐκ τοῦ ἄρτου τούτου οὐκ ἀποθανεῖται εἰς τὸν αἰῶνα· εἰκὸς ἦν αὐτοῖς προσδοκῶσι τοῦτο, καθὼς καὶ πρότερον ἔλεγον, Ἀβραὰμ ἀπέθανε, καὶ οἱ προφῆται ἀπέθανον· καὶ πῶς σὺ λέγεις, ὁ μὴ γεύσεται θανάτου; τίνι αὐτὰ ἔσικεν, λύων τὸ ζητούμενον, καὶ δηλῶν ὅτι οὐκ ἀποθανεῖται εἰς τέλος. συνεχῶς δὲ τρέφει τὸν περὶ τῶν μυστηρίων λόγον, δεικνὺς διὰ πραγμάτων τὸ ἀναγκαῖον, καὶ ὅτι αὐτὸ πρώτως ἡμᾶς δεῖ.

55 Ἡ γὰρ σάρξ μου ἀληθής ἐστι βρῶσις, καὶ τὸ αἷμά μου ἀληθής ἐστι πόσις.

" Τί ἐστιν ὃ λέγει; ἢ τοῦτο βούλεται εἰπεῖν, ὅτι ἀληθὴς βρῶσις αὕτη ἐστὶν ἡ ψυχὴν σάρξασα, ἢ πιστώσασθαι αὐτοὺς περὶ τῆς εἰρημένων, ὥστε μὴ νομίζειν αἴνιγμα εἶναι τὸ εἰρημένον καὶ παρακολουθεῖν, ἀλλ' εἰδέναι ὅτι πρώτως δεῖ φαγεῖν τὸ σῶμα. εἶτά φησιν·

56 Ὁ τρώγων μου τὴν σάρκα, ἐν ἐμοὶ μένει. " Τοῦτο δὲ ἔλεγε, δηλῶν, ὅτι ἐν αὐτῷ διαχυνόμενα. τὸ δὲ ἑξῆς δοκεῖ μὲν ἀσυμπαθὲς εἶναι, δι' ὃ μὴ δεῖν νοεῖν ἐξεπάσωμεν.

πρὸς

ποία γὰρ, φησιν, ἀκολουθία, μὴ δὲ εἰπεῖν, ὁ πρώτων μου τῇ σαρκὶ ἐν ἐμοὶ μένει, ἐπαγαγεῖν,

57 Καθὼς ἀπέστειλέ με ὁ ζῶν πατὴρ, κἀγὼ ζῶ διὰ τὸν πατέρα; Ἐχρῆν οὖν πολλῷ τῷ ἀριμονίᾳ τὸ λεγόμενον. ὅπερ γὰρ ἄνω καὶ κάτω ἔλεγε ζωὴν αἰώνιον, κατασκευάζων αὐτὸ ἐπήγαγε τὸ, ὁ ἐμοὶ μένει. Εἰ γὰρ ὁ ἐν ἐμοὶ μένει, ζῇ ὁ ἐγὼ, δῆλον ὅτι καὶκεῖνος ζήσεται. Εἶτα φησὶ· καθὼς ἀπέστειλέ με ὁ ζῶν πατήρ. τοῦτο δὲ ὅτι συγκριτικὸν καὶ ὁμοιωματικόν. οὐ λέγει τοιοῦτόν ὅτι· ζῶ ἐγὼ ὅτως, ὡς ὁ πατήρ. καὶ ἵνα μὴ ἀλλόκοτον νομίσῃς, πεποίηκεν αὐτὸς τὸ, διὰ τὸν πατέρα, ὃ τοῦτο δείκνυσι, ὅτι ἐνεργείας ἄνωθέν μοι δεῖται πρὸς τὸ ζῆν. . αἰωτέρω γὰρ τοῦτο ἀναιρῶν ἔλεγεν· ὥσπερ [γὰρ] ὁ πατὴρ ἔχει ζωὴν ἐν ἑαυτῷ, οὕτως ἔδωκε καὶ τῷ ἐμοὶ ἔχειν ζωὴν ἐν ἑαυτῷ. Εἰ οὖν δεῖται ἐνεργείας, εὑρεθήσεται, ἢ ὁ πατὴρ μὴ δεδωκὼς οὕτω, ὡς ψεύδεται ὁ λόγος· ἢ εἰ οὕτως ἔδωκεν, οὐδενὸς αὐτὸς [λοιπὸν] δεηθήσεται ἑτέρου τοῦ συγκροτοῦντος. Πῶς οὖν ὅτι διὰ τὸν πατέρα; τὴν αἰτίαν ἐνταῦθα ἀνίστησι μόνον. ὃ δὲ λέγει, τοιοῦτόν ὅτι· καθὼς ὅτι ζῶν ὁ πατὴρ, οὕτω κἀγὼ ζῶ· καὶ ὁ πρώτων με, κἀκεῖνος ζήσει δι' ἐμέ. ζωὴν δὲ ἐνταῦθα λέγει, οὐ τὴν ἁπλῶς, ἀλλὰ τὴν ἀΐδιον. καὶ ὅτι οὐ πρὸς τῆς ἁπλῶς ζωῆς εἶπεν, ἀλλὰ πρὸς τῆς ἐνδόξου καὶ ἀπορρήτου ἐκείνης, δῆλον ἐκ τῶνδε. καὶ γὰρ πρώτοις, καὶ οἱ ἄπιστοι ζῶσι, καὶ οἱ ἀμύητοι, μὴ φαγόντες ἀπὸ τῆς σαρκὸς ἐκείνης; ὁρᾷς ὅτι οὐ πρὸς ταύτης ὁ λόγος ὅτι ἡ ζωῆς, ἀλλὰ πρὸς ἐκείνης; ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ὁ πρώτων μου τῇ σαρκὶ οὐκ ἀπολεῖται τελευτήσας, οὐδὲ κολασθήσεται· ἀλλ' οὐδὲ πρὸς τῆς ἀναστάσεως τῆς κοινῆς (καὶ γὰρ ὁμοίως πάντες ἀνίξονται) ἀλλὰ πρὸς τῆς ἐξαιρέτου, τῆς ἐνδόξου, καὶ μισθὸν ἐχούσης.

58 Οὗτός ἐστιν ὁ ἄρτος ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς· οὐ καθὼς ἔφαγον οἱ πατέρες ὑμῶν τὸ μάννα, καὶ ἀπέθανον. ὁ πρώτων τοῦτον τὸν ἄρτον ζήσει εἰς τὸν αἰῶνα. Συνεχῶς τοῦ λόγου πρὸς τὸ εἰσαγωγικώτερον ἀποβλέπει, ὥστε αὐτὸ ἐντυπῶσαι τῇ τῶν ἀκουόντων διανοίᾳ (ἐκάστη γὰρ ἡμέρᾳ διδασκαλία ἡ πρὸς τούτων) καὶ τὸ πρὸς δύναστιν δόγμα πιστῶσαι, καὶ τὸ πρὸς ζωῆς αἰωνίου. διὰ δὲ τῆς δυνάστου ὥσπερ, ὅπερ ζωὴν αἰώνιον ἐπαγγέλλεται, δεικνὺς ὅτι οὐ νεκρῶν ἐστιν αὕτη, ἀλλὰ μὴ τῆς δυνάστου. καὶ πόθεν ταῦτα δῆλα, φησιν; ἀπὸ τῶν γραφῶν. πανταχοῦ γὰρ αὐτὸν ἐκ παλαιοτέρου πρὸ αὐτῶν κειμένων ταῦτα μαθεῖν. Εἰ πάντων δὲ, ζωὴν διδοὺς ὁ κόσμῳ, εἰς ζῆλον αὐτὸν ἐκάλει, ὥστε καὶ ἀληθῆσαι τοὺς ὅτι τῷ ἄλλως ἀπολαύειν τῆς δωρεᾶς μὴ μείναι ἔξω. Συνεχῶς δὲ ἀναμιμνήσκει τοῦ μάννα, καὶ τὸ διαφορὸν πρίσας, καὶ [αὐτοὺς] εἰς πίστιν ἐκάλων. εἰ γὰρ δυνατὸν ἐλθεῖν τεσσαράκοντα ἔτεσιν, ἀμήτε χωλεῖς καὶ σίτου καὶ τῆς ἄλλης ἀκολουθίας διακεκοπῆσαι τῷ ἐκείνων ζωῇ· πολλῷ μᾶλλον νῦν, ὅπου μείζοσι κατεκληρώθημεν, δυνήσεται τοῦτο. ἄλλως δὲ, καὶ εἰ ἐκεῖνα τύποι ἦσαν, καὶ χωλεῖς ἱδρώτων καὶ πόνων συνέλεγον τὸ φερόμενον· πολλῷ μᾶλλον νῦν τοῦτο ἔστιν, ἔνθα πολλὴ ἡ διαφορά, καὶ τῷ μηδέποτε τελευτᾶν, καὶ ὧν ζωῆς ἀπολαύειν τῆς ἀληθοῦς. καλῶς δὲ ζωῆς πολλάκις μέμνηται, ὅπερ τοῦτο ποθεινὸν αὐτοῖς καὶ ἡδύ, ὡς τὸ μὴ ἀποθανεῖν. ἐπεὶ καὶ ἐν τῇ παλαιᾷ τοῦτο ἦν ἡ ὑπόσχεσις, μῆκος βίου, καὶ πολλαὶ ἡμέραι· ἀλλὰ νῦν οὐκ ἔστι μῆκος ἁπλῶς, ἀλλὰ ζωὴ τέλος οὐκ ἔχουσα. ἅμα δὲ καὶ δεῖξαι βούλεται, ὅτι τοῦ ἐκ τῆς ἀμύρτιας ῥιπτομένου κόλασιν ἀναλαβεῖν νῦν, τοῦ ψῆφον λύων ἐκείνου τοῦ θανατοῦσαν, καὶ ζωὴν φέρουσαν οὐχ ἁπλῶς, ἀλλ' αἰώνιον εἰσάγων ἀπενδυτίας τοῖς πρώτοις.

59 Ταῦτα εἶπεν ἐν συναγωγῇ διδάσκων ἐν Καπφαρναούμ. Ἔνθα αἱ πλῆξαι γεγόνασι δυνάμεις, ὥστε ἐγεῖραι αὐτὸν ἀκροατὰς μάλιστα. ποῦ δὲ ἔσχεν ἐν συναγωγῇ ἐδίδασκε καὶ ἐν ἱερῷ; ὁμοῦ μὲν ὁ πλῆθος αὐτῶν θηρεῦσαι θέλων, ὁμοῦ δὲ δεῖξαι βουλόμενος, ὅτι οὐκ ἐναντίος ἐστὶ τῷ πατρί.

60 Πολλοὶ οὖν ἐκ τῶν μαθητῶν ἀκούσαντες, ἔλεγον· σκληρός ἐστιν ὁ λόγος οὗτος.

Τί ἐστι σκληρός; πραχύς, ὑπόπονος, μόχθον ἔχων. καὶ μέντοι οὐδὲν τοιοῦτον ἔλεγεν. οὐδὲ γὰρ περὶ πολιτείας διελέγετο, ἀλλὰ περὶ δογμάτων, ἄνω δὲ κάτω τρέφων τὸν πίστιν τὸν εἰς ἑαυτόν. Τί οὖν ἐστι, σκληρός ἐστιν ὁ λόγος; ὅτι ζωὴν ἐπαγγέλλεται καὶ ἀνάστασιν; ὅτι ἐκ τοῦ οὐρανοῦ ἔφη καταβεβηκέναι; ἀλλ' ὅτι σωθῆναι ἀδύνατον Ⓦ μὴ φαγόντα αὐτοῦ τὴν σάρκα; Ταῦτα οὖν, εἰπέ μοι, σκληρά; καὶ πῶς ἂν ταῦτα εἴποι; τί οὖν ἐστι σκληρός; δυσπαραδεκτος, ἰσχυρῶν αὐτῶν τὴν ἀσθένειαν, πολλὴν ἔχων Ⓦ φόβον. ἐνόμιζον γὰρ μείζονα τῆς οἰκείας ἀξίας φθέγεσθαι καὶ ὑπὲρ αὐτόν. διὸ καὶ ἔλεγον· Τίς δύναται αὐτοῦ ἀκούειν; ὑπὲρ ἑαυτῶν ἀπολογούμενοι ταῦτα, ὅπως ἔμφασιν ἀποκρύψωσιν.

61 Εἰδὼς δὲ ὁ Ἰησοῦς ἐν ἑαυτῷ ὅτι γογγύζουσιν ἐν ἑαυτοῖς Ⓐ μαθηταὶ περὶ τούτου (Καὶ γὰρ τοῦτο τῆς αὐτοῦ θεότητος, τὸ τὰ ἀπόῤῥητα φέρειν εἰς μέσον) εἶπα λέγει· 1ᵒ. ὡς ἐν ὕπν.

Τοῦτο ὑμᾶς σκανδαλίζει; 62 Ἐὰν οὖν θεωρῆτε τὸν υἱὸν τοῦ ἀνθρώπου ἀναβαίνοντα ὅπου ἦν τὸ πρότερον. Τοῦτο καὶ ὅπερ τῷ Ναθαναὴλ ἐποίησε λέγων· ὅτι εἶπόν σοι, εἶδόν σε ὑποκάτω τῆς συκῆς, πίστις σου; μείζονα τούτων ὄψῃ· καὶ ὅπερ Νικοδήμῳ· ὅτι οὐδεὶς ἀναβέβηκεν εἰς Ⓦ οὐρανὸν, εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς, ὁ ὢν ἐν τῷ οὐρανῷ. Τί οὖν; ἀποείας ἀποείας ζωὴν πίστις; οὐχί (μὴ γένοιτο) ἀλλὰ τῷ μεγέθει τῶν δογμάτων καὶ τῇ πλήθει αὐτοῦ ἐπαγαγέσθαι βούλεται. ὁ μὲν γὰρ εἰπὼν ἁπλῶς, ὅτι ἐκ τοῦ οὐρανοῦ καταβέβηκα, οὐδὲν πλέον παρεσκεύασε, μᾶλλον δὲ ἐσκανδάλισεν· ὁ δὲ εἰπὼν, ὅτι τὸ σῶμά μου ζωὴ τοῦ κόσμου, καὶ ὁ εἰπὼν, ὅτι καθὼς ἀπέστειλέ με ὁ ζῶν πατὴρ, κἀγὼ ζῶ διὰ Ⓦ πατέρα, καὶ ὁ εἰπὼν, ὅτι ἐκ τοῦ οὐρανοῦ καταβέβηκα, τὴν ἀποείαν λύει. ὁ μὲν γὰρ ἓν τι μέγα περὶ ἑαυτοῦ φιλόμυθος, κἂν ὑποπτος ἦν, ὡς πλάττων· ὁ δὲ τοσαῦτα ζωείρων ἐφεξῆς, πᾶσι ἀναγκαῖα τὴν ὑποψίαν. πρῶτα δὲ ποιᾷ καὶ λέγει, ὥστε αὖθις ἀπαγαγεῖν τὸν νομίζειν αὐτὸν πατέρα τοῦ Ἰωσήφ. καὶ τοίνυν τὸ σκάνδαλον ὑπετείνατο θέλων τοῦτο ἔλεγεν, ἀλλὰ λύσας μᾶλλον. ὁ μὲν γὰρ ἀπὸ τοῦ Ἰωσὴφ αὐτὸν εἰ νομίζων, οὐκ ἂν προσεδέξατο τὰ λεγόμενα· ὁ δὲ πειθεὶς, ὅτι ἐκ τοῦ οὐρανοῦ καταβέβηκε, καὶ σκῆψ ἀναζήσεται, εὐχολώτερον ἂν προσέσχε τοῖς λεγομένοις. μᾶλλον δὲ τούτων καὶ ἑτέρων λύσιν ἐπάγει, λέγων· 2ᵒ. τοῦτ' ἐστὶν, 2ᵒ. τοῦ κύ.

63 Τὸ πνεῦμά ἐστι τὸ ζωοποιοῦν· ἡ σὰρξ οὐκ ὠφελεῖ οὐδέν. Ὃ δὲ λέγει τοιοῦτόν ἐστι· πνευματικῶς δεῖ τὰ περὶ ἐμοῦ ἀκούειν. ὁ γὰρ σαρκικῶς ἀκούσας, οὐδὲν ὠφέλητο, ὅτε μετεωρίζει ἀπέλαυσε. σαρκικὸν δὲ ἦν τὸ ἀμφισβητεῖν πῶς ἐκ τοῦ οὐρανοῦ καταβέβηκε, καὶ τὸ νομίζειν ὅτι υἱός ἐστι τοῦ Ἰωσήφ, καὶ τὸ, πῶς δύναται ἡμῖν τὴν σάρκα δοῦναι φαγεῖν; Ταῦτα πρῶτα σαρκικά· ἅπερ ἔδει μυστικῶς νοεῖν καὶ πνευματικῶς. καὶ πόθεν, φησὶ, δύναιτο νοῆσαι τίς ποτέ ἐστιν ἡ σάρξ φαγεῖν ἐκείνοις; ἐκείνοις ἔδει τοῦ προσήκοντα ἀναμεῖναι καιρὸν, καὶ πιστωθῆναι, καὶ μὴ ἀπαγρεύειν. 2ᵒ. σε ἀνέ 2ᵒ. ἡρώτησε

Τὰ ῥήματα, ἃ ἐγὼ λελάληκα ὑμῖν, πνεῦμά ἐστι καὶ ζωή· τουτέστι, θεῖα καὶ πνευματικά ἐστιν, οὐδὲν ἔχοντα σαρκικὸν, οὐδὲ ἀκολουθίαν φυσικήν· ἀλλ' ἀπήλλακται πάσης μὲν τοιαύτης ἀνάγκης, καὶ ὑπερκειται καὶ τῶν νόμων τῶν ἐνταῦθα κειμένων. ἕτερον δὲ ἔχει νοεῖν ἐξηλλαγμένον. ὥσπερ οὖν ἐνταῦθα τὸ πνεῦμα εἶπεν, ἀντὶ τοῦ πνευματικὰ, οὕτω καὶ σάρκα εἶπεν, οὐ σαρκικὰ εἶπεν, ἀλλὰ τὸ σαρκικῶς ἀκοῦσαι, ἅμα καὶ αὐτοὺς ἀνιπτόμενος, ὅτι ἀεὶ σαρκικῶν ἐπεθύμουν, δέον πνευματικῶν ἐφίεσθαι. Ἐὰν γὰρ αὐτὸ σαρκικῶς τις ἀκλεῖσθαι, οὐδὲν ἀπώναστο. τί οὖν; ἔστιν ἡ σὰρξ αὐτοῦ σάρξ; καὶ σφόδρα μὲν οὖν καὶ πῶς εἶπεν, ἡ σὰρξ οὐκ ὠφελεῖ οὐδέν; ἀ περὶ τῆς ἑαυτοῦ σαρκὸς λέγων (μὴ γένοιτο) ἀλλὰ περὶ τῶν σαρκικῶς ἀκλαμβανόντων τὰ λεγόμενα. τί δέ ἐστι τὸ σαρκικῶς νοῆσαι; τὸ ἁπλῶς εἰς τὰ προκείμενα ὁρᾶν, καὶ μὴ πλέον τι φαντάζεσθαι. τοῦτο γάρ ἐστι σαρκικῶς. χρὴ δὲ μὴ οὕτω κρίνειν τοὺς ὁρωμένους, ἀλλὰ πρῶτα τὰ μυστήρια τοῖς ἔνδον ὀφθαλμοῖς κατοπτεύειν. τοῦτο γάρ ἐστι πνευματικῶς. ὁ μὴ 2ᵒ. ἀπὸ πνέ 2ᵒ. λέγω

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μὴ τρώγων" αὐτὸ τὴ σάρκα καὶ πίνων" αὐτοῦ τὸ αἷμα, οὐκ ἔχει ζωὴν ἐν ἑαυτῷ· πῶς οὖν οὐδὲν ὠφελεῖ ἡ σάρξ, ἧς ἄνευ ζῆν οὐκ ἐνι; ὁρᾷς ὅτι τὸ, ἡ σὰρξ οὐκ ὠφελεῖ οὐδέν, οὐ περὶ τοῦ σαρκὸς αὐτοῦ εἴρηται, ἀλλὰ περὶ τῆς σαρκικῆς ἀκροάσεως;

64 Ἀλλ' εἰσί τινες ἐξ ὑμῶν, οἱ οὐ πιστεύουσι. Πάλιν καὶ τὸ ζωὴν αὐτοῦ τοῖς λόγοις ἀξιῶμα περιτίθησι, τὰ τε μέλλοντα προλέγων, καὶ δεικνὺς ὡς οὐ τῆς ἐκείνων δόξης ἐφιέμενος ταῦτα ἔλεγεν, ἀλλ' αὐτοὺς κηδόμενος. Εἶπων γὰρ, τινές, σὺν μαθηταῖς· προσεξήγαγε. παρὰ γὰρ τὴν ἀρχὴν ἔλεγε· καὶ ἐσφάκατέ με, ὃς" οὐ πιστεύετέ μοι· σκάνδαλα γὰρ, εἰσί τινες ἐξ ὑμῶν, οἱ οὐ πιστεύουσιν. ἤδει γὰρ ἐξ ἀρχῆς τίνες εἰσὶν ⓐ μὴ πιστεύοντες, καὶ τίς ἐστιν ὁ παραδώσων αὐτόν. 65 Καὶ ἔλεγε, διὰ τοῦτο εἴρηκα, οὐδεὶς δύναται ἐλθεῖν πρὸς μέ, ἐὰν μὴ ἦ δεδομένον αὐτῷ· δῶρον ἐκ τοῦ πατρός μου. Τὸ ἐκούσιον σκάνδαλα τῆς οἰκονομίας ὁ διαπελεκίζει ἡμῖν αἰνίττεται, καὶ ὃ ἀνεξίκακον. καὶ ὃ ἐξ ἀρχῆς ἦ, οὐχ ἁπλῶς σκάνδαλα κλαυ· ἀλλ' ἵνα μάθῃς αὐτοῦ τὸ δῶρον πρόγνωσιν, καὶ ὅτι περὶ τῶν ῥημάτων τούτων, καὶ ὃ μὴ ὃ ἐφέλκυσαι, οὐδὲ μὴ ὃ σκανδαλισθῆναι, τοῦ προδότου ἤδει, ἀλλὰ καὶ περὶ τούτου, ὅπερ ἰδίᾳ θεότητος. Εἶπα καὶ ἐπάγω· ἐὰν μὴ δεδομένον αὐτῷ ᾖ ἦ δῶρον ἐκ τοῦ πατρός μου, πείθων αὐτοὺς πατέρα αὐτοῦ νομίζειν ⓐ Θεόν, ἀλλὰ μὴ ⓦ Ἰωσήφ, καὶ δεικνὺς ὅτι οὐκ ἔστι ὃ τυχὸν ὃ πιστεῦσαι εἰς αὐτόν. Ὡσανεὶ ἔλεγεν, ἃ θορυβοῦσιν, οὐδὲ παροξύνουσιν, οὐδὲ ξενίζουσί με ⓐ μὴ πιστεύοντες· οἶδα τοῦτο ἄνωθεν πρὶν ἢ γένεσθαι· οἶδα τίσιν ἔδωκεν ὁ πατήρ. ὅταν ὃ ἀκούσῃς, ὅτι δέδωκε, μὴ ἀποκλήρωσιν ἁπλῶς νόμιζε, ἀλλ' ἐκεῖνο πίστευε, ὅτι ὁ παραλαμβάνων ἑαυτὸν ἄξιον τοῦ λαβεῖν, αὐτὸς ἔλαβεν.

66 Ἐκ τούτου πολλοὶ τῶν μαθητῶν αὐτοῦ ἀπῆλθον εἰς τὰ ὀπίσω, καὶ οὐκέτι μετ' αὐτοῦ περιεπάτουν. Καλῶς ὁ διαπελεκίζων οὐκ εἶπεν, ἀνεχώρησαν· ἀλλὰ ἀπῆλθον εἰς τὰ ὀπίσω, δηλῶν ὅτι τῆς κατ' ἀρετὴν ἐπιδόσεως ἀνεστόμωτο, καὶ ὅτι εἰς ἔχον πάλαι πίστιν ἀπώλεσαν, ἀποκλείσαντες ἑαυτούς. ἀλλ' οὐχ ⓐ δώδεκα τοῦτο ἔπαθον. διὰ καὶ φησι περὶ αὐτῶν·

67 Μὴ καὶ ὑμεῖς θέλετε ὑπάγειν; Δεικνὺς πάλιν ὅτι οὐ δεῖται τῆς διδασκαλίας αὐτῶν καὶ τῆς θεραπείας, οὐδὲ διὰ τοῦτο αὐτοὺς περιποιεῖται ἐπιδεικνύμενος. πῶς γὰρ ὁ καὶ τούτοις ταῦτα λέγων; διὰ τί οὖν αὐτοὺς μὴ ἐπήνεσε; διὰ τί μὴ ἐθαύμασεν; ὁμοῦ μὲ ὃ τῷ διδασκάλῳ πρέπον ἀξίωμα τηρῶν, ὁμοῦ ὃ δεικνὺς ὅτι διὰ τούτου μᾶλλον ἐφέλκεσθαι ἔδει τὸ θεῖον. Εἰ μὲ γὰρ ἐπήνεσε, νομίζοντες αὐτῷ χάριν διδόναι, καὶ ἔπαθόν τι ἀνθρώπινον· τῷ ὃ δεικνύναι μὴ δεόμενον αὐτὸν τῆς ἀκολουθήσεως αὐτῶν, κατέχε μᾶλλον. καὶ ὁρᾷ πῶς αὖθις συνετῶς εἴρηκεν. ὃ γὰρ εἶπεν, ἀπέλθετε(τοῦτο γὰρ ἀπωθουμένου ἦν) ἀλλ' ἐρωτᾷ λέγων, μὴ καὶ ὑμεῖς θέλετε ὑπάγειν; ὅπερ πᾶσαν ἦν ἀφαιρῶντος βίαν καὶ ἀνάγκην, καὶ οὐ βουλομένου αἰδοῖ τινι προσηρτῆσθαι, ἀλλὰ μὲ τοῦ χάριν εἰδέναι. ὧ ὃ μήτε ἐκείνων κατηγορῆσαι φανερῶς, ἀλλ' ῥῆμα καθάψασθαι, ἔδειξεν ὅπως δὴ φιλοσοφεῖν ἐν τοῖς τοιούτοις. ἡμεῖς ὃ τἀναντία πάσχομεν· εἰκότως, ὅτῳ τῆς οἰκείας ἐχόμενοι δόξης, ἅπαντα πράττομεν. διὰ καὶ ἐλαττοῦσθαι νομίζομεν τὰ ἡμέτερα διὰ τῆς ἀναχωρήσεως τῶν θεραπευόντων. ἔστι ὃ ὅτε ἐκολάκευσαν, ὅτε διεκρούσατο· ἀλλ' ἠρώτησεν. οὐκ ἄρα καταφρονιῶν ἦν, ἀλλὰ μὴ βουλομένου βίᾳ καὶ ἀνάγκῃ κατέχεσθαι. τὸ γὰρ ὕστερον μένειν, ἴσον ὅτι τῷ ἀπελθεῖν. Τί οὖν ὁ Πέτρος;

68 Πρὸς τίνα ἀπελευσόμεθα; ῥήματα ζωῆς αἰωνίου ἔχεις.

69 Καὶ ἡμεῖς πεπιστεύκαμεν καὶ ἐγνώκαμεν, ὅτι σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος. Ὁρᾷς ὅτι οὐ τὰ ῥήματα ἦν τὰ σκανδαλίζοντα, ἀλλ' ἡ ἀπροσεξία καὶ [ἡ] ῥᾳθυμία καὶ ἀγνωμοσύνη τῶν ἀκουόντων; καὶ γὰρ καὶ εἰ μὴ εἶπεν, ἐσκανδαλίσθησαν ἄν, καὶ οὐκ ἂν ἐπαύσαντο θρηνῆ προσέχοντες ἀεὶ φορτικῇ, καὶ τῇ γῇ προσπλωμένοι. ἄλλως δὲ, καὶ ὅτι μεῖ

ἐκείνων

ἐκείνων ἰσχυον," ἀλλ' ὅμως πάνδυτα ἐκείνων ἀπεφήνατο, λέγοντες· τοῦς ἵνα ἀπελθοῦσόμεθα; πολλῆς δὲ ῥῆμα φιλοσοφίας ἐμφατικόν. δείκνυσι γὰρ ὅτι πάντως αὐτοῖς ἐστιν ὁ " διδάσκαλος ἀμείνων, καὶ πατέρων, καὶ μητέρων, καὶ τῶν ὄντων ἀπάντων, καὶ ἀποσάττει αὐτὸ ὡς οὐκ ἔτι λοιπὸν ποῦ καταφυτεῖν. εἶπα, ἵνα μὴ δοκῇ σὺ, τοῦς τίνα ἀπελθυσόμεθα, ἀφ' οὗ" εἰρήκαμεν αὐτῷ, ὡς οὐκ ὄντων τῶν ὑποδεξαμένων αὐτοὺς, οὐθέως ἐπήγαγε· ῥήματα ζωῆς αἰωνίου ἔχεις. ⓐ μὴ γὰρ σαρκικῶς καὶ μετὰ λογισμῶν ἀνθρωπίνων ἤκουον, ὅτοι δὲ πνευματικῶς, καὶ τῇ πίστει ὃ πάντες ἑπόντες. διὸ καὶ ὁ Χριστὸς ἔλεγε· πνεῦμά ἐστι τὰ ῥήματα, ἃ λελάληκα ὑμῖν· τουτέστι, μὴ ὑποληφθεὶς τὴν τῶν σωματικῶν ἀκολουθίαν καὶ τὴν τῶν μυρμήκων ἀνάγκην τῶν ῥημάτων τῶν ἐμῶν τοῦ διδασκαλείου ὑποκρούσῃ. οὐ τοιαῦτα τὰ πνευματικά· οὐκ ἀνέχεται δουλεύειν νόμοις τοῖς ἐπὶ γῆς. τοῦτο καὶ Παῦλος δηλοῖ, λέγων· Μὴ εἴπῃς ἐν τῇ καρδίᾳ σου, τίς ἀναβήσεται εἰς τὸν οὐρανόν; τουτέστι, Χριστὸν καταγαγεῖν· ἢ τίς καταβήσεται εἰς τὸν ἄβυσσον; τουτέστι, Χριστὸν ἐκ νεκρῶν ἀναγαγεῖν. ῥήματα ζωῆς αἰωνίου ἔχεις. ἤδη τοῦ ἀνάσασιν ὅσοι προσεδέξαντο, καὶ τὸ ἐκεῖ λῆξιν ἅπασαν. ὅρα γὰρ τὸ φιλάδελφον, ⓑ φιλότεκνον, πῶς ὑπὲρ πάντος ἀπολογεῖται τοῦ χορτοῦ. ὑγιὲς εἶπεν, ἐγνωκα, ἀλλ' ἐγνώκαμεν· μᾶλλον δὲ σκέψει πῶς ἐπ' αὐτῷ ἔρχεται τῷ ῥήματι τὸ διδασκάλου, καὶ τὰ αὐτὰ τοῖς Ἰουδαίοις φθεγγόμενος. ⓐ μὴ γὰρ ἔλεγεν· οὐκ ἔστιν ὁ υἱὸς Ἰωσήφ· ἔστι δὲ, ὅτι σὺ εἶ ὁ Χριστὸς, ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος, καὶ ὅτι ῥήματα ζωῆς αἰωνίου ἔχεις, ταῦτα πολλάκις ἀκούσας αὐτοῦ λέγοντος, ὅτι ὁ πιστεύων εἰς ἐμὲ ἔχει ζωὴν αἰώνιον, καὶ ἐγὼ ἀναστήσω αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ. ἐδείκνυ γὰρ ὅτι πολὺ κατέχει τὰ εἰρημένα, αὐτῷ μνήσας τῶν ῥημάτων. τί οὖν ὁ Χριστός; οὐκ ἐπῄνεσε ⓦ Πέτρον, οὐδὲ ἐθαύμασε, καίτοι ἀλλαχοῦ τοῦτο ποιήσας· ἀγαλλιᾷ δὲ φησιν;

70 Οὐχὶ ἐγὼ ὑμᾶς τοὺς δώδεκα ἐξελεξάμην, καὶ εἷς ἐξ ὑμῶν διάβολός ἐστιν;

Ἐπειδὴ γὰρ εἶπε, καὶ ἡμεῖς πεπιστεύκαμεν, ἔξαιρεῖ τὸν χορὸν ⓦ Ἰούδαν. οὐδὲν γὰρ ὠφέλει τῶν μαθητῶν αὐτὸς εἶπε, ἀλλὰ τοῦ Χριστοῦ εἰπόντος· ὑμεῖς δὲ τίνα με λέγετε; φησί, σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος· οὐτωσὶ δὲ ὅπως εἶπε, καὶ ἡμεῖς πεπιστεύκαμεν, εἰκότως οὐκ ἀφίησι ⓦ Ἰούδαν εἰς τὸν ἐκείνων χορόν. τοῦτο δὲ ἐποίει πόρρωθεν καὶ λύων τοῦ προδότου τὴν κακίαν ἀνακρουόμενος, εἰδὼς μὲν ὅτι οὐδὲν ὀνήσει, τὸ δὲ ἑαυτῷ προσάπτων. καὶ γὰρ τὴν σοφίαν· οὔτε αὐτὸν φθονερὸν ἐποίησεν, οὔτε λαθεῖν εἴασεν· οὐκ-νο μὲν, ἵνα μὴ ἀναμαρτήτως καὶ φιλονεικότερος γένηται· τοῦτο δὲ, ἵνα μὴ νομίζων λανθάνειν, ἀδεῶς ἐργάσηται τὸ τόλμημα. διὸ καὶ προσιὼν φανερωτέρως ἐπάγει τοῦ ἐλέγχου. προτερον μὲν γὰρ καὶ αὐτὸν μετὰ τῶν ἄλλων ἠλέθμησεν, εἰπών, ὅτι εἰσί τινες ἐξ ὑμῶν, οἱ δὲ πιστεύουσιν (ὅτι δὲ καὶ τὸν προδότην ἠλέθμησεν," ἐδήλωσεν εἰπὼν ὁ εὐαγγελιστής· ἤδει γὰρ ἐξ ἀρχῆς τίνες εἰσὶν ⓐ μὴ πιστεύοντες, καὶ τίς ἐστιν ὁ παραδώσων αὐτὸν) ἐπειδὴ δὲ ἐκέμεινε, σφοδρότερον ἐπάγει τὸν ἔλεγχον, εἷς ἐξ ὑμῶν διάβολός ἐστι, καὶ κοινὸν πᾶσι τὸ φόβον κατέπεσεν, ἀκούσαντας ἀναπηδῆσαι. ἄξιον δὲ ἐνταῦθα διαπορῆσαι, τί δήποτε νῦν μὲν οὐδὲν λέγουσιν ⓐ μαθηταί, ὕστερον δὲ δεδοίκασι καὶ διαπορούνται πρὸς ἀλλήλους ὁρῶντες καὶ πιωθόμενοι, μή τι ἐγώ εἰμι Κύριε; καὶ τῷ Ἰωάννῃ ὁ Πέτρος ἐνύει μαθεῖν τὸν προδότην καὶ πυθέσθαι τοῦ διδασκάλου τίς ἐστι;" τί ποτε οὖν ἐστι; ἆρα ὕπω ἦν ὁ Πέτρος ἀκούσας, ὕπαγε ὀπίσω μου Σατανᾶ, διὰ τοῦτο οὐδὲ τι δέος εἶχεν· ὕστερον δὲ ἐπετιμήθη, καὶ ἀπὸ πολλῆς διαθέσεως εἰπὼν οὐκ ἠνέσχετο, ἀλλὰ καὶ Σατανᾶς ἤκουσεν, ἀκούων ὅτι εἷς ἐξ ὑμῶν διαβαλεῖ με, εἰκότως λοιπὸν ἔδεισεν." ἄλλως δὲ, οὐδὲ νῦν φησιν, εἷς ἐξ ὑμῶν διαβαλεῖ με, ἀλλ' εἷς ἐξ ὑμῶν διάβολός ἐστι. διὰ τοῦτο οὐδὲ ἠδέσαν ὃ λεγόμενον, ἀλλὰ πονηρείας ᾠοντο σκώπτεσθαι μόνον. τί δήποτε δὲ τὸ, οὐχὶ ἐγὼ ὑμᾶς, εἶπε, τοὺς δώδεκα ἐξελεξάμην, καὶ εἷς ἐξ ὑμῶν διάβολός ἐστι; κολακείας ἀπηλλαγμένῳ αὐτὸν τὸν διδασκαλεῖον δεικνύς· ὅπου γὰρ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ηδ πλούτων αὐτὸν ἐγκαταλειφάντων αὐτοὶ παρέμειναν μόνοι, καὶ ὅλως δὲ Πέτρος ὡμολόγουν ἐπὶ Χριστόν, ἵνα μὴ νομίσωσιν ὅτι ὅλως τοῦτο ἔμηνεν αὐτοὺς κολακεύειν, ἀπαλλάττων ἑαυτὸν τῆς ὑποψίας. οὐ λέγω, φησὶν, ὅτι σὺ εἶ· οὐδέν με δυσωπεῖ πρὸς τὸ τῶν κακῶν μὴ ἐλέγχειν. μὴ νομίσητε ὅτι ὅπως ἐπεμείνατε, κολακεύσαντας ὑμᾶς ἀφήσομαι, ἢ ὅπως ἠκολουθήσατε, οὐκ ἐλέγξω σου τὸ ποιη-
5 σεις. ὁ γὰρ πολὺ τοῦτο μεῖζόν ἐστιν εἰς τὸ δυσωπῆσαι τὸν διδάσκαλον, οὐδὲ τοῦτό με δυσωπεῖ. ὁ μὲν γὰρ παρὰ μισθόν, τῆς αὐτοῦ φιλοσοφίας πρόκειται τεκμήριον· ὁ δὲ ἐκλεγεὶς παρὰ δὲ διδασκάλου, παρέπεται δόξαν ἀνοίας, ἐκπεπλήκτους, παρὰ τοῖς ἀνοήτους. ἀλλ' ὅμως οὐδὲ τοῦτό με ἀπάτει τῶν ἐλέγχων. τοῦτο γὰρ καὶ νῦν ἐγκαλοῦσι τῷ Χριστῷ Ἕλληνες ψυχρὸς καὶ ἀνοήτως. οὐ γὰρ ἀνάγκη καὶ βίᾳ ποιεῖν ἀγαθοὺς εἴωθεν ὁ Θεός, οὐδὲ ἡ ἐκλογὴ
10 αὐτοῦ καὶ ἡ αἵρεσις βιαστικὴ τῶν καλουμένων ἐστίν, ἀλλὰ παρατρεπτική. καὶ ἵνα μάθῃς, ὅτι οὐ βιάζεται ἡ κλῆσις, σκόπει πόσους ζωώσει τῶν κληθέντων ἀπολέσθαι. ὅθεν φανερὸν, ὅτι καὶ ἐν τῇ γνώμῃ κεῖται τῇ ἡμετέρᾳ, τὸ σωθῆναι καὶ ἀπολέσθαι.

Ταῦτα δὴ ἀκούοντες παυδυώμεθα καὶ φεύγωμεν ἀεὶ καὶ ἐγρηγορέναι. εἰ γὰρ ὁ εἷς τὸν ἄγιον ἐκεῖνον ΠΡΟΣ ΤΟΝ ΙΘΙΚΟΝ
ρὸν τελῶν, ὁ τοσαύτης ἀπολελαυκὼς δωρεᾶς, ὁ σπυρίδα πεποιηκὼς (καὶ γὰρ καὶ αὐτὸς μετὰ τῶν ἄλ-
15 λων ἦν τῶν πεμφθέντων νεκροὺς ἐγεῖραι καὶ λεπροὺς καθαίρειν) ὅπερ ἐάλω νοσήματι [δεινῷ τῷ] τῆς φιλαργυρίας κακῷ, καὶ τὴν δεκάτην τῶν ἑαυτοῦ προὔδωκεν, οὐδὲν αὐτὸν ὠφελήσει, οὔτε αἱ θυρτσίαι, οὐχ αἱ δωρεαὶ, οὐ τὸ μετ' αὐτοῦ εἶναι, οὐ θεραπεία, οὐ τὸ τοῦ πόδας νίψαι, οὐ τὸ τῆς τραπέζης χοινωνῆσαι, οὐ ὃ γλωσσόκομον κατέχειν, ἀλλὰ καὶ ἐφόδια αὐτῷ ταῦτα κολάσεως γέγονε. φοβη-
θῶμεν καὶ ἡμεῖς, μή ποτε ΜΑ Ἰούδᾳ μιμησώμεθα ὅλως τῆς φιλαργυρίας. καὶ παρὰ δόξαν ΜΑ
20 Χριστόν; ἀλλ' ὅταν παρίδῃς πέντε λιμῷ τηκόμενον, ἢ ὑπὸ ψύχους διαφθειρόμενον, τιμᾷ αὐτιμᾷ καὶ αὐτὸς ἐφείλκει" καταδίκαι· καὶ ὅταν ἀναξίως μετέχωμεν τῶν μυστηρίων, ὁμοίως ἀπολλύμεθα τοῖς χειροκλόνοις. ὅταν ἁρπάζωμεν, ὅταν ἀγνώμεν οὐκ καταδεεστέρως, μεμίσῃ ὀπισθοσόμεθα τιμῇ πλησίον. καὶ μάλα εἰκότως. μέχρι γὰρ τίνος ὁ ἔρως ἡμᾶς ὕ-
πνῳ κατέχει τῶν παρόντων πραγμάτων τῶν περιττῶν δὲ ἀνοήτων; ὁ γὰρ πλοῦτος ἐν τοῖς
25 περιττοῖς, ἐν οἷς οὐδὲν ὄφελος ἔχει. μέχρι πίνος περισπλώμεθα τοῖς ματαίοις; μέχρι τίνος καὶ ὀφθαλμοβλέπομεν ἐν τοῖς ὄρεσιν; καὶ νήφομεν; οὐ λαμβάνομεν κόρον τῶν γηΐνων τούτων καὶ παρῤῥεόντων; καὶ παυδυόμεθα ὅλως τῆς πείρας αὐτῶν τιμῇ βιτέλειαν; ἐννοήσωμεν οὖν πρὸ ἡμῶν πλουτήσαντας. καὶ ἵναρ πόσα ἐκεῖνα; καὶ σκιὰ καὶ ἄνθος; [καὶ ῥοῦμα παρῤῥέ-
ον;] καὶ δίψημα καὶ μῦθος; ὁ δεῖνα πεπλούτηκε· δὲ πόσῳ ὁ πλοῦτος; ἀπώλετο καὶ διέ-
30 φθαρται· ἀλλὰ τὰ δι' αὐτὸν ἁμαρτήματα ὅλως μένει, καὶ ἡ ὅλως δὲ ἁμαρτήματα κόλασις. μᾶλλον δὲ, εἰ μὴ κόλασις ἦν, μηδὲ βασιλεία προὔκειτο, ὃ ὁμόφυλον καὶ ὃ ὁμογλυές ἀδελφῆναι ἐλεεῖν, ὃ ὁμοιοπαθὲς δυσωπῆσαι. νῦν δὲ κινδυνος μὴ πέφομεν· πολλοὶ δὲ καὶ ἀνάγκης καὶ ἀρκίδος, καὶ ὅλως φόβου ἰσχυροῦ· δὲ θέατρον ἐστὶ παρὰ τὸν λιμὸν τηκόμενον, δὲ πικρότερον ἡμῖν δὲ ἄλλοτριον τῶν συγγενοῦς, καὶ ἀπικρότερον ἡμῖν δὲ οἰκεῖον τῶν μὴ ὄντος οὐδὲ προσήκοντος.
35 ἀλλ' οἰκοδομεῖσθαι λαμπρὰς οἰκίας, δὲ πολλοὺς ἔχειν οἰκέτας, καὶ εἰς χρυσῆν ὄροφον κατα-
κειμένοις ὁρᾶν καλόν; πρεπτὸν μὲν οὖν δὲ δυνατόν. ἔστι γὰρ ἄλλα οἰκοδομήματα, λαμπρότερα πολλῷ καὶ σεμνότερα τούτων. ὅπερ τοῖς τοιούτοις βύφραίνειν σκιὰ ὀφθαλμοὺς δυσάγκαιον. ὁ γὰρ κωλύσων οὐδείς. βούλει κάλλιστον ὄροφον ἰδεῖν; ἐπάνω καταλαμπούσης, ἴδε κατηστερισμένον ΜΑ οὐρανόν. ἀλλ' οὐκ ἔστιν ἐμὸς ὄροφος, φησι. καὶ μὲν οὖν μᾶλλον σός, ἢ ἐκεί-
40 νος. δὲ γὰρ ἅλας σε γένοιτο, καὶ κτίσις σοι μετὰ τῶν ἀδελφῶν ἐστιν· οὐκ ἔστι δὲ σός, ἀλλὰ τῶν μετὰ τιμῆ πλουτίσαι κληρονομούντων. καὶ ὁ μὴ δὲ μέγας ὀφειλῆσαι δυνήσεται, ἀλλὰ τοῦ κάλλους τοῦ ΜΑ δημιουργὸν παρεμπέμπων· οὐκ ἔστι δὲ μέγας σε καταλαβεῖν, κατηφὴς σὺ μέγιστος ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως γινόμενος, ὅταν αὐτὸς μὴ χρυσῷ περιβεβλημένος ᾖ, ὁ δὲ Χριστὸς μηδὲ ἀναγκαῖον ἔχων ἱμάτιον. μὴ δὴ τοσαύτῃ αἰσχύνῃ ὑποπέσωμεν· μηδὲ διώκω-

μεν

μθν τὰ φθύγγοντα, ϗ φθύγομθν τοῖ μθνοντα· μηδὲ προδῶμθν ἡμῶν τὴν σωτηρίαν, ἀλλ' ἀντεχώμεθα τῆς μθγούσης ἐλπίδος, ⓐ μθν γεγηρακότες, ἀτε εἰδότες φαύλως, ὅτι ὀλίγος ἡμῖν ἐστιν ὁ λείπεται τῆς ζωῆς χρόνος· ⓐ ὦ νέοι, ἀτε πεπεισμένοι σαφῶς, ὅτι ϗ πολὺ δ' λφπόμθνον. ὡς γὰρ κλέπτης ἐν νυκτί, ὕτως ἡ ἡμέρα ἐκείνη ἔρχε). Ταῦτ' οὖν εἰδότες, καὶ γυναῖκες ἄνδρας παρακαλῶμθν, ϗ ἄνδρες γυναῖκας ὑφετώμθν, ϗ νεωτέρους δὲ πρεσβύτερος διδάσκωμθν, δὲ πάντες ἀλλήλους παραθύνωμθν, τὴν μθν πρόντων ἐπιφοράν, τὴν δ' μελλόντων ἐφίεσθαι, ἵνα ϗ τυχεῖν αὐτ' δυνηθῶμθν, χάριτι ϗ φιλανθρωπίᾳ τ' Κυρίου Ιησ Χριστ, [δι' ὃ δὲ] μεθ' ὧ πατρὶ ἡ δόξα, ἅμα τ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τ αἰῶνας τ αἰώνων. Αμήν.

κεφ ζ. Ομιλ. μη. 1 ΚΑΙ ΠΕΡΙΕΠΑΤΕΙ Ο ΙΗΣΟΥΣ ΜΕΤΑ ταῦτα ἐν τῇ Γαλιλαίᾳ. οὐ γὰρ ἤθελεν ἐν τῇ Ιουδαίᾳ περιπατῆν, ὅτι ἐζήτουν αὐτὸν ⓐ Ιουδαῖοι ἀποκτεῖναι. 2 Ην δὲ ἐγγὺς ἡ ἑορτὴ τ Ιουδαίων, ἡ σκηνοπηγία.

Ουδὲν φθόνου χεῖρον δ βασιλείας· ὕτως ὁ θανάτος εἰς τὸν κόσμον εἰσῆλθεν. ὅπου γὰρ εἶδεν ὁ διάβολος τὸν ἀνθρωπον τιμώμενον, οὐκ ἐνεγκὼν τὴν φιλοτιμίαν, πάντα ἐποίησεν ὥστε αὐτὸν ἀνελῆν. καὶ πανταχοῦ τῆς γῆς τούτου εἴδωλα ἀνέστησεν ἀντὶ τ καρπῶν γινόμθνον. οὕτω ϗ Αβελ ἐσφάγη, οὕτω ϗ Δαβὶδ ἐμίμησεν, ὅτε καὶ ἄλλοι πολλοὶ τ δικαίων· ἐντεῦθεν καὶ Ιουδαῖοι ζηλοτυπότεροι γεγόνασι. καὶ τοῦτο δηλῶν ὁ εὐαγγελιστής ἔλεγε· μθ' ταῦτα περιεπάτει ὁ Ιησ ἐν τῇ Γαλιλαίᾳ. ϗ γὰρ εἶχεν ἐξουσίαν ἐν τῇ Ιουδαίᾳ περιπατῆν, ὅτι ἐζήτουν αὐτ' ⓐ Ιουδαῖοι ἀποκτῆναι. Εἰ λέγεις, ὦ μακάριε Ιωάννη; οὐκ εἶχεν ἐξουσίαν ὁ δυνηθεὶς πάντα ὅσα ἠθέλησεν; ὁ εἰπών, τίνα ζητεῖτε, ϗ ῥίψας αὐτοὺς εἰς τὰ ὀπίσω; ὁ πρὸ ϗ μὴ ὁρώμθνος, ὃς οὐκ εἶχεν ἐξουσίαν; πῶς δ' ϗ ὕστερον εἰς μέσον αὐτῶν προελθών, ἐν μέσῳ τῷ ἱερῷ, ἐν μέσῃ τῇ ἑορτῇ, διωδόν ὄντος, ϗ τῶν φονεύντων πρόντων, διελέγετο ταῦτα, ἃ μᾶλλον αὐτοὺς πρώξινε; τοῦτο γοῦν ϗ ἐθαύμαζον λέγοντες, οὐχ ὕτός ἐστιν ὃν ζητοῦσιν ἀποκτεῖναι; ϗ ἴδε παρρησίᾳ λαλεῖ, ϗ οὐδὲν αὐτῷ" λέγουσι. τίνα" δήποτε ταῦτα τὰ αἰνίγματα;" ἄπαγε· οὐχ ἵνα αἰνίγματα λέγῃ νομισθῇ, οὕτως εἶπεν, ἀλλ ἵνα δηλώσῃ ὅτι ϗ τὰ τῆς θεότητος ἐπεδείκνυτο, ϗ τὰ τῆς ἀνθρωπότητος. ὅταν μ' γὰρ λέγῃ, ὅτι ἔξεστιν οὐκ εἶχεν, ὡς περὶ ἀνθρώπου διαλέγε), πολλαχοῦ ϗ ἀνθρωπίνως ποιοῦντος· ὅταν δ' λέγῃ, ὅτι ἐν μέσοις αὐλοῖς εἱστήκει, ϗ οὐ κατεῖχον αὐτοί, τῆς θεότητος τὸ δυνάμιν ἐνδείκνυται ἡμῖν. ϗ γὰρ ἐφυγεν ὡς ἄνθρωπος, ϗ ἐφαίνετο ὡς Θεός· ἀμφότερα ἀληθεύων. τὸ τε γὰρ ἐν μέσοις οὖσι τοῖς βουλευσι μὴ κατέχεσθαι, τὸ ἀκαταγώνιστον αὐτοῦ ϗ ἄμαχον ἐδήλου· τό τε ὑποστέλλεσθαι, τὴν οἰκονομίαν ἐβεβαίου δὲ ὀπισθεν, ἵνα μήτε Παῦλος ὁ Σαμοσατεὺς ἔχῃ τι λέγειν, μήτε Μαρκίων ϗ οἱ τὰ ἐκείνων νοσοῦντες. διὰ τοῦτο τοίνυν" πάντων ἐμφερόμενοι τὰ σώματα. μθ' ταῦτα ἰὼ ἡ ἑορτὴ τ Ιουδαίων ἡ σκηνοπηγία. τὸ, μθ' ταῦτα, οὐδὲν ἄλλο δηλοῖ, ἢ ὅτι πολλῷ μεταξὺ χρόνον ὀπτεμφὴν ὑπερεπήδησε. ϗ ὅτι δηλον ἐκθεν." ὅτε γὰρ εἰς τὸ ὄρος ἐκαθητο, φησιν, ἰὼ ἡ ἑορτὴ ἦν πάσχα· ἐν ταῦθα ϗ τῆς σκηνοπηγίας μέμνη), ϗ ἐν τοῖς πέντε μησὶν οὐδὲν ἕτερον ἡμῖν διηγήσατο, οὔτε ἐδίδαξεν ἡμᾶς ἄλλο τι, ἢ ὃ μθ' οὗ αὐτὸς σημεῖον, ϗ τ' περὶ τοῦ φαγεῖν τὰς χλοωθώσας δημηγορίαν· καίτοι αὐτὸς ἐ διελίμπανε σημεῖα ποιῶν, ϗ Περιπατοῦντος, οὐκ ἐν ἡμέρᾳ, οὐκ ἐν ἑσπέρᾳ, πολλάκις δ' ϗ νυκτός. τοῖς γοῦν μαθηταῖς ὕτως ἔπεσι, ὡς πάντες φασὶν ⓐ εὐαγγελισαί. τί δήποτε οὖν παρέλιπον ἐκεῖνο; ὅτι οὐκ ἐνῆν ἅπαντα καταλέγειν. ἄλλως

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἄλλως δὲ, ὡς ταῦτα λέγειν ἐπαυδάκασιν, ὑπὸ ὧν ἡ μέμψις, ἡ αἰτιολογία πρὸς τῶν Ιουδαίων· πρόκολωθήκει. ἐκείνοις μὲν γὰρ πολλὰ ὅμοια ἐῶ. ἐγὼ γὰρ ὅτι νοσοῦντας ἐθεράπευσε, καὶ νεκροὺς ἤγειρε, καὶ ὅτι ἐθαυμάσθη, πολλάκις ἀνέγραψα· ἔνθα δὲ ξένον ἔχουσι λέγειν τι, ἢ μέμψιν τινὰ δικαίαν κατ' αὐτοῦ φύεσθαι διηγεῖσθαι, ταῦτα πιθέσθαι. οἷς δὴ καὶ τὸ νῦν ἐστι, ὅτι ἀδελφοὶ αὐτοῦ ἦσαν αὐτῷ πιστοῦσθαι αὐτῷ. ὡς γὰρ ἐν τῷ τυχοῦσαν ἔχει διαβολὴν τὸ πρᾶγμα· καὶ ἄξιον θαυμάσαι τὸ φιλάληθες αὐτῶν ἦθος, πῶς οὐκ αἰσχύνονται λέγοντες ταῦτα, ἃ δοκεῖ τῷ διδασκάλῳ φέρειν αἶσχος· ἀλλὰ καὶ ταῦτα μάλιστα τῶν ἄλλων ἐπαυδάκασιν ἀπαγγέλλειν. καὶ νῦν γοῦν πολλὰ τοιαῦτα θαύματα, καὶ σημεῖα, καὶ δημηγορίας, ὅτι τοῦ βίου ἐπεπίθοντο.

3 Εἶπον γάρ, φησι, πρὸς αὐτὸν οἱ ἀδελφοὶ αὐτοῦ· μεταβηθι ἐντεῦθεν εἰς τὴν Ιουδαίαν, ἵνα καὶ οἱ μαθηταί σου θεωρήσωσι τὰ ἔργα ἃ ποιεῖς.

4 Οὐδεὶς γάρ ἐν κρυπτῷ τι ποιεῖ, καὶ ζητεῖ αὐτὸς ἐν παρρησίᾳ εἶναι. φανέρωσον σεαυτὸν τῷ κόσμῳ.

5 Οὐδὲ γὰρ οἱ ἀδελφοὶ αὐτοῦ ἐπίστευον εἰς αὐτόν. Καὶ ποία, φησὶν, ἀπιστία ἐν ταῦτα; πῶς καλοῦσι γὰρ αὐτὸν θαυματουργῆσαι. πολλὴ σφόδρα. ἀπιστίας γὰρ ἐστὶ τὰ ῥήματα, καὶ ἡ θρασύτης, καὶ ἡ ἄκαιρος παρρησία. ὥρμητο γὰρ ἀπὸ τῆς συγγνείας "ἔξεστιν αὐτῷ μετὰ παρρησίας θαυμαλέεσθαι. ὡς δοκεῖ μὲν ἡ ἀξίωσις δῆθεν φίλων εἶναι· πολλῆς δ' ποτε πείας ἐῶ τὰ λεγόμενα. ἐν ταῦθα γὰρ αὐτῷ καὶ δειλίαν καὶ φιλοδοξίαν ὀνειδίζουσι. τὸ μὲν οὖν εἰπεῖν, οὐδεὶς ἐν κρυπτῷ ποιεῖ, δειλίαν ἐγκαλούντων ἐστὶν, ἅμα καὶ ἐπιτιθυόντων τὰ γινόμενα ὑπ' αὐτοῦ, ὡς ἂν ἀληθῶς γινόμενα· τὸ δ' ἐπαγαγεῖν, ὅτι ζητεῖ ἐν παρρησίᾳ εἶναι, φιλοδοξίας. σὺ δέ μοι σκόπει τὸ Χριστοῦ τὸν δυνάμενον. ἀπὸ γὰρ τούτων τῶν ταῦτα λεγόντων τὰ ῥήματα ὁ τοιοῦτος τῶν Ιεροσολύμων ἐπίσκοπος γέγονεν, ὁ μακάριος Ιάκωβος, περὶ οὗ καὶ Παῦλός φησιν· Ετερον δὲ τῶν ἀποστόλων οὐκ εἶδον, εἰ μὴ Ιάκωβον τὸν ἀδελφὸν τοῦ Κυρίου· λείπεται δὲ καὶ ὁ Ἰούδας θαυμαστός τις γεγενέναι. καίτοιγε οὗτοι καὶ ἐν Κανᾷ πρῶτον τὸν οἶνον ἐποιήσαντο· πόθεν οὖν αὐτοῖς ἡ τοσαύτη ἀπιστία; ἀπὸ πονηρᾶς γνώμης καὶ φθόνου. τὸ γὰρ συγγενὲς ἐπισφαλές πως ἐμφανίζει τῶν τοιούτων. τίνας δὲ ἐν ταῦθα λέγουσι τοὺς μαθητάς; τὸν ὄχλον τὸν πρεπόμενον, τοὺς δώδεκα. τί οὖν ὁ Χριστός; οἶδα πῶς ἀποκρίνατο. οὐ γὰρ εἶπεν, ὑμεῖς δὲ τίνες ἐστὲ ταῦτα συμβουλεύοντες καὶ διδάσκοντες; ἀλλὰ τί;

6 Ο καιρὸς ὁ ἐμὸς οὔπω πάρεστιν. Ενταῦθά μοι δοκεῖ καὶ ἕτερόν τι ἀνίτεσθαι. ἴσως γὰρ αὐτὸν ἐν ἀποδυσῶναι ἐβουλεύοντο, βασκαίνοντες, τοῖς Ιουδαίοις. διὸ καὶ τοῦτο ἐμφαίνων φησὶν, ὁ καιρὸς ὁ ἐμὸς οὔπω πάρεστι· τουτέστιν, ὁ τοῦ σταυροῦ καὶ τοῦ θανάτου. τί ἀποδυσῶναι κατεπείγετε ἀνελεῖν; Ο δὲ καιρὸς ὁ ὑμέτερος πάντοτε ἕτοιμός ἐστιν. Ὡσπερεὶ ἔλεγε· ὑμεῖς καὶ ἀεὶ ζηλωτὰς τοῖς Ιουδαίοις, οὐκ ἀναιρήσουσιν ὑμᾶς τὰ αὐτὰ ζηλοῦντας αὐτοῖς· ἐμὲ δὲ εὐθέως βουλήσονται ἀνελεῖν. ὥστε ὑμῖν μὲν ἀεὶ ὁ καιρὸς ζωῆς μὴ κινδυνεύουσιν· ἐμοὶ δὲ τότε καιρὸς, ὅταν ὁ τοῦ σταυροῦ καιρὸς ὑπισχνῆται, ὅταν δεῖ ἀποθανεῖν. ὁ γὰρ ὅτε λέγει, ἀντὶ τοῦ ἐξῆς ἐδήλωσεν.

7 Οὐ δύναται ὁ κόσμος μισεῖν ὑμᾶς. Πῶς γὰρ οὐ τὰ αὐτὰ βλασφημοῦσι καὶ ὥσπερ τῶν αὐτῶν τυγχάνετε; Εμὲ δὲ μισεῖ, ὅτι ἐλέγχω αὐτὸν, ὅτι πονηρά εἰσιν αὐτοῦ τὰ ἔργα. Τουτέστιν, ὅτι καθάπτομαι καὶ ἐλέγχω, διὰ τοῦτο μισοῦμαι. ἀπὸ τούτων παύσωμεθα κατεῖν ὀργῆς, καὶ μὴ ἀναξιοπαθεῖν, κἂν βούτελῆς ὦσιν οἱ συμβαλλόμενοι. εἰ γὰρ τοὺς πιστεύοντας ὁ Χριστὸς συμβουλεύοντας ἐώλεκε παράνομα, καὶ συμβουλεύοντας τὰ μὴ [δέοντα, ὡς συμβουλεύοντας τὰ οὐκ]" ἀπὸ προαιρέσεως ἀγαθῆς, ἵνος ἡμεῖς τυγχάνομεν συγγνώμης, πῶς καὶ ἀσθενεῖς ὄντες, ὡς πρὸς τοὺς συμβουλεύοντας δυσχεραίνοντες, κἂν ὀλίγον εὐτελέστεροι

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τελέστεροι ⓐ ὅτο ποιοῦντες ὦσιν, ἀνάξιον ἑαυτῶ ἡγούμενοι τοῦτο; σκόπει γοιῶ πῶς μὴ θαρσότητος πάσης ἀποκρούει τὴν κατηγορίαν. εἰ πόντων γὰρ ἐκείνων, φανέρωσον σεαυτὸν τῷ κόσμῳ. αὐτὸς φησιν· ὁ δυνάται ὁ κόσμος ὑμᾶς μισεῖν, εἰ μὲ ὁ κόσμος μισεῖ, ἀναιρῶν αὐτῶν τὴν κατηγορίαν. τοσοῦτον γὰρ ἀπέχω, φησὶ, ζητῶν τὴν παρὰ ἀνθρώπων δόξαν, ὅπε ὁ ἐλαύνων ἐλέγχων αὐτούς, καὶ ζῶπα εἰδὼς μῖσος ἐκ τούτου γινόμενον, καὶ θάνατον καταστυγάζόμενον. καὶ πού ἤλεγξέ, φησι; πότε γὰρ ἐπαύσαντο τοῦτο ποιοῦντες; ὑμεῖς ἔλεγε· μὴ δοκεῖτε, ὅτι ἐγὼ κατηγορήσω ὑμῶν πρὸς τὸν πατέρα; ἔστιν ὁ κατηγορῶν ὑμῶν Μωϋσῆς. Ἐγὼ ἔγνωκα ὑμᾶς, ὅτι τὴν ἀγάπην τοῦ Θεοῦ οὐκ ἔχετε. καὶ, πῶς δύνασθε πιστεύειν, δόξαν παρὰ ἀνθρώπων λαμβάνοντες, καὶ τὴν δόξαν παρὰ τοῦ μόνου Θεοῦ οὐ ζητοῦντες; εἶδες πῶς ἔδειξε δι' ἁπάντων, ὅτι ὁ πρὸς αὐτὸν μῖσος ἐποίει ὁ ἔλεγχος ὁ παῤῥησιαστικός, οὐχὶ τὸ σαββάτου λύσις; Ἀλλὰ διὰ ποτε δὲ αὐτοὺς πέμπει εἰς τὴν ἑορτὴν, λέγων·

8 Ἀνάβητε εἰς τὴν ἑορτὴν, ἐγὼ οὐκ ἀναβαίνω ἀρτι; Δείκνυς ὅτι ταῦτα εἶπεν, οὐχὶ δεόμενος αὐτῶν, οὐδὲ κολακεύεσθαι θέλων, ἀλλὰ συγχωρῶν τοῖς Ἰουδαίοις πᾶσιν. πῶς οὖν, φησιν, ἀνέβη, εἰπὼν οὐκ ἀναβαίνω; οὐκ εἶπε, καθάπαξ οὐκ ἀναβαίνω· ἀλλὰ, νῦν· τοσοῦτον, μεθ' ὑμῶν. Ὅτι ὁ καιρός ὁ ἐμὸς οὔπω πεπλήρωται. Καὶ μὴν τῷ μέλλοντι πάντα σαφῶς ἤδεσθαι ἐμάχετο. πῶς οὖν οὐκ ἀνέβη καὶ αὐτός; Εἰ γὰρ ὅπερ ὁ καιρός οὔπω παρῆν, διὰ τοῦτο οὐκ ἀνέβη, ἐχρῆν μηδὲ ὅλως ἀναβαίνειν. ἀλλ' ὑπὲρ διὰ τοῦτο ἀνέβαινεν, ἵνα πάθῃ, ἀλλ' ἵνα αὐτῶν παραδύσῃ. τίνος οὖν ἕνεκεν λέγει; ἢ γὰρ ἐδύνατο φανερὸς ἀνέρχεσθαι ἐν τῷ μέσῳ τε εἶ), καὶ κατέχειν αὐτῶν τὴν ὁρμὴν τὴν ἀπαιδεύτου, ὁ πολλάκις ἐποίησεν. ἀλλ' οὐκ ἐβούλετο ζιωεχῶς τοῦτο πιεῖν. Εἰ γὰρ αὖθις φανερὸς καὶ πάλιν αὐτοῦ ἐπήρωσε, μείζονας ἂν τὴν ἑαυτῶν θεότητα διαλέλυπεν ἐποίει, ὃ τέως οὐκ ἔδει, καὶ μᾶλλον αὐτὸν ἐξεκαλύπτειν. ὅπερ ὃ ἐνόμιζον σκῆνος δειλίας εἶ) ὃ μένειν, δείκνυσιν· αὐτὸς τὸν ὠμότητον, καὶ θάρσος ὃν καὶ οἰκονομίας· καὶ ὅλη τοῦ καιροῦ προειδὼς καθ' ὃν πείσε), ὅτε λοιπὸν ὅπως, ὅτε μάλιστα βουλήσε) εἰς τὰ Ἱεροσόλυμα ἀναβῶν. ἐμοὶ δοκῶ καὶ ὧδε μὴ εἰπεῖν, ἀναβάντε ὑμεῖς, τοῦτο λέγω, μὴ νομίσητε, ὅτι ἀναγκάζω ὑμᾶς ζιὼ ἐμοὶ μένειν μὴ βουλομένους· ὃ δὲ ἐπαλαγεῖν, οὔπω πεπλήρω) ὁ καιρός μου, δηλωτικός ἐστιν, ὅτι ἔδει καὶ σημεῖα γενέσθαι, καὶ δημιουργείας λεχθῆναι, ὥστε καὶ ὄχλους πιστεῦσαι πλείονας, καὶ τοὺς μαθητὰς τερροτέρους γενέσθαι, τὴν παῤῥησίαν ὁρωντας τοῦ διδασκάλου καὶ ἅπερ ἔπαθε.

ΗΘΙΚΟΝ Μαθωμεν τοίνυν αὐτὸν ἀπὸ τῶν εἰρημένων τὴν ἐπιείκειαν, τὴν ταπεινότητα· μάθετε ἀπ' ἐμοῦ, ὅτι πραΰς εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ· καὶ πᾶσαν πικρίαν ἐκβάλωμεν. κἂν ἐπαίρηταί τις καθ' ἡμῶν, ἡμεῖς ταπεινοὶ γινώμεθα· κἂν θρασυνώμεθα τις, θεραπεύσωμεν· κἂν δάκνῃ καὶ κατεσθίῃ σκώληκας καὶ κωμῳδῶν, ἡμεῖς μὴ νικώμεθα, μὴ ἀμυνόμενοι ἑαυτοῖς ἀνέλωμεν ἑαυτούς. Καὶ γὰρ θηρίον ἐστὶν ὁ θυμός, θηρίον ὀξὺ καὶ θερμόν. ἐπαίδευσεν τοίνυν ἑαυτοῖς καὶ ἀπὸ τῆς θείας γραφῆς ἐπῳδὰς, καὶ λέγωμεν, Ὅτι γῆ εἶ καὶ σποδός· καὶ, Τί ὑβρηφανεύεται γῆ καὶ σποδός; καὶ, Ὅτι ἡ ῥοπὴ τοῦ θυμοῦ αὐτοῦ, πταίσει αὐτῷ· καὶ, Ὅτι ἀνὴρ θυμώδης, οὐκ εὐημέρων. οὐδὲν γὰρ αἰσχρότερον ὄψεως θυμουμένης, οὐδὲν δυσειδέστερον· εἰ δὲ ὄψεως, πολλῷ μᾶλλον ψυχῆς. καθάπερ γὰρ ἀνακωμῳδούμενον βορβόρῳ δυσωδία εἴωθε γίνεσθαι· οὕτω ψυχῆς ταραττομένης καὶ τοῦ θυμοῦ, πολλὴ ἔστιν ἡ ἀημοσύνη καὶ ἀπόνια. ἀλλ' ἵ φέρω, φησὶ, τὴν παρὰ τῶν ἐχθρῶν ὕβριν. ἵνος ἕνεκεν, εἶπέ; ἂν μὲν γὰρ ἀληθὴς ᾖ, καὶ παρὰ ἐκείνου ὀφείλων κατανύττεσθαι, καὶ χάριν ἔχε αὐτῷ τὸν ἐλέγχων· ἂν δὲ ψευδὴς, καταφρόνησον. Εἶπε πέντα, καταγέλασον· * Εἶπε δυσχλῦν ἢ δύσποτον, γενναῖζον παρ' ἐκείνου λοιπόν. ὁ γὰρ εἰπὼν τῷ ἀδελφῷ αὐτοῦ μωρέ, ἔνοχος ἔσται εἰς τὴν γέενναν τοῦ πυρός. ὅταν οὖν ὑβρίσῃ, συνόησον τὴν κόλασιν ἣν κολάζεται, καὶ ὑ μόνον οὐχ ἕξεις ὀργὴν, ἀλλὰ καὶ δάκρυα ἀφήσεις. οὐδὲ γὰρ πρὸς ⓦ πυρέττοντα τις προσέρχεται, ὅτε πρὸς ⓦ φλεγμαίνοντα,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

φλεγμαίνοντα, ἀλλ' ἐλεᾷ πάντας τοὺς τοιούτους καὶ δακρύει. τοιοῦτον γάρ ἐστι ψυχὴ ὀργιζομένη. ἀλλά, κἂν ἀμυνάσθαι βούλῃ, σίγησον, καὶ καιρὸν ἔδωκας αὐτῇ τοῦ πληγοῦ· δοῦ ὁ λοιδορίαν λοιδορίᾳ ζωάψῃς, ὁ πῦρ αὖθις ἅψας. ἀλλ' ἀσθενείαν καταγνώσονται οἱ πρόσθεν τες, φησίν, οὐ σιγήσωμεν. οὐκ ἀσθενείαν καταγνώσονται, ἀλλ' ὅτι φιλοσοφίαν θαυμάσονται. καὶ ὁ ὑβριαθεὶς δηχθῆς, ὑβρισας· δηχθεὶς ὁ, ἀναγκάζεις ἀληθῆ νομίζεσθαι καὶ λεγόμενα. Διὰ τί, εἰπέ μοι, ὁ πλούσιος γέγονε κύων πεινῶν; ἆρ' οὐχ ὅτι μὴ ζωοίδευεν ἑαυτὸν πενίᾳ; " καὶ τοίνυν μέλλωμεν γέγονεν ὅτι ταῖς ὕβρεσι, μενοῦν ἵνα ἀποδείξῃ τὴν μὴ ζωοιδείαν τοῖς λεγομένοις. ἄλλως ὁ, μέχρι ποτὲ ταῦτ' ἀνθρώπων δεδοίκαμεν ἀθυμίας; μέχρι ποτὲ τὸ κοινὸν καταφρονοῦμεν δεσπότου, καὶ τῇ ἀρχῇ προσπλεκόμεθα; ὅπου γὰρ ἐν ὑμῖν ἔρις καὶ ζῆλος καὶ διχοστασία, οὐχὶ σαρκικοί ἐστε; γνώμῃ τοίνυν πνευματικῇ, καὶ χαλινώσωμεν τὸ δεινὸν τοῦτο θηρίον. ὀργῆς καὶ μανίας μέσον οὐδέν· ἀλλὰ προσοιμειός ἐστι δαίμων, μᾶλλον ὁ δὲ δαιμονιώντος χαλεπώτερον. ὁ μὲν γὰρ δαιμονῶν, καὶ συσπώμενος ἀπολαύσειεν ἂν· ὁ ὁ ὀργιζόμενος, μυρίων ἐστὶ κολάσεων ἄξιος, ἑκὼν ἑαυτὸν εἰς βάραθρα τῆς ἀπωλείας φέρων, καὶ τοῦ τῆς μελλούσης γεέννης ἐντεῦθεν ἤδη τὸν δίκτυον ὑφαίνων, θορυβοῦ ἵνα ἀπαύστου καὶ ζάλης" ἀσίγητον γὰρ πάσης μὲν νυκτὸς, γὰρ πάσης ὁ ἡμέρας ἐπεισάγων τοῖς τῆς ψυχῆς λογισμοῖς. ἵν' οὖν μὴ τοῦτο γένηται ἐν τῷ παρόντι κολάσεως, καὶ τῆς ἐν ᾧ μέλλοντι τιμωρίας ἑαυτοὺς ἀπαλλάξωμεν, ἐκβαλόντες τοῦτο τὸ πάθος, παράστημα πᾶσαν ἐπιδειξώμεθα καὶ ἐπιείκειαν, ἵνα καὶ ἐν τούτῳ ἀνάπαυσιν εὕρωμεν τῇ ψυχῇ ἡμῶν, καὶ ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, [διὰ οὗ καὶ] μεθ' οὗ σοὶ πατρὶ ἡ δόξα, ἅμα σοὶ ἁγίῳ πνεύματι, [νῦν καὶ ἀεί, καὶ] εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ομιλ. μθ. 9 ΤΑΥΤΑ ΔΕ ΕΙΠΩΝ ΑΥΤΟΙΣ, ΕΜΕΙΝΕΝ ἐν τῇ Γαλιλαίᾳ. 10 Ὡς δὲ ἀνέβησαν οἱ ἀδελφοὶ αὐτοῦ, τότε καὶ αὐτὸς ἀνέβη εἰς τὴν ἑορτὴν· οὐ φανερῶς, " ἀλλ' ὡς ἐν κρυπτῷ.

ΠΑΝΤΑ ἀνθρώπινα τοῦ Χριστοῦ οἰκονομούμενα, οὐ διὰ τοῦτα μόνον οἰκονομεῖται, ἵνα τὴν σάρκωσιν βεβαιώσηται, ἀλλ' ἵνα καὶ ἡμᾶς παιδεύσῃ πρὸς ἀρετήν. Εἰ γὰρ πάντα ὡς Θεὸς ἐποίησε, πόθεν ἐδωκάμεθα ἡμεῖς εἰδέναι, πρεσβεύοντες ἀβλαβῶς, εἰ μὴ ποιῇ; διὰ τί λέγω. ἐν τούτῳ τε αὐτῷ ὧν ὡς χοϊκῷ φονεύοντων τοὺς Ἰουδαίους εἰς μέσον Βηθέως προελθὼν κατέσχε τὴν ὁρμήν. Εἰ τοίνυν τοῦτο ἐποίει διὰνεκῶς, ἡμεῖς δ' ἐκωλύομεν τοῦτο ποιῆσαι, πρεσβεύοντες ὁ, πόθεν ἂν ἐγνώμεθα πῶς διὰ τοῦ προσώπου χρῆναι; καὶ πότερον Βηθέως ἀποθανεῖν, ἢ εἰ δὲ οἰκονομῆσαι [δέον] ὥστε προχωρῆσαι ἐν λόγον; ἐπεὶ οὖν οὐκ ἂν ἐμάθομεν ἡμεῖς, ἐν μὴ ἐκωλύομεν, προελθόντες εἰς μέσον εἰ δεῖ ποιῆσαι, διὰ τοῦτο καὶ ταῦτα πρὸς αὐτὸν παιδεύομεθα. Ταῦτα γάρ, φησιν, εἰπὼν ὁ Ἰησοῦς, ἔμεινεν ἐν τῇ Γαλιλαίᾳ. ὡς ὁ ἀνέβησαν οἱ ἀδελφοὶ αὐτοῦ, τότε ἀνέβη καὶ αὐτὸς, οὐ φανερῶς, ἀλλ' ὡς ἐν κρυπτῷ. Τὸ εἰπεῖν, ὅτι ἀνέβησαν οἱ ἀδελφοὶ αὐτοῦ, ἐμφαίνοντός ἐστιν, ὅτι οὐκ ἐβούλετο μετ' ἐκείνων ἀνελθεῖν. " διὸ καὶ μάθει ἐν ᾧπερ ἐῶ, ὅτε ὅλον κατέσχισεν ἑαυτὸν, ἐκείνων πως " κατεπειγόντων τοῦτο ποιῆσαι. εἰ δήποτε ὁ ἐν παρρησίᾳ διαλεγόμενος ἀεί, ὡς ἐν κρυπτῷ τὸν τοῦτο ποιῇ; οὐκ εἶπε, κρύφα, ἀλλ' ὡς ἐν κρυπτῷ. οὕτω γὰρ " ἐδόκει, ὅπερ εἶπον, παιδεύων ἡμᾶς καὶ πράγματα οἰκονομῶν. " καὶ χωρὶς τούτου ὁ οὐκ ἦν ἴσον ζεόντων αὐτῶν καὶ σφαδαζόντων ἐμπεσεῖν, καὶ μὴ ταῦτα τῆς ἑορτῆς διαλυθείσης.

11 Οἱ οὖν Ἰουδαῖοι ἐζήτουν αὐτὸν, καὶ ἔλεγον· ποῦ ἐστιν ἐκεῖνος; Καλά γε αὐτὸ τὸ τῆς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ται· ἑορταῖς καταρθώματα. ὅπῃ φόνον ὥρμησαι, ἢ ἐν τῇ ἑορτῇ βουλεύον) αὐτὸ συλλαβεῖν. οὕτω
Ιωαν. ιᾱ νϛ. γοῦν καὶ ἀλλαχοῦ λέγουσι· Δοκεῖτε ὅτι οὐ μὴ ἔλθῃ ἐν τῇ ἑορτῇ; καὶ ἐνταῦθα ἔλεγον· ποῦ ἐστιν ἐκεῖνος; ὥστε τοῦτο πολλὴ μίσους καὶ [τοῦ] ἀπειθείας, σφόδρα ὀνομαστὶ αὐτὸν καλεῖν ἐβούλοντο. πολλὴ ἡ εἰς τὴν ἑορτὴν αἰδώς, μεγάλη ἡ εὐλάβεια. ἀπὸ αὐτῆς τῆς ἑορτῆς αὐτὸν θηρᾶσαι ἐβούλοντο.

12 Καὶ γογγυσμὸς ἦν περὶ αὐτοῦ πολὺς ἐν τοῖς ὄχλοις. Ἐγὼ οἶμαι δὲ ἀπὸ τοῦ πάντα προῤῥιῶσθαι αὐτοὺς ἔνθα ὁ σημεῖον ἐγίνετο, καὶ μάλιστα ἀγριαίνειν καὶ δεδιέναι, μὴ ὥσπερ ἐπὶ τοῦ προελθόντος ὀργιζομένους, ὡς φοβερωτέρους, μή πάλιν ἐργάσηταί τι τοιοῦτον. ὀξέβαινε γὰρ πανταχοῦ τοῦτο τὸ θέατρον, καὶ ἀκοντες φανερὸν αὐτὸν ἐποίουν. Καὶ οἱ μὲν ἔλεγον, ὅτι ἀγαθός ἐστιν· οἱ δέ· ἀλλὰ πλανᾷ τὸν ὄχλον. Ἐκείνων μὲν [οὖν] οἶμαι τὴν δόξαν τῶν πολλῶν εἶναι, τούτων δὲ τῶν ἀρχόντων καὶ τῶν ἱερέων. ὃ γὰρ διαβάλλειν, τοῦτο ἐκείνων βασκανίας καὶ πονηρίας ἐστί. πλανᾷ, φησί, τὸν ὄχλον. τί ποιῶν, εἰπέ μοι; ἆρα φαντάζων, καὶ οὐκ ἐργαζόμενος τὰ σημεῖα; καὶ μὴν τοὐναντίον ἡ πεῖρα μαρτυρεῖ. 13 Οὐδεὶς μέντοι παῤῥησίᾳ ἐλάλει περὶ αὐτοῦ διὰ τὸν φόβον τῶν Ἰουδαίων. Ὁρᾷς πανταχοῦ τὸ μὲν ἀρχικὸν διεφθαρμένον· τοὺς δὲ ἀρχομένους ὑγιαίνοντας μὲν τῇ κρίσει, οὐκ ἔχοντας δὲ παῤῥησίαν κατοικοῦσαν, ἧς μάλιστα δεῖ πλήθη δεῖ;

14 Ἤδη δὲ τῆς ἑορτῆς μεσούσης, ἀνέβη ὁ Ἰησοῦς, καὶ ἐδίδασκε. Τῇ ἀναβολῇ κατοικοδομικωτέρους αὐτοὺς ἐποίησεν. οἱ γὰρ τὴν ἡμέραν ζητήσαντες αὐτὸν τοῦτον, καὶ λέγοντες, ποῦ ἐστιν ἐκεῖνος; ἄφνω παρόντα ἰδόντες, ὅσα πῶς ἐπέτησαν καὶ ἔμελλον ὑπεκεῖσθαι λέγοντα, οἵ τε ἀγαθὸν λέγοντες, οἵ τε μὴ τοιοῦτον· ἀλλ' ἐκεῖνοι μὲν, ὥστε κερδῶαί τι καὶ θαυμάσαι· οὗτοι δὲ, ὥστε ὑπολαβεῖσθαι, καὶ καταχεῖν. ὃ μὲν οὖν, πλανᾷ τὸν ὄχλον, ἀπὸ τῆς διδασκαλίας τῶν δογμάτων ἔλεγον, οὐ νοοῦντες τὰ λεγόμενα· ὃ δὲ, ἀγαγεῖς, ἀπὸ τῶν σημείων. χαλάσας τοίνυν αὐτῶν τὸν θυμὸν ὅτε ἐπέπη, ὥστε μὴ βολῆς ἀκοῦσαι τῶν λεχθέντων, μηκέτι τὸν ὀργῆς ἐμφορήσαντας τὰ ὦτα. τί μὲν οὖν ἐδίδαξεν, οὐκ εἶπεν· ὅτι δὲ θαυμαστῶς, τοῦτο μόνον λέγει, ὅτι εἶλεν αὐτοὺς καὶ μετέβαλε. τοσαύτη τῶν λεχθέντων ἦν ἡ δύναμις. ὃ δὲ εἶπόντες, ὅτι πλανᾷ τὸν ὄχλον, μεταβαλλόμενοι ἐθαύμαζον· διὰ τί δὲ ἔλεγον,

15 Πῶς οὗτος οἶδε γράμματα μὴ μεμαθηκώς; Ὁρᾷς πῶς δείκνυσι καὶ ἐνταῦθα πονηρίας γέμον τὸ θαυμάζειν αὐτόν; τί γὰρ εἶπεν, ὅτι τὴν διδασκαλίαν ἐθαύμαζον, ἢ ὅτι ἐδέχοντο τὰ λεχθέντα, ἀλλ' ἁπλῶς, ἐθαύμαζον· τουτέστιν, εἰς ἔκπληξίν τινα ἐπιπόνων, καὶ διαπόρων λέγοντες, πόθεν τοῦτο ταῦτα; δέον ἀπὸ τῆς ἀπορίας ταύτης ζωοδεῖν, ὅτι σοφὸν ἀνθρώπινον ὠὴν ἐν αὐτῷ. ἀλλ' ὅπερ τοῦτο αὐτοῖς οὐκ ἤθελον ὁμολογῆσαι, ἀλλὰ μέχρι τοῦ θαυμάζειν ἴσαντο μόνον, ἄκουσον τί φησιν αὐτός.

16 Ἡ ἐμὴ διδαχὴ οὐκ ἔστιν ἐμή. Πάλιν πρὸς τὸ ὑπόνοιαν αὐτῶν ἀποκρίνεται, ὅτι τὸ πατέρα αὐτοῖς ἄγων, κἀκεῖθεν ὑποτιμᾶσθαι βουλόμενος.

17 Ἐάν τις θέλῃ τὸ θέλημα αὐτοῦ ποιεῖν, γνώσεται περὶ τῆς διδασκαλίας, πότερον ἐκ τοῦ Θεοῦ ἐστιν, ἢ ἐγὼ ἀπ' ἐμαυτοῦ λαλῶ. Οὐ λέγει ὅτι ἔστι· τὸ πονηρὸν δὲ ἑαυτῶν ἐκκαλεῖται, καὶ τὸν ὀργὸν καὶ τὸν φθόνον, ἐξ ὧν μῖσος τὸ εἰκὸς πρὸς ἐμὲ γεγονυῖαν, καὶ σοφὸν ὂν κωλύον ὑμᾶς γνῶναι ὅτι Θεοῦ ὄντως ἐστὶ τὰ ῥήματα τὰ ἐμά. νεφοῦ γὰρ υἱὸν ἑαυτὸν ὑπισχνεῖτο, καὶ τὸν ὀρθὸν διαφθείρει κρίσιν λάμπουσαν· διὸ ταῦτα δέξεσθε, οὐκέτι τοῦτο πείσεσθε. ἀλλ' ὅτω μὲν οὐκ εἶπεν (ἔπληξε γὰρ διὰ λόγους σφοδροὺς) πολλὰ ταῦτα ἠνίξατο διὰ τοῦ εἰπεῖν, ὁ ποιῶν τὸ θέλημα αὐτοῦ γνώσεται περὶ τῆς διδαχῆς, πότερον ἐκ τοῦ Θεοῦ ἐστιν, ἢ ἐγὼ ἀπ' ἐμαυτοῦ λαλῶ, τουτέστιν, ἢ ἐγὼ ἀλλοτρίου τινὸς καὶ ξένου καὶ ἐναντίου φθέγομαι. τὸ γὰρ, ἀπ' ἐμαυτοῦ, ἀεὶ ὅπερ τοῦτο κεῖται, ὅτι οὐδὲν ἔξω τῶν αὐτῷ δοκούντων λέγω, ἀλλὰ πάντα ἃ ὁ πατὴρ βούλεται, ταῦτα κἀγώ. ἐάν τις τὸ θέλημα αὐτοῦ ποιῇ, γνώσεται περὶ τῆς διδαχῆς. τί ἐστιν, ἐάν τις τὸ θέλημα αὐτοῦ ποιῇ; ἐάν τις ἐραστὴς ᾖ τοῦ βίου τοῦ καθ' ἡμᾶς, ἐπίσταται τῶν λεχθέντων τὴν δύναμιν· ἐάν τις θέλῃ προσέχειν ταῖς προφητείαις, πότερον

περι κατ' αὐτὰς λαλῶ ἢ ὄ. πῶς οὖν αὐτῷ, ἢ οὐκ αὐτῷ; ὁ γὰρ εἶπεν, ἡ διδασκαλία αὕτη οὐκ ἔστιν ἐμή· ἀλλὰ περὶ τοῦ πέμψαντός με πατρός· περὶ τούτου εἶπεν, ὅτι ἐμή ἐστι, καὶ οἰκειοσάμενος αὐτὴν, τότε ἐπήγαγε, οὐκ ἔστιν ἐμή. πῶς οὖν τὸ αὐτὸ δύναται εἶναι καὶ αὐτοῦ, καὶ οὐκ αὐτοῦ; αὐτοῦ μέν, ὅτι ὡς μὴ διδασκόμενος ἔλεγεν· οὐκ αὐτοῦ δέ, ὅτι τοῦ παρόντος ἐν τῷ διδασκαλία. πῶς οὖν λέγει· Πάντα τὰ ὅσα ἔχει ὁ πατὴρ ἐμά ἐστι, καὶ τὰ ἐμὰ αὐτοῦ; εἰ γὰρ ὅτι τοῦ παρόντος ἐστί, μέγα τοῦτο οὐκ ἔστι σοι· ψεῦδος ἐκεῖνο. μέγα τοῦτο γὰρ ὠφέλειν εἴωθε σε. ἀλλὰ τό, οὐκ ἐμή, σφόδρα αὐτοῦ καὶ τοῦ παρόντος μίαν εἶναι δηλοῖ τὴν διδασκαλίαν· ὡσανεὶ ἔλεγεν· οὐδὲν ἔχει πρόσκλασμον, ὡς ἑτέρου οὖσα. εἰ γὰρ καὶ ἡ ὑπόστασις ἄλλη, ἀλλ' ὅτι οὐ λέγω καὶ μέγα, ὡς μὴ νομίζεσθαι ἕτερόν τι παρὰ τὸν πατέρα, ἀλλὰ τὸ αὐτὸ ὅπερ ὁ πατὴρ εἶπεν, ἡ ἔσεμνυξεν. εἶτα καὶ ἄλλον ἐπάγει συλλογισμὸν δυσπαρόρητον, δι' ἐρωτήσεως τινος ἐξ ἐναντίου γινομένης, καὶ ἐκ τῆς καθημερινῆς παιδεύων. Ἢ τί τοῦτο ἐστιν;

18 Ὁ ἀφ' ἑαυτοῦ λαλῶν, τὴν δόξαν τὴν ἰδίαν ζητεῖ· Τουτέστιν, ὁ βουλόμενος ἰδίαν τινὰ σῆσαι διδασκαλίαν, δι' οὗπερ ἕτερον βούλεται, φησίν, ἀλλ' ὥστε τὴν δόξαν αὐτοῦ καρπώσασθαι. Εἰ δὲ ἐγὼ ἃ βούλομαι καρπώσασθαι δόξαν, τίνος ἕνεκεν ἰδίαν τινὰ βάλλομαι σῆσαι διδασκαλίαν; ὁ ἀφ' ἑαυτοῦ λαλῶν, τουτέστιν, ὁ ἴδιόν τι καὶ προσκλαμένον, διὰ τοῦτο λαλεῖ, ἵνα τὴν δόξαν αὐτοῦ σήσῃ. Εἰ δὲ ἐγὼ τὴν δόξαν τοῦ πέμψαντός με ζητῶ, τίνος ἕνεκεν ἂν ἐλοίμην ἑτέρα διδάσκειν; ὁρᾷς ὅτι αἰτία τοῖς λόγοις, δι' ὧν καὶ ἔλεγε μηδὲν ἀφ' ἑαυτοῦ ποιεῖν; τίς δὲ αὕτη; ἵνα πίστωσιν, ὅτι ἃ δόξης ἐφίεται τῆς τῶν πολλῶν. διὰ τοῦτο οὖν ταπεινὰ λέγει, ἐγὼ τὴν δόξαν τοῦ παρόντος ζητῶ, φησί, πάντα μὲν πείσαι βουλόμενος αὐτόν, ὅτι ἃ δόξης ἐραῖ. τοῦ μὲν οὖν ταπεινὰ φθέγγεσθαι πολλαί εἰσιν αἰτίαι, οἷς, τὸ μὴ ἀγώνιστον νομισθῆναι, τὸ μὴ φιλόνικον, τὸ σάρκα περιβεβλῆσθαι, τὸ ἀδυνατεῖν τῶν ἀκουόντων, τὸ διδάσκειν αὐτὸν δυσθεώρητα μετειλῆφεν καὶ μηδὲν περὶ ἑαυτοῦ λέγειν μέγα· τὴν δὲ ὑψηλὰ φθέγγεσθαι μίαν οὖσαν αἰτίαν, τῆς φύσεως τὸ μέγεθος. Εἰ γὰρ, ὅπερ εἶπε, περὶ τοῦ Ἀβραὰμ ἐγώ εἰμι, ἐσκωμμολίθησαν, τί οὐκ ἂν ἔπαθον, ἀεὶ ῥημάτων ὑψηλῶν ἀκούοντες;

19 Οὐ Μωϋσῆς δέδωκεν ὑμῖν τὸν νόμον, καὶ οὐδεὶς ἐξ ὑμῶν ποιεῖ τὸν νόμον; τί με ζητεῖτε ἀποκτεῖναι; Καὶ ποίαν ἀκολουθίαν ἔχει τοῦτό, φησιν, ἢ τί κοινὸν πρὸς τὰ πρότερον εἰρημένα; δύο ἐγκλήματα ἐπήγαγεν· ἓν, ὅτι τὸ σάββατον λύει· ἄλλο, ὅτι πατέρα ἔλεγε τὸν Θεόν, ἴσον ἑαυτὸν ποιῶν τῷ Θεῷ. ὅτι γὰρ οὐ τῆς ἐκείνων ὑπονοίας ἦν, ἀλλὰ τῆς αὐτῶν γνώμης, καὶ ὅτι οὐχ ὡς πολλοί, ἀλλ' ἐξαιρέτως καὶ ἰσχυζόντως ἔλεγε, δῆλον ἐκεῖθεν. πολλοὶ πολλάκις πατέρα εἶπον τὸν Θεὸν ἑαυτῶν· οἷς, Οτι Θεὸς εἷς ἔκτισεν ἡμᾶς, καὶ πατὴρ εἷς πάντων ἡμῶν· ἀλλ' οὐ πρόσκλασμα τοῦτο ἴσως ἦν ὁ λαὸς τῷ Θεῷ, ὅθεν οὐδὲ ἐσκωμμολίζοντο ἀκηκόοντες. ὥσπερ οὖν ὅτε, οὐκ ἔστιν ὁ τοῦ Θεοῦ, ἔλεγον, οὐ θεραπεύσεν αὐτὸν πολλάκις, καὶ ὑπὲρ τῆς τοῦ σαββάτου λύσεως ἀπελογήσατο· οὕτω καὶ τοῦτο· εἰ τῆς ἐκείνων ὑπονοίας ἦν ἴσως οὐ μὴ τῆς αὐτοῦ γνώμης, διώρθωσεν ἂν καὶ εἶπε· τί με νομίζετε ἴσον τῷ Θεῷ; οὐκ εἰμὶ ἴσος. ἀλλ' οὐδὲν τοιοῦτον εἶπεν, ἀλλὰ [καὶ] πλείονα, καὶ ἀπέδειξεν, ὅτι ἴσος ἐστὶ τῷ ἐξῆς. Ὃ γὰρ, Ωσπερ ὁ πατὴρ ἐγείρει τοὺς νεκροὺς καὶ ζωοποιεῖ, οὕτω καὶ ὁ υἱός, καὶ, Ινα πάντες τιμῶσι τὸν υἱόν, καθὼς τιμῶσι τὸν πατέρα, καὶ, Τὰ ἔργα ἃ ἐγὼ ποιῶ, ταῦτα καὶ ὁ υἱὸς ὁμοίως ποιεῖ, ταῦτα πάντα τῆς ἰσότητός ἐστι συσταπικά. καὶ οὐκ τοῦ νόμου δὲ λέγει· Μὴ νομίσητε, ὅτι ἦλθον καταλῦσαι τὸν νόμον, ἢ τοὺς προφήτας. οὕτως οἶδε καὶ τὰς ὑπονοίας πονηρὰς ὑπονοίας ἐξελεῖν. ἐνταῦθα δὲ τὴν τοῦ ἴσα ὑπονοίαν, οὐ μόνον οὐκ ἀναιρεῖ, ἀλλὰ καὶ βεβαιοῖ. διὸ καὶ ἀλλαχοῦ εἰπόντων αὐτῶν, ὅτι ποιεῖς σεαυτὸν Θεόν; οὐκ ἀνέλεγε τὴν ὑπόνοιαν, ἀλλὰ καὶ ἐβεβαίωσεν εἰπών· Ινα δὲ εἰδῆτε, ὅτι ἐξουσίαν ἔχει ὁ υἱὸς τοῦ ἀφιέναι ἁμαρτίας ἐπὶ τῆς γῆς, λέγει τῷ παραλυτικῷ· ἆρον τὸν κράβαττόν σου καὶ περιπά-

τή. σκῆψο μὲ οὖν ὃ πρότερον ἐπέτεινε, ὃ ἴσον ἑαυτὸν ποιεῖν τῷ Θεῷ, δείκνυς ὅτι οὐκ ἔστιν ἀνθρωπος, ἀλλὰ καὶ αὐτὰ λέγει, καὶ πάντα αὐτὰ σκείνῳ διδάσκει· λοιπὸν ὁ πρὸς τοὺς τὸ σαββάτου λύσιν ἰσαται λέγων· ὁ Μωϋσῆς δέδωκεν ὑμῖν τὸν νόμον, καὶ οὐδεὶς ἐξ ὑμῶν πρεῖ τὸν νόμον; ὡσανεὶ ἔλεγλν· Εἶπεν ὁ νόμος, ὁ φονεύσεις· ὑμεῖς δὲ φονεύετε, καὶ ἐμοὶ ἐγκαλεῖτε ὡς παραβαίνοντι τὸν νόμον. ἀλλὰ τί δὲ Εἶπεν, σαββίς; ὅτι πρῶτος ἐζήτουν αὐτὸν ἀποκτεῖναι. ἐγὼ μὲν οὖν εἰ καὶ ἔλυσα τὸν νόμον, φησίν, ἀλλὰ δι' ἄθεσπον σωτηρίαν· ὑμᾶς δὲ παραβαίνοντας ὅτι κακῶν. ὃ ἐμοὶ Εἰ καὶ παραβασις ἐμοὶ, ἀλλ' ὅτι σωτηρία, καὶ οὐκ ἐγκαλῶ ὑφ' ὑμῶν τῶν τὰ μεγάλα παραβαινόντων ἐμὲ κρίνεσθαι. ὃ δὲ ὑμέτερον, δικάζεται τὸν νόμον πρῶτος. Εἶτα καὶ ἐπαγωνίζεται, καίτοι πολλὰ καὶ πάλαι διαλελεγμένος· ἀλλὰ τότε μὲν ὑψηλότερον τῆς κατ' τοῦ ἀξίαν τοῦ αὐτὸ, νῦν δὲ ταπεινότερον. τί δήποτε; ὅτι οὐκ ἐβούλετο συνεχῶς παραβαίνειν αὐτός. νῦν δὲ τὰ τῆς ὀργῆς ὅπιτέτατο, καὶ εἰς φόνον προήεσαν. διὸ μένει δύο τούτοις κατατέλλων αὐτός· τῷ τε ἐλέγξαι αὐτὸ τὸ τόλμημα καὶ Εἰπεῖν, τί με ζητεῖτε ἀποκτεῖναι; καὶ ὃ μετ' ὀπιεικείας Εἰπεῖν, μὴ δαίμονιον, ὃς τοῦ ἀληθῆ λελάληκα, καὶ ὃν δεῖξαι, ὅτι φονεύοντες οὐκ εἰσὶν ἄξιοι κρίνειν ἕτερον. σὺ δὲ ὅρα καὶ τῆς ἐρωτήσεως τὸ ταπεινὸν τῆς τοῦ Χριστοῦ, καὶ τῆς ἀποκρίσεως σκείνων τὸ ὑψηλόν.

20 Δαιμόνιον ἔχεις, τίς σε ζητεῖ ἀποκτεῖναι; Ὀργῆς τὸ ῥῆμα καὶ θυμοῦ καὶ ψυχῆς ἀναμαρτήτου ὅτι ὃν παραδόξως ἐλπιλέγχεται, καὶ περικαταπληττομένης αὐτῶν, ὡς ὤοντο. καθάπερ γὰρ λησταί τινες ἄδοντες ὅτι τὰς ὀπιβουλὰς, Εἶτα βουλόμενοι ἀφύλακτον ἐργάσασθαι τὸν ὀπιβουλευόμενον, ὑφ' ἡδονῆς τινος σιωπῆς τοῦτο ποιοῦσιν· ὕπνω καὶ ὕπνοι. αὐτὸς δὲ ἀφεὶς ἐλέγξαι τοῦτο, ὥστε μὴ ἀναμαρτητοτέρους ποιῆσαι, πάλιν τῆς ἀπολογίας ἅπτεται τῆς ὑπὲρ τοῦ σαββάτου, ἀπὸ τοῦ νόμου συλλογιζόμενος αὐτούς. καὶ ὅρα πῶς σιωπῶς. οὐδὲν θαυμαστόν, φησιν, εἰ ἐμοῦ παραβαίνετε, ὅπου γε τοῦ νόμου, ὃν δοκεῖτε ἀκριβεῖν, καὶ ὃν νομίζετε παρὰ Μωϋσέως δεδόσθαι, παραβαίνετε. οὐδὲν οὖν καινόν, εἰ τοῖς ἐμοῖς ὑ προσέχετε λόγοις. ὅτι γὰρ ἔλεγεν, ὅτι Μωϋσεῖ λελάληκεν ὁ Θεός, τοῦτον δὲ οὐκ οἴδαμεν πόθεν ἔστι, δείκνυσιν ὅτι καὶ εἰς σκῆψον ὑβριζον. καὶ γὰρ νόμον σκῆπτρος ἔδωκε, καὶ οὐκ ἤκουσαν.

21 Ἓν ἔργον ἐποίησα, καὶ πάντες θαυμάζετε. Σκόπει πῶς ἔνθα ἂν ἀπολογήσασθαι δέῃ καὶ ὡς ἔγκλημα δεῖξαι, συλλογίζεται. τὸ γὰρ γεγονὸς, ὑ τὸ τοῦ παρόδος, ἀλλὰ τὸ αὐτοῦ πρόσωπον εἰσάγει· ἓν ἔργον ἐποίησα. θέλει δεῖξαι, ὅτι τὸ μὴ ποιῆσαι, λῦσαι νόμον ἐστίν· καὶ ὅτι ὅσα πολλὰ τοῦ νόμου κρείττονα· καὶ ὅτι σύντολον ἐχρῆν δέχεσθαι Μωϋσῆν καὶ τοῦ νόμου, καὶ τοῦ νόμου κρείττονα. τοῦ γὰρ σαββάτου ἡ περιτομὴ κρείττων· καίτοι οὐκ ἔστι τοῦ νόμου, ἀλλὰ τῶν πατέρων. ἐγὼ δὲ καὶ τῆς περιτομῆς τὸ κρεῖττον ἐποίησα καὶ χρῆσθον. Εἶτα ὑ μέμνηται σύντολῆς νομικῆς, οἷς, ὅτι ἡ ἱερεῖς τὸ σάββατον βεβηλοῦσι, καθάπερ ἤδη εἶπεν, ἀλλ' οὐ μείζονος πρεσβείας. τὸ δὲ θαυμάζετε, τοῦτο ἔστι, θορυβεῖσθε, παραπίπτεσθε. εἰ γὰρ ἔδει εἶ βέβαιον νόμον, οὐκ ἂν ἡ περιτομὴ αὐτοῦ κρείττων ἦν. καὶ οὐκ εἶπεν, ὅτι μεῖζον ἐποίησα τῆς περιτομῆς," ἀλλ' οὐ πρεσβείας ἐλέγχει ὡς εἰπεῖν,

23 Εἰ περιτομὴν λαμβάνει ἄνθρωπος. Ὁρᾶς ὅτι τότε μάλιστα ἴσαται ὁ νόμος, ὅταν αὐτὸν λύῃ; ὁρᾶς ὅτι ἡ τοῦ σαββάτου λύσις, τήρησίς ἐστι τοῦ νόμου; ὡς εἰ μὴ ἐλύθη τὸ σάββατον, ἀναίρεται νόμον ἦν λυθῆναι· ὥστε καὶ ἐγὼ ἔσωσα αὐτόν. καὶ οὐκ εἶπεν, ἐμοὶ χολᾶτε ὅτι μεῖζον περιτομῆς εἰργασάμην, ἀλλὰ τὸ γεγονὸς μόνον εἶπών, αὐτοῖς τὴν κρίσιν ἐπέτρεψεν, εἰ μὴ περιτομῆς ἀναγκαιότερον ὁλόκληρος ὑγίεια. ἵνα σημεῖον λάβῃ ὁ ἄνθρωπος οὐδὲν περὶς ὑγείαν ζημιοῦται, λύεται νόμος, φησίν· ἵνα νόσος τοσαύτης ἀπαλλαγῇ, δυσχεραίνετε καὶ ἀγανακτεῖτε;

24 Μὴ κρίνετε κατ' ὄψιν. Τί ἐστι, κατ' ὄψιν; μὴ ὅτι Μωϋσῆς μείζονα περὶ ὑμῶν ἔχει τὴν δόξαν, ἀπὸ τῶν τῶν προσώπων ἀξιώματος φέρετε τὴν ψῆφον· ἀλλ' ἀπὸ τῆς τῶν πραγμάτων

τῶν γραμμάτων φύσεως. τοῦτο γὰρ ὅτι ὃ δικαίως κρῖναι. διὰ τί γὰρ οὐδεὶς ἐνεκάλεσε Μωϋσεῖ; διὰ τί οὐδεὶς ἠπείθησε κελεύοντι τὸ σάββατον λύεσθαι; ἀπὸ ἐντολῆς ἔξωθεν ἐπεισενηνεγθείσης τῷ νόμῳ; ἀλλ' ἐκεῖνος μὲν τοῦ οἰκείου νόμου ἀνέχεται ἐντολὴν εἰσηνεγκεῖν κυριωτέραν, οὗτος δὲ οὐδὲ τοῦ τοῦ νόμου ἐδίσενεγθεῖσαν, ἀλλ' ἔξωθεν, ὅπερ ὅτι μάλιστα θανμαστόν· ὑμεῖς δὲ οἱ νομοθέται, πέρα τοῦ μέτρου ἐκδικεῖτε τὸν νόμον καὶ ἀμιμήτε αὐτῷ. ἀλλὰ ἀξιοπιστότερος ὑμῶν ὅτιν ὁ Μωϋσῆς, ὁ κελεύων λύεσθαι τὸν νόμον πρὸ ἐντολῆς οὐ νομίμης. διὸ χρὴν εἰπεῖν, ὅταν ἄνθρωπον, δείκνυσι μεμικὼς ὑγείαν ὅλῃ τῇ περιτομῇ. καὶ τῆς ἡ ὑγεία τοῦ περιτομῆς; Ψυχή, φησι, πᾶσα, ἥτις ἐὰν μὴ περιτμηθῇ, ἐξολοθρευθήσεται. ἐγὼ δὲ οὐκ ἀπὸ μέρους γεν. ιζ. ιδ. κεκακωμένον, ἀλλ' ὅλον διεφθαρμένον δύεσα. μὴ κρίνετε [τοίνυν] κατ' ὄψιν.

καὶ ἀνθρώπου,

τοῦτο δὲ πῶς τότε ἐθνικὸν μόνον, ἀλλ.

" Τοῦτο πειθώμεθα μὴ τοῖς τότε ἐρῆσθαι μόνον, ἀλλὰ καὶ ἡμῖν, ὥστε μηδενὶ ΗΘΙΚΟΝ
τρόπῳ ἀμαφθείρειν τὸ δίκαιον, ἀλλὰ πάντα ἐκβάλλειν τούτου χάριν. Εἴτε πένης, εἴτε πλούσιος ἡ τις, μὴ τοῖς τρόποις τρέπειν, ἀλλὰ τὰ τρόπαια ἐξετάζειν. οὐκ ἐλεήσεις, φησί, πένητα ἐν κρίσει. Τί δή ἐστι τὸ λεγόμενον; μὴ κατακλασθῇς, μηδὲ ἐπικαμφθῇς, φησιν, ἐὰν πένης ὁ ἀδικῶν τύχῃ. Εἰ δὲ πένητι χρείζεσθαι τὸ χρὴ, πολλῷ μᾶλλον πλουτοῦντι. Ταῦτα δὲ λέγω, τὰ τρὸς τοὺς δικάζοντας μόνον; ἀλλὰ καὶ τρὸς πάντας ἀνθρώπους, ὥστε μηδαμοῦ ἀμαφθείρειν τὸ δίκαιον, ἀλλὰ πάντα μᾶλλον ἀκέραιον φυλάττειν. Ἀγαπᾷ, φησι, δικαιοσύνην ὁ Κύριος. " ὁ δὲ ἀγαπῶν τὴν ἀδικίαν μισεῖ τὴν ἑαυτοῦ ψυχήν. μὴ δὴ μισήσωμεν ἑαυτῶν ψυχὰς, μηδὲ ἀγαπήσωμεν ἀδικίαν. " πάντως γὰρ αὐτῆς τὸ κέρδος" νῦν μικρὸν καὶ οὐδέν. " ἀλλ' εἰς τὸ μέλλον μεγάλα ζημιοῖ· μᾶλλον δὲ οὐδὲ ἐν τούτοις αὐτῆς ἀπολαυσόμεθα. ὅταν γὰρ μὴ ζημιωθῶμεν τὸν τῆς ἀδικίας μισθὸν, τί ἔσται ἡμῖν; ἀγαπήσωμεν τοίνυν τὸ δίκαιον καὶ μηδαμοῦ" παραβλέψωμεν τοῦτον νόμον. τί γὰρ δυνησόμεθα ἐκείνου παρόντος καρπώσασθαι βίου, ἂν μὴ λάβοντες ἀρετὴν ἀπέλθωμεν; τί δὲ ἐκεῖ ἡμῖν τρεσήσεται; φιλία καὶ συγγένεια καὶ τὸ τῆς δείνος χάρεις καὶ τί λέγω, τὸ τῆς δείνος χάρις; καὶ γὰρ Νῶε, καὶ Ἰωβ, καὶ Δανιὴλ ἔχωμεν παρέσται, οὐδὲν ἡμᾶς ὠφελήσει τοῦτο, ὅταν ἀπὸ τῶν οἰκείων ἔργων ὦμεν τρεδεδοικότες. [ἀλλ'] ἑνὸς ἡμῖν δεῖ μόνου, ἀρετῆς τῆς καθ' ψυχήν. αὕτη ἡμᾶς ἀμασῶσα δυνήσεται καὶ ἀπαλλαξαι τοῦ αἰωνίου πυρός· αὕτη" πρεμπέμψαι εἰς τὴν βασιλείαν τῶν οὐρανῶν· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

πρεσπέμψαι

Ομιλ. ν.

25 ΕΛΕΓΟΝ ΟΥΝ ΤΙΝΕΣ ΕΚ ΤΩΝ ΙΕΡΟΣΟΛΥΜΙΤΩΝ· οὐχ οὗτός ἐστιν ὃν ζητοῦσιν ἀποκτεῖναι; 26 Καὶ ἴδε παῤῥησίᾳ λαλεῖ, καὶ οὐδὲν αὐτῷ λέγουσιν. μήτι ἀληθῶς ἔγνωσαν οἱ ἄρχοντες, ὅτι οὗτός ἐστιν ἀληθῶς ὁ Χριστός; 27 Ἀλλὰ τοῦτον οἴδαμεν πόθεν ἐστίν.

Ὑδὲν ἁπλῶς ἐν ταῖς θείαις γραφαῖς κεῖται· πολλάκις γὰρ εἰρημέναι εἰσὶν ἀμῖν· διὰ πάντα μὴ ἀκριβείας ἐξετάζωμεν. ἐκ γὰρ ἀπὸ μιᾶς λέξεως ἔνεστιν ὁλόκληρον βύρβορον νοεῖν, οὗ διὰ καὶ νῦν ἡμῖν ἔστι τρεκείμενον. πολλοὶ γὰρ ἐκ τῶν Ἱεροσολυμιτῶν ἔλεγον· οὐχ οὗτός ἐστιν ὃν ζητοῦσιν ἀποκτεῖναι; καὶ ἴδε παῤῥησίᾳ λαλεῖ, καὶ οὐδὲν αὐτῷ λέγουσι. τί δήποτε τρόσκειται τῶν Ἱεροσολυμιτῶν; δείκνυσιν ὁ Εὐαγγελιστής, ὅτι μάλιστα τῶν μεγάλων ἀπολελαυκότες σημείων ὅτοι πάντων ἦσαν ἐλεεινότεροι, οἳ τῆς θεότητος αὐτοῦ σημεῖον ἑωρακότες μέγιστον, ὃ πάντων τὴν κρίσιν τῶν ἀρχόντων ἐπέτρεπον τῶν διεφθαρμένων.

εφθαρμένων. ἢ γὰρ μέγα σημεῖον, μεμνημένους καὶ φονεύοντας καὶ ἀδικοῦντας καὶ ζητοῦντας ἀνελεῖν, καὶ κατέχοντας ἐν χερσὶν, ἡσυχάζειν ἐξαίφνης; τίς γὰρ δὴ τοῦτο ἐποίησε; τίς ὁλόκληρον μανίαν οὕτως ἔσβεσεν; ἀλλ' ὅμως μὴ τοσαῦτα σημεῖα, ὅσα τοὺς ἀνοήτους καὶ τοὺς μανιώδη. οὐχ ἕστηκεν ὃν ζητοῦσιν ἀποκτεῖναι; ὅρα πῶς ἑαυτοῖς κατηγορεῖσιν. οὓς ζητοῦσι, φησὶν, ἀποκτεῖναι, καὶ οὐδὲν αὐτῷ λέγουσι. Εἶτα οὐχ ἁπλῶς οὐδὲν αὐτῷ λέγουσιν, ἀλλὰ καὶ παρρησιαζομένῳ. ὁ γὰρ παρρησίᾳ λαλῶν καὶ μετ' ἐλευθερίας ἅπασης, μᾶλλον ἂν αὐτοὺς πρῶξιωσεν· ἀλλ' οὐδὲν ἐποίουν. μήποτε ἀληθῶς ἔγνωσαν, ὅτι οὗτός ἐστιν ὁ Χριστός; ὑμῖν δέ τι δοκεῖ; ποίαν ταῦτα αὐτοῦ φέρετε ψῆφον; τοὺς ἀνθρώπους, φησί. διὰ τοῦτο ἔλεγον· ἀλλὰ τοῦτον οἴδαμεν πόθεν ἐστίν. ὦ τῆς πονηρίας, ὦ τῆς ἀναισθησίας· οὐδὲ ταῖς τῶν ἀρχόντων ἔπονται ψήφοις, ἀλλ' ἑτέραν ἀναφέρουσι διεφθαρμένην, καὶ τῆς οἰκείας ἀξίαν. οἴδαμεν αὐτὸν, φησὶ, πόθεν ἐστίν. Ὁ δὲ Χριστὸς ὅταν ἔρχηται, οὐδεὶς γινώσκει πόθεν ἐστί. Καὶ μοι τὰ ἄρχοντες ὑμῶν ἐρωτώμενοι ἔλεγον, ὅτι ἐν Βηθλεὲμ γεννᾶται. καὶ πάλιν ἄλλοι λέγουσιν, Ἡμεῖς οἴδαμεν ὅτι Μωϋσῆς λελάληκεν ὁ Θεός, τοῦτον δὲ οὐκ οἴδαμεν πόθεν ἐστίν. οἴδαμεν πόθεν ἐστί, καὶ οὐκ οἴδαμεν πόθεν ἐστίν. ὅρα μεθυόντων ῥήματα. καὶ πάλιν· μὴ ἐκ τῆς Γαλιλαίας ἔρχεται ὁ Χριστός; οὐκ ἀπὸ Βηθλεὲμ τῆς κώμης; εἶδες μεμνημένων ψῆφον; οἴδαμεν, καὶ οὐκ οἴδαμεν· ἀπὸ Βηθλεὲμ ἔρχεται ὁ Χριστός, ὁ δὲ Χριστὸς ὅταν ἔρχηται, οὐδεὶς γινώσκει πόθεν ἐστί. Τί τούτης τῆς μάχης σαφέστερον; ποῖος γὰρ ἕν μόνον εἶδεν, ὃ μὴ πιστεύσαι. τί οὖν ποιοῦσι ταῦτα ὁ Χριστός;

Ιωαν. ϑ. κθ.

γρ. ἀποδεῦαι

28 Καὶ ἐμὲ οἴδατε, καὶ οἴδατε πόθεν εἰμί, καὶ ἀπ' ἐμαυτοῦ οὐκ ἐλήλυθα, ἀλλ' ἔστιν ἀληθὴς ὁ πέμψας με, ὃν ὑμεῖς οὐκ οἴδατε. Καὶ πάλιν· Εἰ ἐμὲ ᾔδειτε, καὶ τὸν πατέρα μου ἤδειτε ἄν. πῶς οὖν φησιν ἀκούσεις καὶ εἰδέναι αὐτὸν, καὶ πόθεν ἐστί· καὶ πάλιν, μήτε αὐτὸν εἰδέναι, μήτε τὸν πατέρα; οὐκ ἀναπολογῶν (ἄπαγε) ἀλλὰ καὶ σφόδρα ἑαυτῷ ἀναλυθῶν. ἑτέραν δὲ λέγει γνῶσιν, ὅταν λέγῃ, οὐκ οἴδατε, ὥσπερ ὅταν λέγῃ· οἱ δὲ Ἕλληνες, οἱ δὲ λοιμοὶ, καὶ οὐκ εἰδότες τὸν Κύριον. καὶ πάλιν, Ἰσραὴλ δέ με οὐκ ἔγνω. ὡς καὶ Παῦλός φησι, Θεὸν ὁμολογοῦσιν εἰδέναι, τοῖς δὲ ἔργοις ἀρνοῦνται. ἔστιν ἃ μὴ εἰδέναι εἰδόσι. τοῦτο οὖν φησιν, Εἰ ἐμὲ οἴδατε, οἴδατε ὅτι τοῦ Θεοῦ υἱός εἰμι. ὃ γὰρ, πόθεν εἰμί, τοῦτον ἐν τούτοις φησί. καὶ δῆλον ὅτι τῆς ἐπαγωγῆς. καὶ ἀπ' ἐμαυτοῦ οὐκ ἐλήλυθα, ἀλλ' ἔστιν ἀληθὴς ὁ πέμψας με, ὃν ὑμεῖς οὐκ οἴδατε· ἀγνοιαν ἐνταῦθα λέγων, τὴν διὰ τὰ ἔργα. [καθὼς Παῦλός φησι, Θεὸν ὁμολογοῦσιν εἰδέναι, τοῖς δὲ ἔργοις ἀρνοῦνται.] οὐδὲ γὰρ ἀγνοίας ἐνταῦθα τὸ ἁμάρτημα, ἀλλὰ κακίας καὶ πονηρᾶς γνώμης, ὅτι καὶ τοῦτο εἰδότες, ἀγνοεῖν βούλονται. πλὴν ποία ἀκηλιδώτα ταῦτα; πῶς γὰρ ἐλέγχων ἀκούσεις, τὰ αὐτῷ φθέγγεται; εἰπόντων γὰρ ἐκείνων, τοῦτον δὲ οἴδαμεν πόθεν ἐστίν, ἐπήγαγε, καὶ ἐμὲ οἴδατε. τί γὰρ εἶπον ἐκεῖνοι; ὅτι οὐκ οἴδαμεν; καὶ ἀκούσεις μὴ οὖν τοῦτο ἔλεγον, ὅτι οἴδαμεν. ἀλλ' ἐκεῖνοι μὲν δὴ, οἴδαμεν πόθεν ἐστὶ λέγοντες, οὐδὲν ἄλλο ἐνέφαινον, ἀλλ' ἢ ὅτι οὐκ ἐκ τῆς γῆς ἐστι, καὶ ὅτι τοῦ τέκτονός ἐστιν υἱός· αὐτὸς δὲ ἀκούσεις ἀνῆλθεν εἰς τὸν οὐρανόν, λέγων· οἴδατε πόθεν εἰμί, τουτέστιν, οὐκ ἐντεῦθεν ὅθεν νομίζετε, ἀλλ' ὅθεν ὁ πέμψας με. Τὸ γὰρ εἰπεῖν, ὅτι ἀπ' ἐμαυτοῦ οὐκ ἐλήλυθα, τοῦτο αἰνίττεται, ὅτι ᾔδεσαν ὅτι παρὰ τοῦ πατρὸς ἀπέσταλτο, εἰ καὶ μὴ ἐξεκάλυπτον. διπλῆν γοῦν αὐτοῖς ἐλέγχει. καὶ ἀόρατον μὲν ἀκατ' ἰδίαν ἐλάλησεν, ταῦτα εἰς μέσον ἤγαγε κράζων, ὥστε αὐτοὺς συνεῖναι· ἔπειτα καὶ τὰ κατ' ἰδίαν ἀνοιγόμενα ἐξεκάλυπτεν· ὡσανεὶ ἔλεγε, οὐκ εἰμὶ τῶν ἀπερριμμένων, οὐδὲ τῶν ἁπλῶς ἐλθόντων· ἀλλ' ἔστιν ἀληθὴς ὁ πέμψας με, ὃν ὑμεῖς οὐκ οἴδατε. Τί ὅτιν, ἀληθὴς ὁ πέμψας με; εἰ ἀληθὴς ὅστις, ἐπ' ἀληθείᾳ ἔπεμψεν· εἰ ἀληθὴς ὅστι, καὶ ἀπεσταλμένον εἰκὸς ἀληθῆ εἶναι. ἕτερος δὲ τοῦτο καπασκευάζει, ἀπὸ τῶν οἰκείων αὐτοὺς χειρούμενος λόγων. ὅπερ γὰρ ἔλεγον· ὁ Χριστὸς ὅταν ἔρχηται, οὐδεὶς γινώσκει πόθεν

θεν ἐστί, δείκνυσι δὲ ἐντεῦθεν ἑαυτὸν εἰ τὸν Χριστόν. δὲ γὰρ ἐκεῖνοι τὸ, σαφὲς γινώσκει, πρὸς αὐτὸν διαφερόντως ἐπιτηδείως τινὸς ἔλεγεν διαφερισμοῦ, δὲ ἐντεῦθεν δείκνυσιν ἑαυτὸν ὄντα τὸν Χριστόν, ὅτι πρὸ τοῦ παθεῖν ἦλθε, καὶ πανταχοῦ τὴν γνῶσιν ἑαυτοῦ μάρτυρα μόνῳ τῷ πατρὶ λέγων· οὐχ ὅτι τὸν πατέρα μᾶλλον εὐηρέστηκεν, εἰ μὴ ὁ ὢν πρὸ τοῦ πατρός. καὶ πρὸ ὤξυνεν αὐτῶν τὰ λεχθέντα. τὸ γὰρ εἰπεῖν, ὅτι οὐκ οἴδατε αὐτόν, καὶ τὸ ἐλέγξαι ὅτι εἰδότες προσποιοῦνται ἄγνοιαν, ἱκανὸν διακεῖν καὶ καθάψασθαι.

30 Ἐζήτουν οὖν αὐτὸν πιάσαι, καὶ οὐδεὶς ἐπέβαλεν ἐπ' αὐτὸν τὴν χεῖρα, ὅτι οὔπω ἐληλύθει ἡ ὥρα αὐτοῦ. Ὁρᾷς αὖθις ἀορίστως κατεχομένους, καὶ τὸν θυμὸν αὐτῶν χαλινούμενον; Διὰ τί δὲ μὴ εἶπεν, ὅτι κατεῖχεν αὖθις ἀορίστως, ἀλλ' ὅτι οὔπω ἐληλύθει ἡ ὥρα αὐτοῦ; δυσθεραπευτότερον ἠθέλησθη φθέγξασθαι καὶ παρρησιαστότερον ὁ εὐαγγελιστὴς, ὥστε αὐτὸν καὶ δυσθεράπευτον ἐποπτεύθηναι. ὅπερ γὰρ πανταχοῦ ὑψηλὰ λέγει, τοῦτο ἕνεκεν τούτων πανταπείρει. ὅταν γὰρ λέγῃ, ὅτι πρὸς αὐτόν εἰμι, οὐχ ὡς προφήτης μανθάνων λέγει, ἀλλ' ὡς ὁρῶν αὐτὸν καὶ μετ' αὐτὸν ὤν.

29 Οἶδα γὰρ αὐτὸν, φησὶν, ὅτι ἐγὼ πρὸς αὐτόν εἰμι. Ὁρᾷς πῶς ἄνω δὲ κάτω καταστιβάζει ὃ, ἀπ' ἐμαυτοῦ οὐκ ἐλήλυθα, καὶ ὁ πέμψας με ἀληθής ἐστι, πρὸς σκῶλον μαχόμενος, τὸ μὴ νομισθῆναι ἀλλότριον τοῦ Θεοῦ; καὶ σκόπει πόσον τῆς ταπεινότητος τῶν ῥημάτων τὸ κέρδος. μετὰ γὰρ ταῦτα πολλοί, φησὶν, ἔλεγον·

31 Ὁ Χριστὸς ὅταν ἔλθῃ, μὴ πλείονα σημεῖα ποιήσει ὧν οὗτος ἐποίησε; Πόσα σημεῖα; καὶ μοι τεῖα λοιπὰ σημεῖα, τὸ τοῦ οἴνου, καὶ τὸ τοῦ ἀναλυτικοῦ, καὶ τὸ τοῦ υἱοῦ τοῦ βασιλικοῦ· καὶ οὐδὲν διηγήσαντο πλέον ὁ εὐαγγελιστής. ὅθεν δῆλον, ὅτι πολλάκις εἶπον, ὅτι τὰ πολλὰ παρεσχέτο, καὶ ἐκεῖθεν τούτων ἡμῖν διαλέγεται), ὑπὲρ ὧν οἱ ἀρχόντες συνεκούργων. ἐζήτουν δὲν αὐτὸν πιάσαι δὲ συλεῖν. τίνες; ἢ τὸ πλῆθος, ὃ τῆς ἀρχῆς ὂν ἐφιέμενον, οὐδὲ βασιλείας ἀλλοίας διωκόμενον· ἀλλὰ οἱ ἱερεῖς. οἱ γὰρ τὸ πλῆθος ἔλεγον· ὁ Χριστὸς ὅταν ἔλθῃ, μὴ πλείονα σημεῖα ποιήσει; πολλοῦ ἀλλ' οὐδὲ αὕτη λοιπὸν ἡ πίστις, ἀλλ' ὡς πλήθους χυδαίου. τὸ γὰρ λέγειν, ὅταν ἔλθῃ, ὑπὲρ σφόδρα πεπεισμένων λοιπὸν τοῦτον εἶναι τὸν Χριστόν. ἢ τοῦτο οὕτω ἐστὶν ἐνταῦθα, ἢ ὅτι τοῦ Σιωδρομεῖ ἐῤῥήθη πρὸς τοὺς ὄχλους. ὡς γὰρ τῶν ἀρχόντων ἄνω καὶ κάτω σαυδαζόντων δεῖξαι οὐκ ὄντα αὐτὸν οὗτος Χριστὸν, θῶμεν μηδὲ εἶναι αὐτὸν οὗτος Χριστόν· μὴ τοῦτο βελτίων ἔσται σκῶλος; ὅπερ ἀεὶ λέγω, ὅτι παχύτεροι, οὐκ ἀπὸ διδασκαλίας, οὐδὲ ἀπὸ δημηγορείας, ἀλλ' ἀπὸ σημείων σοφίζονται.

32 Ἠκουσαν φαρισαῖοι τοῦ ὄχλου γογγύζοντος, καὶ ἐπεμψαν ὑπηρέτας, ἵνα πιάσωσιν αὐτόν. Ὁρᾷς ὅτι τοῦ σαββάτου ἡ λύσις πρόφασις λοιπὸν ὁ ὃ μάλιστα αὖθις ἐδίωκεν, τοῦτο λοιπόν. ἐντεῦθα γὰρ οὐδὲν ἐζητοῦντες ἐγκαλεῖν, ὅτε τοῖς Ἰουδαίοις, ὅτε τοῖς περιτεμνομένοις, ἀλλὰ τὸν ὄχλον ἐβούλοντο πιάσαι αὐτόν· δὲ αὐτοὶ μὲν οὐκ ἐτόλμων, τὸν κίνδυνον ὑφορώμενοι· οὗτος δὲ μακόνοις ἀπέστελλον σκότους. ὢ τῆς τυραννίδος δὲ τῆς μανίας· μᾶλλον δὲ ὢ τῆς ἀνοίας. αὖθις πολλάκις ἐπιχειρήσαντες καὶ οὐκ ἰσχύσαντες, τοῖς ὑπηρέτας δὲ πρᾶγμα ἐπέτρεψαν, ἁπλῶς τὸν θυμὸν αὐτῶν διαναπαύοντες· καίτοι πολλὰ διελέχθη καὶ ἐν τῇ χαλυμβήθρᾳ, καὶ οὐδὲν τοιοῦτον ἐποίησαν, ἀλλ' ἐζήτησαν μὲν, οὐκ ἐπεχείρησαν δέ. ἐντεῦθα δὲ οὐκ ἔτι φέρουσι, τοῦ ὄχλου μέλλοντος αὐτοῖς προσέχειν. τί οὖν ὁ Χριστός;

33 Ἔτι μικρὸν χρόνον μεθ' ὑμῶν εἰμι. Διωλάμβος δὲ ὑπερημμένος καὶ φοβῶν τοὺς ἀκούοντας, ῥήματα φθέγγεται παπεινοφρονεστάτης γλώττης· ὡσανεὶ ἔλεγε, τί σαυδάζετέ με ἀνελεῖν καὶ διῶξαι; μικρὸν ἀναμείνατε χρόνον, καὶ οὐδὲ σαυδάζοντων με κατασχεῖν δυνήσομαι. εἶπα ἵνα μή τις θάνατον καινὸν νομίσῃ, ὃ ἐπὶ μικρὸν χρόνον μεθ' ὑμῶν ἐστιν (καὶ γὰρ τοῦτο ὑπώμοσαν) ἢ οὕτω τοῦτο μή τις νομίσῃ, καὶ ὅτι οὐδὲν ἀνήρηκε μετὰ τελευτὴν, ἐπάγει· 34 Καὶ ὅπου εἰμὶ ἐγὼ, ὑμεῖς οὐ δύνασθε ἐλθεῖν. Εἰ δὲ ἔμελλεν ἀναπομένειν τῷ θανάτῳ, ἐδύνατο ἀπελθεῖν.

ἀπελθεῖν. οὐκ ἐγγὺς πάντες ἀπιμεν. ὃ μὴ οὖν ἀφελέσθαι πλῆθος ἐπεκαμπτε τὰ λεχθέντα, ὃ γὰρ θρασύτερον ἐφόβει, ὃ δὲ φιλομαθέστερον ἀνέβυδεν ἑποίει πρὸς τὴν ἀκρόασιν, ὡς ὀλίγου λοιπὸν ὑπολαμπομένου χρόνου, καὶ οὐκ ἐνὸν ἀεὶ ταύτης ἀπολαύσαι τῆς διδασκαλίας. καὶ ὐκ εἶπεν ἁπλῶς, ἐν τῷ θανάτῳ εἰμι, ἀναλύσαι, ἀλλ' ὑμῶν εἰμι, τοῦτέστι, καὶν διώκητε, καὶν ἐλαύνητε, μικρὸν χρόνον ἔτι παύσομαι τὰ ὑπὲρ ὑμῶν οἰκονομῶν, καὶ τὰ πρὸς σωτηρίαν λέγων καὶ πράττων ὑμῖν. Καὶ ὑπάγω πρὸς Ⓦ πέμψαντά με. Φοβῆσαι τοῦτο ἐκέμνον ὡς εἰς ἀγωνίαν ἐμβαλὼν. καὶ γὰρ ὅτι ἐν χερσὶν αὐτοῦ καταστήσων δηλοῖ. ζητήσετε γάρ μέ, φησιν, καὶ μόνον οὐκ ἐπιλήσεσθε, ἀλλὰ καὶ ζητήσετέ με, καὶ οὐχ εὑρήσετε. καὶ πῶς ἐζήτησαν αὐτὸν Ⓐ Ἰουδαῖοι; λέγει ὁ Λουκᾶς, ὅτι ἐκόπτοντο γωνίαις ἐπ' αὐτῷ. εἰκὸς δὲ καὶ ἄλλως πολλοὺς καὶ θύειν, καὶ τῆς πόλεως ἀλισκομένης, μεμνῆσθαι τοῦ Χριστοῦ καὶ τὴν φωνὴν αὐτοῦ, καὶ τὴν παρρησίαν ζητεῖν τὴν αὐτοῦ. ταῦτα δὴ πάντα ἐπῆγεν, βουλόμενος αὐτοὺς ἐφελκύσασθαι. καὶ γὰρ τὸ μικρὸν χρόνον εἰ Ⓦ λειπόμενον, καὶ τὸ μὴ τὴν αἰσχρὰν ποθὲν ἐστεῦθαι, καὶ τὸ μὴ δυνάσθαι λοιπὸν αὐτοὺν θύειν, ἱκανὰ πάντα πεῖσαι προσελθεῖν. εἰ μὲν γὰρ μὴ ἔμελλε παθεῖν εἰ ἡ παρρησία, οὐδὲν μέγα αὐτοῖς ἐδόκει λέγειν. πάλιν δέ, εἰ ἔμελλε παθεῖν εἰ, δυνατὸν ἦν καὶ θύειν, δεῖ ἂν οὕτως αὐτοὺς ἐτρύφησε. πάλιν, εἰ πολὺν ἔμελλε χρόνον παρεῖναι, καὶ οὕτως ὕπνοι ἂν ἐκράτουντο. νῦν δὲ πρώτον αὐτοὺς ζωπυρεῖ καὶ φοβεῖ. τὸ δὲ, ὑπάγω πρὸς Ⓦ πέμψαντά με, δεικνύοντος ὅτι οὐδεμίαν αὐτῷ γινομένην βλάβην ἀπὸ τῆς βουλῆς τῆς αὐτῶν, καὶ τὰ πάντα ἑκούσιον. δύο τοίνυν προεῖπε προρρήσεις, ὅτι μὴ μικρὸν ἀπελεύσεται χρόνον, καὶ ὅτι οὐχ ἥξουσι πρὸς αὐτόν· ὅπερ οὐκ ἦν ἀνθρωπίνης δυνάμεως, τῷ ἑαυτοῦ τελευτῷ πρεσεῖπεῖν. ὅρα γοῦν καὶ τὸν Δαβὶδ λέγοντα· γνώρισόν μοι, Κύριε, τὸ πέρας μου καὶ τὸν ἀριθμὸν τῶν ἡμερῶν μου τίς ἐστιν, ἵνα γνῶ τί ὑστερῶ ἐγώ· καὶ ὅλως ἀόριστός ἐστιν ὁ μαθὼν ὅτο. οὐκ ἦν δὲ ἑνὸς καὶ δύο ἕτερον πιστεῦσαι. ἐγὼ γὰρ οἶμαι καὶ πρὸς τοῦτο ὑπηρέτησε τοῦτο αἰνίττεσθαι, καὶ πρὸς αὐτοὺς τὸν λόγον ἀποτείνειν· ὧ μάλιστα αὐτοὺς ἐπεσπάσατο, δείξας ἑαυτὸν εἰδότα τῆς ἀφίξεως τὴν αἰτίαν· ὡσανεὶ ἔλεγε, πρὸ μικροῦ μὲν ἦν, καὶ ἀπελεύσομαι.

35 Ἔλεγον οὖν οἱ Ἰουδαῖοι πρὸς ἑαυτούς· ποῦ οὗτος μέλλει πορεύεσθαι; Καὶ μὴν οὐκ ἐπιθυμοῦμεν ἀπαλλαγῆναι, οὐ πάντα πεποιήκαμεν ὥστε μὴ βλέπειν αὐτὸν, οὐκ ἐγκλῶ τοῦτο ζητεῖν, ἀλλ' εἰπέ, ὅτι δὴ ἀσμενίζομεν, καὶ πότε γὰρ τοῦτο ἔσται; ἀλλ' ἔπαθόν τι πρὸς τὰ λεχθέντα, καὶ ζητοῦσι πρὸς ἑαυτοὺς ἀνοήτως ὑποπτεύοντες, ποῦ μέλλει πορεύεσθαι;

Μὴ εἰς τὴν Διασπορὰν τῶν ἑλλήνων; Τί ὅτι, διασπορὰν τῶν ἑλλήνων; ὥτω τὰ ἔθνη ἐκάλουν Ⓐ Ἰουδαῖοι, διὰ τὸ πανταχοῦ διεσπάρθαι, καὶ ἀδεῶς ἀλλήλοις ὑπομίγνυσθαι. τοῦτο γὰρ καὶ αὐτοῖς λοιπὸν τὸ ὄνειδος ὑπέμενεν. διασπορὰ γὰρ ἦν καὶ αὐτοῖ. τὸ γὰρ παλαιὸν, ἅπαν τὸ ἔθνος εἰς ἓν συνείλεκτο, καὶ οὐκ ἦν ἀλλαχοῦ Ἰουδαῖον οὐδὲν, ἀλλ' ἢ ἐν Παλαιστίνῃ μόνῃ. πρὸς δὴ τοῦτο διασπορὰν τῶν ἑλλήνων ἐκάλουν, ἐνδιάζοντες καὶ μεγαλαυχοῦντες ἐφ' ἑαυτοῖς. τί οὖν ἐστιν, ὅπου ἐγὼ ὑπάγω, ὑμεῖς οὐ δυνάσθε ἐλθεῖν; ἐκείνοις γὰρ πάντες ἐπεμίγνυντο τότε, καὶ πανταχοῦ τῆς οἰκουμένης ἦσαν Ἰουδαῖοι. οὐκ ἀν οὖν, εἰ τοὺς ἕλληνας ἐδήλου, εἶπεν, ὅπου οὐ δυνάσθε ἐλθεῖν. εἰπόντες δὲ, μὴ εἰς τὴν διασπορὰν τῶν ἑλλήνων μέλλει πορεύεσθαι; οὐκ εἶπον καὶ λυμαίνεσθαι αὐτοὺς, ἀλλὰ διδάσκειν. ὅτως ἤδη καθυφῆκεν τὴν ὀργῆς, καὶ τοῖς λεχθεῖσιν ὑπίστευσαν. οὐκ ἂν γὰρ, εἰ μὴ ὑπίστευσαν, ἐζήτησαν πρὸς ἑαυτοὺς τίς ἐστιν ὁ λόγος.

ΗΘΙΚΟΝ Ἀλλὰ ταῦτα μὲν εἴρηται πρὸς ἐκείνους· δέος δὲ μὴ καὶ πρὸς ἡμᾶς καιρὸν ἔχῃ τὰ λεχθέντα, ὅπου ὅπου ἐστὶν, οὐ δυνάμεθα ἀπελθεῖν διὰ τὸν βίον ἡμῶν τὸν ἁμαρτημένον. Ioan. 13. 33. πρὸς μὲν γὰρ τοὺς μαθητὰς φησι, Θέλω ἵνα ὅπου εἰμὶ ἐγὼ, κἀκεῖνοι ὦσι μετ' ἐμοῦ· πρὸς δὲ ἡμᾶς δέδοικα μὴ τοὐναντίον λεχθῇ, ὅπου ὅπου εἰμὶ ἐγὼ, οὐ δυνάσθε ἐλθεῖν. ὅταν γὰρ τὰ ἐναντία

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀνάντια τῶν παρόντα μηχανωμένων, πῶς δυνησόμεθα ἀπελθεῖν ἐκεῖ; καὶ γὰρ καὶ τὸν παρόντα βίον, εἴ τις τῶν τραπεζομένων ἀνάξια παρέποι τὰ βασιλέως, οὐ δυνήσεται τὴν βασιλέα ἰδεῖν, ἀλλά, τῆς ἀρχῆς παραλυθείσης, τιμὴ ἐφάπαξ ἀποστήσεται κόλασιν. ὅταν οὖν ἁρπάζωμεν, πλεονεκτῶμεν· ὅταν ἀδικῶμεν, πλήττωμεν· ὅταν μὴ ἐλεημοσύνῃ ἐργαζώμεθα, καὶ δυνησόμεθα ἀπελθεῖν ἐκεῖσε, ἀλλὰ καὶ πεισόμεθα ὁ γέγονε ταῖς παρθένοις. ὅπου γὰρ ἐκεῖ, οὐκ ἐδυνήθησαν εἰσελθεῖν, ἀλλ' ἀνεχώρησαν σβεσθεισῶν αὐτῶν τῶν λαμπάδων· τουτέστι, τοῦ χαρίσματος αὐτὰς καταλιπόντος. τιμὴ γὰρ φλόγα ἐκείνῃ, ἣν θύραθεν ἐναύξαμεν τῇ τοῦ πνεύματος χάριτι, ἂν μὴ βουλώμεθα, σφοδροτέραν ἐργασόμεθα· ἂν δὲ μὴ βουλώμεθα, ταχέως αὐτὴν ἀπολέσομεν. σβεσθείσης δὲ ἐκείνης, οὐδὲν ἕτερον, ἀλλ' ἢ σκότος ἐν ταῖς ἡμετέραις ἔσαι ψυχαῖς. ὥσπερ γὰρ καμούσης τῆς λαμπάδος πολὺ τὸ φῶς· οὕτω σβεσθείσης οὐδὲν ἕτερον, ἀλλ' ἢ γνόφος ἔσαι. διὸ φησι, τὸ πνεῦμα μὴ σβέννυτε· σβέννυται δ', ὅταν ἔλαιον μὴ ἔχῃ, ὅταν αὐτὸ μᾶλλον σφοδροτέρας ἐμβολὴ λήπται, ὅταν ζωπυρῆται καὶ γενοχωρῆται (καὶ γὰρ οὕτω σβέννυ) πῦρ) ζωπυρεῖ) δ' ἐκ τοῦ φερνιδίου βιωτικοῦ, καὶ σβέννυ) ἐκ τοῦ ἐπιθυμίας πονηρᾶς. οὐδὲν δ' αὐτὴν ποιεῖς τοῖς εἰρηνικοῖς οὕτω σβέννυσιν, ὡς ἀπόνοια, θεσπία καὶ ὠμότης καὶ ἀφροσύνη. ὅταν γὰρ ποιῇς τὴν ἔλαιον μὴ ἔχειν δ' ὕδωρ ἐπεμβάλωμεν ψυχρόν (τοῦτο γάρ ἐστιν ἡ πλεονεξία, ἀποψύχουσα μᾶλλον τῆς ἀδικουμένων τὰς ψυχάς) πόθεν δυνήσεται ἀναφθῆναι λοιπόν; ἀπελθησόμεθα τοίνυν τέφραν τε καὶ κόνιν φέροντες δ' πολὺν ἔχοντες καπνὸν κατηφεστῶτα ἡμῶν, ὅτι λαμπάδας ἔχοντες ἀπεσβέσαμεν. ἔνθα γὰρ καπνός, ἀνάγκη πῦρ εἶ) δ' σβεσθέν. ἀλλὰ μὴ γένοιτο ἡμᾶς τῶν ἀκούσαντος τῆς φωνῆς τῆς, οὐκ οἶδα ὑμᾶς. πόθεν δ' τοῦτον ἐστιν ἀκοῦσαι τῆς φωνῆς, ἢ ὅταν πέντε ἰδόντες, ὡς οὐκ ἰδόντες αὐτὸν προσκεώμεθα; ὅταν ἡμᾶς ἀγνοήσῃ τὸν πεινῶντα Χριστόν, ἀγνοήσει ἡμᾶς καὶ αὐτὸς ἐλέους δεομένους. δ διδάσκαλος. ὁ γὰρ παιδιόθεν τὸν θλιβόμενον, καὶ μὴ δοὺς ὃν τῶν αὐτοῦ, πῶς ζητήσει λαβεῖν ὃν τῶν αὐτοῦ; διὸ, παρακαλῶ, πάντα ποιῶμεν καὶ πραγματευώμεθα, ὥστε μὴ ἐκλιπεῖν ἡμᾶς τὸ ἔλαιον, ἀλλὰ κομίσαντας τὰς λαμπάδας, δ εἰσελθεῖν τοῦ νυμφίου εἰς τὸν νυμφῶνα· οὗ γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ δ μεθ' ἁγίου πνεύματος, νῦν δ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ομιλ. να. 37 ΕΝ ΔΕ ΤΗ ΕΣΧΑΤΗ ΗΜΕΡΑ ΤΗ ΜΕΓΑΛΗ τῇ ἑορτῇ, εἰστήκει ὁ Ἰησοῦς, καὶ ἔκραζε λέγων· ἐάν τις διψᾷ, ἐρχέσθω πρὸς μέ, δ πινέτω. 38 Ὁ πιστεύων εἰς ἐμέ, καθὼς εἶπεν ἡ γραφή, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος.

Οἷς πρέπον ἐστὶ θείῳ κηρύγματι καὶ τῇ πίστει προσέχοντας, τὸν τῶν διψώντων ἔρωτα ἐπιδείκνυσθαι χρή, καὶ τοσαύτην ἀνάπτειν ἐπιθυμίαν ἐν ἑαυτοῖς. οὕτω γὰρ δυνήσονται καὶ τὰ λεγόμενα μετὰ πολλῆς καταλαβεῖν τῆς φυλακῆς. καὶ γὰρ οἱ διψῶντες, ἐπειδὰν κύλικα λάβωσι, μετὰ πολλῆς αὐτὴν ἔλκουσι τῆς προθυμίας, καὶ τότε διαναπαύονται. οὕτω τοίνυν καὶ οἱ τῶν θείων ἀκούοντες λογίων, εἰ διψῶντες προσλάβοιεν, ἐπιδόσεις καμοῦσι), ἕως ἂν ἐκπίωσιν. ὅπερ γὰρ ἀεὶ χρὴ διψᾶν καὶ πεινᾶν, Μακάριοί, φησιν, οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην. δ σὺν τούτοις φησὶν ὁ Χριστός· εἴ τις διψᾷ, ἐρχέσθω πρὸς μὲ καὶ πινέτω. Ματθ. ε. ς.
ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ἐπιθυμείτω καὶ βιαζέσθω μᾶλλον· ἀλλ' εἴ τις ἔχει προθυμίαν πολλὴν, εἴ τις σπουδάζεται τοῦτο τὸ πάθος, τοῦτον ἐγὼ καλῶ. Διὰ τί δ' ἕνεκεν ἐπεσημήνατο ὁ εὐαγγελιστὴς, ὅτι ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ τῇ μεγάλῃ; καὶ γὰρ καὶ ἡ πρώτη καὶ ἡ τελευταία, μεγάλη ἦν.

Καὶ

ἀλλὰ μᾶλλον εἰς πυφλωσιν ἀπήλισκεν. Διὸς οὖν ἔνεκεν ἐν τῇ ἑβδόμῃ ἡμέρᾳ λέγει, ὅτι ἐν αὐτῇ πάντες ἦσαν συγκεχρωτημένοι. τῇ μὲν γὰρ προτέρᾳ ἡ πρᾶξις ἦν, καὶ τὸν αἰτίαν εἶπε παρὸς τοῦτο ἀδελφός. ἀλλ' οὐδὲ ἐν τῇ δευτέρᾳ καὶ τρίτῃ τοιοῦτον λέγει, ὥστε μὴ ἐκλυθῆναι τὰ λεγόμενα, μελλόντων αὐτῶν εἰς πυφλωσιν ἔσεσθαι. τῇ δὲ ἑβδόμῃ, ὅτε ἀνεχώρησαν οἱ Ἰουδαῖοι, ἐφόδια αὐτοῖς δίδωσι πρὸς σωτηρίαν, καὶ κράζει, τοῦτο μὲν τὴν παρρησίαν αὐτῶν ἐμφαίνων· τοῦτο δὲ δηλῶν τὸν πολιτῶν ὄχλον. καὶ δηλοῖ ὅτι πρὸ τοῦ νοητοῦ διελέγετο πόματος, ἐπάγει· ὁ πιστεύων εἰς ἐμέ, καθὼς εἶπεν ἡ γραφή, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος. κοιλίαν Ψαλ. λθ. ιε. ἐνταῦθα τὴν καρδίαν φησὶ, καθάπερ καὶ ἀλλαχοῦ φησι· Καὶ τὸν νόμον σου ἐν μέσῳ τῆς κοιλίας μου. καὶ ποῦ εἶπεν ἡ γραφή, ὅτι ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος; ὕδατος δὲ τί ἐστιν, ὁ πιστεύων εἰς ἐμὲ καθὼς εἶπεν ἡ γραφή; ἐνταῦθα ἐπιστῆσαι δεῖ, ἵνα ἡ ὃ, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσι, τῆς αὐτοῦ ἀποφάσεως. ὅπερ γὰρ ἔλεγεν πολλοί, οὗτός ἐστιν ὁ Χριστός· καὶ, ὁ Χριστὸς ὅταν ἔλθῃ, μὴ πλείονα σημεῖα ποιήσει; δείκνυσιν, ὅτι διορθωθῆναι δεῖ τὴν γνώσιν ἔχειν, ἐκ τῶν σημείων οὕτως, ὡς ἀπὸ τῶν γραφῶν πιστεύεσθαι. πολλοὶ γοῦν αὐτὸν καὶ θαυματουργοῦντα ἰδόντες, οὐχ ὡς Χριστὸν ἐδέχοντο· ἔμελλον δὲ λέγειν, ὅτι οὐχὶ αἱ γραφαὶ λέγουσιν, ὅτι ὁ Χριστὸς ἀπὸ τοῦ σπέρματος τοῦ Δαβὶδ ἔρχεται; καὶ ταῦτα μάλα ἐκ κάτω ἔστρεφον. δεῖξαι τοίνυν βουλόμενος, ὅτι οὐ φθάνει τὰ δηλούμενα τούτων ἀπόδειξιν, πάλιν αὐτοὺς εἰς τὰς γραφὰς παραπέμπει. καὶ γὰρ αὖθις ἔλεγεν, ἐρευνᾶτε τὰς γραφάς· καὶ πάλιν, Ἔστι γεγραμμένον ἐν τοῖς προφήταις, καὶ ἔσονται πάντες διδακτοὶ Θεοῦ· ἐκ, Μωϋσῆς ὑμῖν κατηγορῇ· καὶ ἐνταῦθα, καθὼς εἶπεν ἡ γραφή, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσι, τὸ δαψιλὲς καὶ ἄφθονον τῆς χορηγίας αἰνιττόμενος· ὅταν γὰρ ἅλλομαί φησι, πηγὴ ὕδατος ἁλλομένου εἰς ζωὴν αἰώνιον, τουτέστι, πολλὴν ἔξει χορηγίαν. ἁλλόμενον δὲ οὕτω ζωὴν αἰώνιον λέγει· ἐνταῦθα δὲ, ὕδωρ ζῶν. ζῶν δὲ λέγει, ὃ ἐνεργεῖ ἀεί. ἡ γὰρ τοῦ πνεύματος χάρις, ἐπειδὴ εἰς ἀρχὴν εἰσέλθῃ καὶ "ἱδρυθῇ, πάσης πηγῆς μᾶλλον ἀναβλύζει, καὶ ἀρχαιοτέρα ἐστὶ καὶ ἐξ ἴσου). ὁμοῦ τοίνυν καὶ τὸ ἀνελλιπὲς τῆς χορηγίας δηλοῖ, καὶ τὸ ἄφατον τῆς ἐνεργείας, πηγὴν καὶ ποταμοὺς ἐκάλεσεν· οὐχ ἕνα ποταμόν, ἀλλὰ ἀφάτους· καὶ ἐκεῖ δέ, τὴν πλημμύραν ἀρχὴ τοῦ ἅλλεσθαι παρέ- Ιωαν. β. ιδ. σησε. καὶ ἴδοι τις ἂν τὸ λεγόμενον σαφῶς, εἰ τὴν σοφίαν τοῦ Στεφάνου, εἰ τὴν Πέτρου γλῶτταν, καὶ τὴν Παύλου ῥώμην ἐννοήσειε, πῶς οὐδὲν αὐτοῦ ἔφερεν, οὐδὲν ὑφίστατο, οὐ δήμων θυμούς, οὐ τυράννων ἐπαναστάσεις, οὐ δαιμόνων ἐνέδρας, οὐ θάνατοι καθημερινοί· ἀλλ' ὥσπερ ποταμοὶ πολλῷ ῥοίζῳ φερόμενοι, οὕτω πάντα παρασύροντες ἀπῄεσαν. 39 Ταῦτα δὲ ἔλεγε περὶ τοῦ πνεύματος, φησὶν, ὃ ἔμελλον λαμβάνειν οἱ πιστεύοντες. οὔπω γὰρ ἦν πνεῦμα ἅγιον. Πῶς οὖν οἱ προφῆται προεφήτευον, καὶ τὰ μυρία ἐνήργησαν θαύματα; ἀπόστολοι μὲν γὰρ, οὐ πνεύματι ἐξέβαλον, ἀλλὰ τῇ παρ' αὐτοῦ ἐξουσίᾳ, ὡς αὐτὸς φησιν· Εἰ ἐγὼ ἐν Βεελζεβοὺλ ἐκβάλλω τὰ Ματθ. ιβ. κζ. δαιμόνια, οἱ υἱοὶ ὑμῶν ἐν τίνι ἐκβάλλουσι; ὅτε δὲ ἔλεγε, δηλονότι ὅτι οὐ πάντες πνεύματι ἐξέβαλον παρὰ τοῦ σωτῆρος, ἀλλὰ τῇ παρ' αὐτοῦ ἐξουσίᾳ. ὅτε γοῦν αὐτοὺς ἔμελλε πέμπειν, τότε ἔλεγε· λάβετε πνεῦμα ἅγιον· καὶ πάλιν· ἦλθεν ἐπ' αὐτοὺς πνεῦμα ἅγιον, καὶ τότε τὰ σημεῖα ἐποίουν· ὅτε δὲ ἔπεμπεν αὐτοὺς, οὐκ εἶπεν, ἔδωκεν αὐτοῖς πνεῦμα ἅγιον· ἀλλ' ἔδωκεν αὐτοῖς ἐξουσίαν, Ματθ. ι. η. λέγων, Λεπροὺς καθαρίζετε, δαιμόνια ἐκβάλλετε, νεκροὺς ἐγείρετε· δωρεὰν ἐλάβετε, δωρεὰν δότε. ὅπερ δὲ τῶν προφητῶν, οὐδὲ πάντων ὡμολόγηται, ὅτι πνεύματος ἁγίου δόσις ἦν· ἀλλ' ἕως αὐτοῦ ἡ χάρις συναλθοῦσα καὶ ἀποσᾶσα, καὶ ἀπὸ τῆς γῆς ἀπολιποῦσα, ἀπὸ τῆς ἡμέρας Μαλ. κγ. λη. ἐκείνης, ἀφ' ἧς ἐρρήθη, Ἀφίεται ὁ οἶκος ὑμῶν ἔρημος. καὶ τοσοῦτον ἐκείνης ἦν, ἀρχὴν ἐλάμβανεν αὐτοῦ ἡ παρουσία. οὐκέτι γὰρ προφήτης πρὸς αὐτοὺς ἦν, οὐδὲ ἐπιστηθύνειν αὐτῶν τὰ "ἄγια ἡ χάρις. ἐπεὶ οὖν ἀνέσαλτο μὲν τὸ πνεῦμα τὸ ἅγιον· ἔμελλε δὲ λοιπὸν ἐκχεῖσθαι δαψιλῶς, ταύτης δὲ τῆς ἀφθονίας ἀρχὴ μὲν οὐ τοσοῦτον ἐγίνετο, ἀλλὰ καὶ μειζόνων χαρισμάτων (καὶ γὰρ θαυματοποιὰ ἦν ἡ δωρεά, ὡς ὅταν λέγῃ· οὐκ οἴδατε ποίου πνεύματος

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πνεύματός ἐστε· καὶ πάλιν, οὐ γὰρ ἐλάβετε πνεῦμα δουλείας, ἀλλ' ἐλάβετε πνεῦμα υἱοθεσίας. καὶ γὰρ οἱ παλαιοὶ δι' αὐτοὶ μὲν πνεῦμα εἶχον, ἄλλοις δὲ οὐ παρῆν· οἱ δὲ ἀπόστολοι μυριάδας ἐνέπλησαν) ὅτε οὖν τοιοῦτόν ἐμοὶ λαμβάνειν τὴν χάριν, ὅπως δι' ἐμοῦ δοθεῖσα, δι' αὐτοῦτό φησιν· ὅπως γὰρ ἐμοὶ πνεῦμα ἅγιον. ἐπεὶ οὖν ὁ Κύριος περὶ ταύτης λέγει τῆς χάριτος, ὁ εὐαγγελιστὴς ἔλεγεν· ὅπω γὰρ ἐμοὶ πνεῦμα ἅγιον, τουτέστι, δοθέν, ἐπεὶ Ἰησοῦς οὐδέπω ἐδοξάσθη, δόξαν καλοῦν σαυτόν. ὅτε γὰρ ἐχθροὶ ἦμεν καὶ ἠμαρτηκότες καὶ ὑστερούμενοι τῆς δωρεᾶς τοῦ Θεοῦ, καὶ θεοσυγεῖς· ἡ δὲ χάρις καταλλαγῆς ἐμοὶ ἀπόδειξις· δῶρον δὲ τοῖς ἐχθροῖς, οὐδὲ τοῖς μισουμένοις, ἀλλὰ τοῖς φίλοις δίδοται καὶ τοῖς ὑπηρετικοῖς· ἔδει πρότερον πρόσωπον τὸν ἐμὸν ἡμῶν θυσίαν, καὶ τὸν ἐχθρὸν ἐμοὶ καταλυθῆναι, καὶ φιλεῖσθαι τοῦ Θεοῦ φίλους, καὶ τότε λαβεῖν τὸ δωρεάν. Εἰ γὰρ ὅτι τῆς ἐπαγγελίας τοῦτο γέγονε τὸ πρὸς Ρω. δ. ιδ.
Ἀβραάμ, πολλῷ μᾶλλον ὅτι τῆς χάριτος. καὶ τοῦτο δηλοῖ ὁ Παῦλος ἔλεγεν· Εἰ γὰρ οἱ ἐκ νόμου κληρονόμοι, κεκένωται ἡ πίστις· ὁ γὰρ νόμος ὀργὴν κατεργάζεται. ὃ δὴ λέγει τοιοῦτόν ἐστιν· ἐπηγγείλατο ὁ Θεὸς τῷ Ἀβραὰμ καὶ τῷ σπέρματι αὐτοῦ δώσειν τὸν κόσμον· ἀλλ' ἀνάξιοι ἦσαν τῆς ἐπαγγελίας οἱ ἔκγονοι, καὶ δι' οἰκείων οὐκ ἠδυήσαντο διαρρῆξαι πόνων. διὰ τοῦτο εἰσῆλθεν ἡ πίστις, παράγμα οὖσαν, ἵνα τὸν χάριν ἐπιδοθῇ), καὶ μὴ διαπέσωσιν αἱ ἐπαγγελίαι. καὶ λέγει· διὰ τοῦτο ἐκ πίστεως, ἵνα κατὰ χάριν, εἰς τὸ εἶναι) βεβαίαν τὴν ἐπαγγελίαν. διὰ τοῦτο κατὰ χάριν, ὅτι δι' ἔργων οὐκ ἴσχυσαν. τίνος οὖν ἕνεκεν εἰπών, κατὰ χάριν φησὶ, οὐκ ἐπαγαγὼν τὴν μαρτυρίαν; ὅτι διεφθαρμένη αὐτῶν ἡ γνώμη ἦν.

40 Οἱ μὲν οὖν ἔλεγον, οὗτός ἐστιν ὁ προφήτης·

41 Ἄλλοι δὲ ἔλεγον, ὅτι πλανᾷ τὸν ὄχλον· ἄλλοι δὲ ἔλεγον,

42 Οὐκ ἐκ τῆς Γαλιλαίας ἔρχεται ὁ Χριστός, ἀλλὰ ἀπὸ Βηθλεὲμ τῆς κώμης.

Ἄλλοι δὲ ἔλεγον, ὁ Χριστὸς ὅταν ἔρχηται, οὐδεὶς γινώσκει πόθεν ἐστί. καὶ διάφορος ἦν ἡ γνώμη, ἅτε ἐν πλάνῃ πεπερασμένῳ. οὐδὲ γὰρ ἀκριβῶς προσεῖχον τοῖς λεγομένοις, οὐδὲ τοῦ μαθεῖν ἕνεκεν. διὰ δὴ τοῦτο τούτοις μὲν οὐδὲν ἀποκρίνεται). καίτοι λέγουσι· μὴ ἐκ τῆς Γαλιλαίας ὁ Χριστὸς ἔρχεται; οὐ Ναθαναὴλ σοφρότερον εἰπόντα καὶ πλησιέστερον, ἐκ Ναζαρὲθ δύναταί τι ἀγαθὸν εἶναι), ἐπῄνεσεν ὡς ἀληθῶς Ἰσραηλίτην. ὅτοι μὲν γὰρ; καὶ οἱ προσῆλθον Νικοδήμου εἰπόντος, ἐρεύνησον καὶ ἴδε, ὅτι ἐκ τῆς Γαλιλαίας προφήτης οὐκ ἐγήγερται), ὡς μαθεῖν ζητοῦντες ἔλεγον, ἀλλ' ἁπλῶς διατρέψαι τὸν περὶ τοῦ Χριστοῦ δόξαν. ἐκεῖνος δὲ ἀληθείας ὢν ἐραστής, καὶ τὰ παλαιὰ ἀκριβῶς πρώτα ἐπισάμενος, τοῦτο ἔλεγεν, αὐτοὶ δὲ μόνον ἑώρων, ὃ διατρέψαι· ὅτι ὁ Χριστὸς ἦν. διόπερ αὐτοῖς οὐδὲν ἀπεκάλυπτεν. οἱ γὰρ καὶ ἑαυτοῖς ἐναντία λέγοντες, καὶ ποτὲ μὲν, οὐδεὶς γινώσκει πόθεν ἔρχεται· ποτὲ δὲ, ἀπὸ Βηθλεέμ, ἔδειλον ὅτι καὶ μαθόντες ἠναντιώθησαν. ἔτω γὰρ, τόπον ἠγνόουν, ὅτι ἀπὸ Βηθλεέμ, διὰ τὸν ἀναστροφὴν τὴν ἐν Ναζαρὲθ (καίτοι οὐδὲ τοῦτο συνεγώμιον εἶχεν· καὶ γὰρ ἐκεῖ ἐτέχθη) ἄρα δὲ ὁ γένος ἠγνόουν, ὅτι ἐξ οἴκου καὶ πατριᾶς Δαυίδ· πῶς οὖν ἔλεγον, οὐκ ἀπὸ τοῦ σπέρματος Δαυὶδ ἔρχεται ὁ Χριστός; ἀλλὰ καὶ τοῦτο ἐκείνῳ συσκιάσαι ἐβούλοντο, κακουργῶς ἅπαντα φερόμενοι. τίνος οὖν ἕνεκεν καὶ προσελθόντες εἶπον· ὅτι τὰ μὲν ἄλλα πάντα θαυμάζομεν, κελεύεις δέ σοι πείθεσθαι καὶ τὰς γραφάς, εἰπὲ πῶς αἱ μὲν γραφαὶ λέγουσιν, ὅτι ἀπὸ Βηθλεὲμ δεῖ Χριστὸν ἐλθεῖν, σὺ δὲ ἀπὸ τῆς Γαλιλαίας ἀφίξαι; ἀλλ' οὐδὲν τούτων εἶπον, ἀλλὰ πάντα πονηρῶς φθέγγονται). ὅθεν καὶ ὁ ζητοῦντες, ὁ δὲ μαθεῖν βουλόμενοι, οὐδέπω ἐπήκουσεν ὁ εὐαγγελιστής·

44 Ὅτι τινὲς ἤθελον πιάσαι αὐτὸν, καὶ οὐδεὶς ἐπέβαλεν ἐπ' αὐτὸν τὰς χεῖρας αὐτοῦ.

Εἰ γὰρ καὶ μηδὲν ἕτερον, τοῦτο γοῦν ἱκανὸν ἦν εἰς κατάνυξιν αὐτοὺς ἀγαγεῖν· ἀλλ' οὐ κατενύγησαν, καθὼς φησιν ὁ προφήτης· Διεφθάρησαν, καὶ οὐ κατενύγησαν· τοιοῦτον γὰρ ἡ πονηρία, οὐδενὶ βούλεται εἴκειν, προσὸς ἓν βλέπει μόνον, ὥστε τὸ ὑπεναντιούμενον ἀπελθεῖν. ἀλλὰ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

35 ἕως γὰρ ἐξὸ τὸ ἔργον αὐτὸν διεπράσαντο, ἕως αὐτὸ ἐσαύρωσαν, ὐκ εἶπε, Πορθθέντες μα- Ματθ.κη. ιθ.
θητεύσατε πάντα τὰ ἔθνη· ἀλλ', Εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε· ϗ, Οὐκ ἀπεςάλην, Εἰ μὴ Ματθ. ι.ε.
εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκυ Ισραήλ· ϗ, Οὐκ ἔςι καλὸν λαβεῖν τὸν ἄρτον τῶν τέ- Ματθ.ιε.κδ.
κνων, ϗ βαλεῖν τοῖς κυναρίοις. ὅπερ ℨ ἐμίσησαν αὐτὸν, ϗ ὕτως ἐμίσησαν ὡς ἀνελεῖν, πρεσ- Ματθ.ιθ.κς.
τὸν ἰῶ πρόσεδρεύειν ἐξακροωμένων ἐκείνων. ϗ γὰρ πρῳτήσαντο αὐτὸν λέγοντες· Οὐκ ἔχο- Ιωαν.ιθ.ιε.
μὲν βασιλέα, εἰ μὴ Καίσαρα. τότε δὴ λοιπὸν αὐτὸν ἀφῆκεν, ὅπερ αὐλοὶ ἀφῆκεν. ἐξὸ τῦτο Ματθ.κγ.λζ.
40 λέγϑ· Ποσάκις ἠθέλησα ὅπισωναγαγεῖν τὰ τέκνα ὑμῶν, ϗ ὐκ ἠθελήσατε; Τί ὅτιν, ὁ κόκ-
κος τῦ σίτυ ἐὰν μὴ πεσὼν ἀποθάνῃ; πρεὶ τῦ σαρξὸ λέγει. ἵνα γὰρ μὴ θορυβῶνται ἀνοῦν-
τες ὅτι, ὅτε ϗ ἕλλιμες πρόσηλθον, τότε ἀνῃρέθη, λέγει, αὐτὸ μὲ ὅῶν τὸ μαλιςα αὐτὸν ποιῆ
προσελθεῖν, καὶ αὐξήσει ὃ κήρυγμα ὃ ἐμόν. Εἶτα, ὅπερ ἀπὸ λόγων ὐχ ὅντως ἔπειθεν, ἀ-

πὸ

πὸ τῆς τῶν σπερμάτων πείρας αὐτὸ μεταδεύει λέγων, ἐπεὶ καὶ ἐν τῷ σίτῳ τοῦτο γίνεται· μᾶλλον φέρει καρπόν, ὅταν ἀποθάνῃ. Εἰ δὲ ἐν τοῖς σπέρμασι τοῦτο, πολλῷ μᾶλλον ἐν ἐμοί. Ἀλλ' οὐκ ἤδεσαν οἱ μαθηταὶ τὰ λεγόμενα. διὸ συνεχῶς αὐτὸ πάσχει ὁ βαπτιστής, ἀπολογούμενος ὑπὲρ τῆς μὴ τούτων φυγῆς. τοῦτον δὲ τὸν τρόπον τῆς ἀναστάσεως διαλεγόμενος ὁ Παῦλος τὸν λόγον ἐκίνησε. 5

ΗΘΙΚΟΝ Ποῖον οὖν ἔχουσιν ἀπολογίαν οἱ τῇ ἀναστάσει διαπιστοῦντες, ἐν τοῖς σπέρμασι τοῦ σώματος καθ' ἑκάστην μεταπαιδευόμενοι τὴν ἡμέραν, καὶ ἐν φυτοῖς, καὶ ἐπὶ τῆς ἡμέτερας γενέσεως; σαπρότερον γὰρ ἐξ ἀφθαρσίας τὸ σπέρμα, καὶ πότε γενέσθαι ἡμῖν. ὅλως δέ, ὅταν ὁ Θεὸς ἃ ποιῇ, λογισμῶν οὐκ ἔστι χρεία. πῶς γὰρ ἐξ οὐκ ὄντων ἡμᾶς ἐποίησε; ταῦτα πρὸς Χριστιανοὺς λέγω, τοὺς λέγοντας πείθεσθαι γραφάς. ἐγὼ δὲ καὶ ἕτερον ἐρῶ ἀπὸ λογισμῶν ἀνθρωπίνων. τῶν ἀνθρώπων οἱ μὲν ἐν κακίᾳ διαφθείρουσιν, οἱ δὲ ἐν ἀρετῇ. ἀλλὰ τῶν ἐν κακίᾳ διατριβόντων πολλοὶ εἰς ἑκατὸν γῆρας ἦλθον εὐπαθοῦντες· τῶν δὲ ἐν ἀρετῇ, καὶ ἀνωτέρω γενομένων. πότε οὖν τὰ κατ' ἀξίαν ἀπολήψεται ἕκαστος; ἐν ποίῳ καιρῷ; ναί, φησιν· ἀλλὰ σωμάτων οὐκ ἔστιν ἀνάστασις. οὐκ ἀκούουσι τοῦ Παύλου λέγοντος, Δεῖ τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν; καὶ πῶς ψυχῆς (οὐδὲ γὰρ φθείρεται ἡ ψυχή) ἡ ἀνάστασις ἢ τοῦ πεπλωκότος λέγεται· ἔπεσε δὲ τὸ σῶμα. Διατί δὲ ἢ καὶ βούλει ἀνάστασιν εἶναι σώματος; πότερον οὐ δυνατὸν τῷ Θεῷ; ἀλλὰ μὴν ἐξάπτης λόγου. ἀλλ' οὐ πρέπει; διατί δὲ πρέπει τὸ φθαρτὸν καὶ πόνοις καὶ θανάτοις κοινωνῆσαν, κοινωνῆσαι καὶ τῆς ἀφθαρσίας; εἰ γὰρ μὴ ἔπρεπεν, οὐδ' ἂν ἦλθε πρὸς τὴν ἀρχὴν ἐλθεῖν, οὐκ ἂν σάρκα αὐτὸς ἀνέλαβεν. ὅπερ καὶ ἀνέλαβε, καὶ αὐτὴν ἀνέστησεν, ἀκούσον τί φησι· Βάλε τὸν δακτύλους σου, καὶ ἴδε, ὅτι πνεῦμα ὀστᾶ καὶ νεῦρα οὐκ ἔχει. διατί δὲ τὸν Λάζαρον ἀνέστησεν, εἰ βέλτιον ἦν χωρὶς σώματος ἀναστῆναι; τί δὲ παίζει σημείου καὶ ἐνεργείας αὐτὸ ποιεῖ; τί δὲ ὅλως ἔδωκε θεραπείας; μὴ τοίνυν ἀπατᾶσθε πρὸς τῶν αἱρετικῶν, ἀγαπητοί. καὶ γὰρ ἀνάστασίς ἐστι, καὶ χρίσις ἔσται. ταῦτα δὲ ἀναιροῦσιν, ὅσοι μὴ βούλονται δοῦναι λόγον τῶν πεπραγμένων. καὶ γὰρ διὰ τοῦτο τὴν ἀνάστασιν τοιαύτην ἔδωκεν, οἵαν γέγονεν ἡ τοῦ Χριστοῦ. ἀπαρχὴ γὰρ ἐκείνου, καὶ πρωτότοκος ἐκ τῶν νεκρῶν. Εἰ δὲ ἀνάστασις τοῦτο ἐστι, ψυχῆς καθαρμὸς καὶ ἁμαρτιῶν ἀπαλλαγή, ὁ δὲ Χριστὸς οὐκ ἥμαρτε, πῶς ἀνέστη; πῶς ἡμᾶς τῆς κατάρας ἀπηλλάγημεν, εἴπερ καὶ αὐτὸς ἥμαρτε; πῶς δὲ λέγει, Ὅπερ ἔρχεται ὁ ἄρχων τοῦ κόσμου τούτου, καὶ ἐν ἐμοὶ οὐκ ἔχει οὐδέν; ταῦτα γὰρ τὸ ἀναμάρτητον δηλοῖ τὸ ἐκεῖνος. οὐκοῦν κατ' αὐτοὺς ἢ οὐκ ἀνέστη," ἢ ἵνα ἀναστῇ, ἥμαρτε πρὸ τῆς ἀναστάσεως. Ἀλλὰ καὶ ἀνέστη, καὶ ἁμαρτίαν οὐκ ἐποίησεν. οὐκοῦν ἀνέστη σώματι· καὶ ταῦτα δόγματα ταῦτα τῶν πονηρῶν οὐδέν ἕτερόν ἐστιν, ἀλλ' ἢ κενοδοξίας ἔκγονα. Φεύγωμεν τοίνυν τὸ τοιοῦτο νόσημα. Φθείρουσι γάρ, φησιν, ἤθη χρηστὰ ὁμιλίαι κακαί. οὐκ ἔστι ταῦτα ἀποστόλων διδάγματα. Μαρκίων ἐστὶ καὶ Οὐαλεντῖνος ὁ ταῦτα καινοτομήσας. Φεύγωμεν τοίνυν, ἀγαπητοί. οὐδὲν γὰρ ὄφελος βίου καθαροῦ, δογμάτων διεφθαρμένων· ὥσπερ οὖν οὐδὲ τοὐναντίον, δόγματος ὑγιοῦς, ἐὰν βίος ᾖ διεφθαρμένος. Ταῦτα ἔλλιπες ἔτεκεν, ταῦτα κενοὶ ἠύξησαν, ἀπὸ τῶν ἔξωθεν φιλοσόφων λαβόντες, καὶ τὴν ὕλην ἀγένητον λέγοντες, καὶ πολλὰ τοιαῦτα. ὥσπερ οὖν εἶπον, ὅτι οὐκ ἂν εἴη δημιουργός, μὴ ὑποκειμένης ὕλης ἀγενήτου· οὕτω καὶ τὴν ἀνάστασιν ἠθέτησαν. Ἀλλὰ μὴ προσέχωμεν, εἰδότες Θεοῦ δύναμιν" παντοκρατορικὴν μὴ προσέχωμεν. ὑμῖν λέγω ταῦτα. ἡμεῖς γὰρ τὸν τρόπον αὐτοὺς οὐ ζητήσομεν μάχιμον. ἀλλ' ὁ ἄοπλος καὶ γυμνός, καὶ εἰς ἀθενεῖς ἐμπέσῃ, καὶ ἰσχυρότερος ᾖ, ῥᾳδίως ἀλώσεται. Εἰ μὲν γὰρ γραφὰς προσείχετε, καὶ μὴ ἑκάστην ἑαυτοὺς ἡκονᾶτε τὴν ἡμέραν, οὐκ ἂν προῆνεσα τὸν τρόπον ἐκεῖνος φεύγειν μάχιμον, ἀλλὰ καὶ συμπλέκεσθαι συνεβούλευσα δή. Ἐπεὶ δὲ ἰσχυρὰ ἡ ἀλήθεια. ὅπλον δὲ χεῖρας αὐτὸν οὐκ οἴδε, διδοῦσα τὸν συμπλοκήν, μὴ λαβόντες ὑμᾶς ἄοπλους καταβάλωσιν. οὐδὲν γὰρ, οὐδὲν ἀσθενέστερον ἐκείνων τῶν τῆς τοῦ πνεύματος

βοηθείας

βοηθείας ἠρημωμένων. Εἰ δὲ τῇ ἔξωθεν κέχρεώ) σοφίᾳ, θαυμάζειν χρή, ἀλλὰ καταγελᾶν, ὅτι τοῖς μωροῖς κέχρεώ) διδασκάλοις. ὅτε γὰρ ἐδεῖ Θεοῦ, ὅτε δὲ ἐδεῖ κτίσεώς τι ὑμᾶς εὗρεν ἠδυνήθησαν σκῆνοι· ἀλλ' ἅπερ ἡ πρὸ ἡμῶν χρεία ἐπέτασται, ταῦτα Πυθαγόρας σαθρὰ ἦδει, ἀλλ' ἔλεγεν ὅτι θάμνος* καὶ ἰχθὺς καὶ κύων ΚΕΦ ἡ ψυχή. τούτοις οὖν, εἰπέ μοι, προσέχειν δεῖ; καὶ πῶς ἂν ἔτι λόγον; μεγάλοι εἰσὶν ἐν τῇ κώμῃ σκεῦνοι, καλοὶ βοσκύχοις πρέφουσι, καὶ πείθωνας ἀναβιβάλλωται· μέχρι τούτων ἀνδρῶν ἡ φιλοσοφία. ἀλλ' ὃ τὰ ἔνδοθεν ἴδῃς, πέφρα καὶ κόνις καὶ ὑγιὲς σαθρόν, ἀλλὰ τάφος ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν, πάντα ἀκαθαρσίας ἔχων γέμοντα καὶ ἰχῶρος, καὶ τὰ δόγματα πάντα σκωλήκων. ὁ γοῦν πρῶτος αὐτῶν ὃ ὕδωρ ἔφησεν ΚΕΦ) Θεοὶ, καὶ ὁ μετ' ἐκεῖνον ὃ πῦρ, ἄλλος τὸν ἀέρα, καὶ εἰς τὰ σώματα κατενεχθησαν. τούτοις οὖν, εἰπέ μοι, θαυμάζειν χρή, τοῖς σαθρὰ ἐννοίᾳ ἀσωμάτου λαβόντας Θεοῦ; Εἰ δέποτε καὶ ὕστερον ἔλαβον, ἀλλ' ὅτι συγενέσθαι ἐν Αἰγύπτῳ τοῖς ἡμετέροις. ἀλλ' ἵνα μὴ πολιὸν ὑμῖν ἐπάγωμεν βόρυβον, ἐκεῖθεν τὸν λόγον καταλύσωμεν. ἀν' ἐκεῖνα γὰρ ἀρξώμεθα τὰ ἐκείνων προπετέστατα δόγματα, καὶ τί μὲν πρὸς Θεοῦ, τί δὲ πρὸς ὕλης, τί δὲ πρὸς ψυχῆς, τί δὲ πρὸς σωμάτων εἶπον, πολὺς ἔψεται γέλως· καὶ σαθρὸν τῆς πρὸ ἡμῶν κατηγορίας δείσονται. αὐτοὶ γὰρ ἀλλήλοις ἔβαλον. ὁ μὲν καθ' ἡμῶν γράψας τὸν πρὸς τῆς ὕλης λόγον, ἑαυτὸν ἀνῄρει. διόπερ ἵνα μὴ ματαίως ὑμᾶς ἀποχολήσωμεν, καὶ λαβύρινθον λόγων ἀνελίσσωμεν, ταῦτα ἀφέντες, ἐκεῖθεν ἐρῶμεν, τῆς ἀκροάσεως τὸν θεῖον ἔχεσθαι γραφῶν, καὶ μή μοι λοιδορεῖν εἰς σαθρὸν δέον· ὁ μὲν Παῦλος πρὸς Τιμόθεον, καίτοι γε πολλῆς σοφίας ἐμπεπλησμένος, ἐπὶ τῷ ἀπὸ τῶν σημείων ἔχοντι δυνάμιν. πεισθῶμεν τοίνυν ἐκείνῳ, καὶ τὰς φλυαρίας ἀφέντες, τῶν ἔργων ἐχώμεθα, φιλαδελφίας λέγω καὶ φιλοξενίας· καὶ πολιὸν ποιησώμεθα τῆς ἐλεημοσύνης λόγον, ἵνα τῶν ἐπηγγελμένων τύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ν. μθ' ἐ πλ. ποιεῖ ἡ δ. ἄ- μετρ. ἀγ. π. νῶν καὶ εἰς τοὺς αἰ. τ' αἰ. Ἀμήν.

25 Ομιλ. ξς. 25 Ο ΦΙΛΩΝ ΤΗΝ ΨΥΧΗΝ ΑΥΤΟΥ ΑΠΟΛΕ- σει αὐτήν· ὁ δὲ μισῶν τὴν ψυχὴν αὐτοῦ ἐν τῷ κόσμῳ τούτῳ, εἰς ζωὴν αἰώνιον φυλάξει αὐτήν. 26 Ἐὰν ἐμοί τις διακονῇ, ἐμοὶ ἀκολουθείτω·

ΛΥκᾶς ὁ πρῶτον βίος, καὶ πολλῆς γέμων ἡδονῆς· ἀλλ' οὐχ ἅπασιν, ἀλλὰ τοῖς προσπλωθήσοις αὐτῷ. Εἰ δέ τις εἰς τὸν ἀγῶνα διαβλέψειε, καὶ τὰ ἐκεῖ ἴδοι καλά, ταχέως αὐτὸν καταφρονήσει, καὶ οὐδὲν ποιήσεται λόγον· ἐπεὶ καὶ κάλλος ὠμῆς, ἕως μὲν ἕτερον μὴ φάνηται λαμπρότερον, θαυμάζεται· ἐπειδὰν δὲ φανῇ τὸ κρεῖττον, καταφρονεῖται τὸ πρότερον. διὰ τοίνυν θελήσωμεν καὶ ἡμεῖς εἰς ἐκεῖνο τὸ κάλλος ἰδεῖν, καὶ τὴν ὑπαρέπειαν τὴν ἐκεῖ βασιλείας καταπεῖσαι, ταχέως ἑαυτοὺς τῶν δεσμῶν ἀπολύσωμεν τῶν πρόντων. δεσμὸς γάρ τίς ἐστιν ἡ πρὸς τὰ πρόντα συμπάθεια. καὶ εἰς ὕπνον ἡμᾶς ἐνάγων ὁ Χριστός, ἄκυσον τί φησιν· ὁ φιλῶν τὴν ψυχὴν αὐτοῦ ἀπολέσει αὐτήν· καὶ ὁ μισῶν τὴν ψυχὴν αὐτοῦ ἐν τῷ κόσμῳ τούτῳ, εἰς ζωὴν αἰώνιον φυλάξει αὐτήν. ὁ ἐμοὶ διακονῶν, ἐμοὶ ἀκολουθείτω. καὶ ὅπου εἰμὶ ἐγώ, ἐκεῖ καὶ ὁ διάκονος ὁ ἐμός. ἀμίγματι ἐοικέναι δοκεῖ τὰ λεγόμενα. ἀλλ' οὐκ ἔστιν, ἀλλὰ πολλῆς ἐμπέπλησαι σοφίας. καὶ πῶς ὁ φιλῶν τὴν ψυχὴν αὐτοῦ, ἀπολέσει αὐτήν; ὁ δὲ ἐπιθυμίας αὐτοῦ ποιῶν καὶ ἀπόπτως, ὁ χαριζόμενος αὐτῇ πρᾶγμά τι δεινόν. διὸ καὶ πρόσθεν τις λέγων, Μὴ πορεύου ἐν ταῖς ἐπιθυμίαις τῆς ψυχῆς σου. οὕτω γὰρ αὐτὴν ἀπολεῖς (τὸ γὰρ ὁδοῦ Ξηρ. ιη. λ. τῆς ἐπὶ τὴν ἀρετὴν ἀγούσης ἀπάγει) ὥσπερ οὖν ὁ ἀνάξιον ὁ μισῶν αὐτὴν ἐν τῷ κόσμῳ τούτῳ, σώσει αὐτήν. τί δέ ἐστιν, ὁ μισῶν αὐτήν; ὁ μὴ εἴκων αὐτῇ πάντα βλέποντα κελευούσῃ. καὶ οὐκ εἶπον;

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ϵ ι .ϵν, ὁ μὴ ϵἴκων αὐτῇ, ἀλλ' ὁ μισῶν αὐτὴν. καθάπερ γὰρ τὴν μισουμένων οὐδὲ φωνὴν ἀκοῦσαι ἡδϵῶμϵν, οὐδὲ ὄψιν ἰδϵῖν ἡδέως· ὅτω καὶ τὴν ψυχὴν, ὅταν ἐναντία ὑπολάβῃ τὴν τῶν Θϵῶν δοκούντων, μϵτ' σφοδρότητος ἀποστρέφϵται χρή. ὅπου γὰρ ὠδὶ θανάτου μέλλῃ λοιπὸν ἀκούϵιν ἀλλϵίως ἀμαλέγϵιν, θανάτου τὸ ἐναντίον, καὶ ὡσϵὶ δὴ κατηφοῦντα ϵἰ καταπίπτοντα, ὑπὸ δολίου ἐπιλαβόμϵνος λέγων, τί λέγϵ, ἐὰν μὴ ϖ ἐμὲ θάνατον ἀγναίως ἐνέγκητϵ; ἀλλὰ γὰρ ὑμϵῖς αὐτοὶ μὴ ἀποθάνητϵ, ὑμῖν ἐστιν κέρδος ὀδύνη. καὶ ὅρα πῶς ὡδαμοῦ φϵύγϵι ϖ λέγων. σφόδρα μὲν φορτικὸν καὶ ἐπαχθὲς τὸ ἀκοῦσαι ὅτι δϵῖ ἀποθανϵῖν φιλοψυχοῦντα μάλιστα· καὶ τί λέγω τὸ παλαιόν; ὅτϵ δϵ καὶ πολλοὶ οὐρήσομϵν ἡδέως πρὸ τοῦ θανϵῖν ἐπιθυμοῦμϵν, ὑπὲρ τοῦ τὸν πρόσθϵν καρπώσασθαι βίον, καὶ ταῦτα ὠδὶ τὴν μελλόντων πϵπιστϵυμένους· οἱ, ἐπειδὰν ἴδωσιν οἰκοδομήματα καὶ τϵχνήματα καὶ μηχανήματα, δακρύουσιν ὑπιλέγοντϵς· πόσα ἂν ἄνθρωπος μηχανᾶται, καὶ γῆς κόνις; ὅτω πολλὴ τῆς πρὸ ούσης ζωῆς ἡ ὑπϵρθυμία. ταῦτα τοίνυν ἀμαλεύων ὁ Χριστὸς ἵνα δϵσμά, φησὶν· ὁ μισῶν τὴν ψυχὴν αὐτοῦ ἐν τῷ κόσμῳ τούτῳ, ϵἰς ζωὴν αἰώνιον φυλάξϵι αὐτήν. ὅπου γὰρ ἐκϵίνοις ὡδαμοῦ ἔλϵγϵ, δϵ τὸ φόβον αὐτῶν καταλύων, ἄκυρον τὴν ἐξῆς· ὁ ἐμὲ διακονῶν, ἐμοὶ ἀκολουθϵίτω, ὠδὶ δὲ θανάτου λέγων, δϵ τὴν διὰ τῶν ἔργων ἀκολουθησιν ἀπαιτῶν. δϵῖ γὰρ πάντως τὸν διακονοῦντα τῷ διακονουμένῳ ἕπϵσθαι· δϵ σκῆψιν πότϵ αὐτοὺς ταῦτα διϵλϵγϵ)· οὐχ ὅτϵ ἐδιώκϵντο, ἀλλ' ὅτϵ ἐθαρρήσαν, ὅτϵ ἐνόμισαν ἐν ἀσφαλϵίᾳ ϵἶναι διὰ τὴν τῶν πολλῶν ὁμιλίαν καὶ θϵραπϵίαν· ὅτϵ καὶ διώκϵιν ἠδύναντο καὶ ἀκοῦσαι· καὶ ἀφϵὶς τὸν φανϵρὸν αὐτὸν, καὶ ἀκολουθϵίτω μοι τουτέστιν, ἀϵὶ ταῦτα πϵραινόμϵνος ἔσο, φησὶ, τοῖς κινδύνοις, τοῖς θανάτοις, τοῖς ἀποδημίαις τὴν ἀντιθϵσιν. ϵἶπα, ὅπου τὰ φορτικὰ ϵἶπϵ, καὶ ὃ ἔπαθϵν λέγϵι. ποῖον γὰρ τοῦτο ἴσως; ὃ αὐτὸν ἀκολουθῆσαι, καὶ ϵἶναι ἔξω ὄντα· δϵικνὺς ὅτι δυνάσϵται ϖ θάνατον καταδέξασθαι). Ὅπου γάρ ϵἰμί, φησὶν, ἐγὼ, ϵἰκῆ καὶ ὁ διάκονος ὁ ἐμός. Ποῦ δὲ ὁ Χριστός; ἐν οὐρανοῖς. καὶ ποῖ τῆς ἀναστάσϵως τοίνυν ὑπομϵταχωρῶμϵν τῇ ψυχῇ καὶ τῷ νῷ. Ἐὰν τις ἐμοὶ διακονῇ, ἀγαπήσϵι αὐτὸν ὁ πατήρ. Διὰ τί οὐκ ϵἶπϵν, ἐγώ; ὅπου οὐδϵπω τὴν ϖροσήκουσαν τιμὴν αὐτῷ δόξαν ϵἶχον, ἀλλὰ μϵίζονα τὴν παρὰ τοῦ παντός. ϕ γὰρ μηδὲ ὅπα ἀναπνϵῖν αὐτὸν ἐκϵλϵῦον ϵἰδότϵς, πῶς μϵγάλα τὴν αὐτοῦ ἐφαντάσθησαν; διὰ δὲ τοῦς υἱοῦς Ζϵβϵδαίου φησὶν, Οὐκ ἔστιν ἐμὸν δοῦναι, ἀλλ' οἷς ἡτοίμασται παρὰ τοῦ πατρός μου· καίτοιγϵ αὐτὸς ὢν ὁ κρίνων. ἐνταῦθα δὲ καὶ τὸ γνήσιον πϵρίϵστησιν. ὡς γὰρ γνησίου παιδὸς διακόνου, οὕτως ὁ πατὴρ ἀποδέξϵται.

27 Νῦν ἡ ψυχή μου τϵτάρακται. καὶ τί ϵἴπω; πάτϵρ, σῶσόν μϵ ἐκ τῆς ὥρας ταύτης.

Καὶ μὴν τοῦτο οὐκ ἔστι ϖϵρισκόμϵνον ὅτι ϖ θάνατον ἐλθϵῖν. μάλιστα μὲν οὖν ϖϵρισκόμϵνον. ἵνα γὰρ μὴ λέγωσιν, ὅτι αὐτὸς ἔζω τὴν ὠδίνων ὧν τὴν ἀνθρωπίνων, δικαίως ὠδὶ θανάτου φιλοσοφῇ, καὶ ἡμῖν δϵ ἀκινδύνου παραινῇ, δϵίκνυσιν ὅτι καὶ ἀγωνίαν αὐτὸν, ὁμοίως δὲ καὶ ϵὐχῆς μνήμην ὑπομϵίνϵται. ταῦτα γὰρ τῆς οἰκονομίας ἐστὶν, καὶ τῆς θϵότητος. διὰ τοῦτό φησι· νῦν ἡ ψυχή μου τϵτάρακται (ἐπὶ ϵἰ μὴ τοῦτο ἔστι, ποίαν ἀκολουθίαν ἔχϵι ὃ λϵγθὲν, καὶ τί ϵἰπεῖν, πάτϵρ, σῶσόν μϵ ἐκ τῆς ὥρας ταύτης;) καὶ ὅτω τϵτάρακται, ὡς δ' ἀπαλλαγῆναι ζητῶν, ϵἶγϵ οἰκεῖν διαφυγεῖν. ταῦτα τῆς ἀνθρωπίνης φύσϵως καὶ ἀσθενήματα. ἀλλ' οὐκ ἔγωγϵ ἐρῶ ϵἶπω, φησὶν, ἀπαλλαγῶ αὐτῶν. Διὰ γὰρ τοῦτο ἦλθον ϵἰς τὴν ὥραν ταύτην· Ὡσανεὶ ἔλϵγϵ, καὶν θορυβώμϵθα, καὶν ταραττώμϵθα, μὴ φύγωμϵν θάνατον· ἐπὶ καὶ γὼ νῦν ταραττόμϵνος, ὅ λέγω ὥστϵ φυγϵῖν. διὰ τί φέρϵ ὃ ὑπὸν ὅ λέγω, ἀπάλλαξόν με ἐκ τῆς ὥρας ταύτης· ἀλλὰ τί;

28 Πάτϵρ, δόξασόν σου τὸ ὄνομα. Καίτοι τῆς ταραχῆς τοῦτο δυναγαζούσης λέγϵιν, τὸ ἐναντίον λέγω, δόξασόν σου τὸ ὄνομα, τουτέστιν, ἄγαγϵ λοιπὸν ὑπὶ ϖ φανϵρόν· ὁ πολὺ δὲ μᾶλλον ἀνθρώπινον ὑποδϵίκνυται, καὶ τὴν φύσιν μὴ βουλομένου ἀποθανϵῖν, ἀλλὰ τῆς πρὸ ούσης μϵταχωρῆσαι ζωῆς· δϵικνὺς, ὅτι οὐκ ἔζω τὴν ἀνθρώπων παθῶν ἐγώ. ὥσπϵρ γὰρ τὸ πϵι-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νην ουκ ἔγκλημα, οὐδὲ τὸ καθεύδειν ὅπως δὲ τὴν πρόσις ζωῆς ἐφίεται, ὁ ὁ Χριστὸς σῶμα καθαρὸν ἁμαρτημάτων εἶχεν, οὐχὶ φυσικῶν ἀναγκῶν ἀπηλλαγμένον· ἐπεὶ οὐδ' ἂν σῶμα ἦν. Διὰ δὴ τούτων ἢ ἑτερόν τι ἐπαίδευσε. ποῖον δὴ τοῦτο; ἵνα, εἴ ποτε ἐν ἀγῶνι καταστήμεν ⁊ διωγμῶν, μηδὲ οὕτως ἀποπηδήσωμεν τῶν προκειμένων. πρῶ ὁ εἰπεῖν, πάτερ, δόξασόν σου τὸ ὄνομα, δείκνυσιν, ὅτι ὑπὲρ ἀληθείας ἀποθνήσκει, δόξαν εἰς Ⓦ Θεοῦ τὸ πρᾶγμα καλῶν· καὶ τοῦτο ζωὴ ἔφαινε μὴ Ⓦ φανερόν. ἔμελλεν ὑποστρέφειν ἡ οἰκουμένη, καὶ γνωρίζειν τὸ ὄνομα τοῦ Θεοῦ καὶ θεραπεύειν αὐτόν· καίτοι γε τὸ τοῦ πάθους μόνον, ἀλλὰ ⁊ τὸ τοῦ ἁγίου· ἀλλ' ὅμως τοῦτο σιγᾷ. Ἦλθεν οὖν φωνὴ ἐκ τῶν οὐρανῶν· καὶ ἐδόξασα, καὶ πάλιν δοξάσω. Πού ἐδόξασεν; ἐν τοῖς προφήταις λιπαροῦσι. καὶ πάλιν δοξάσω μὴ Ⓦ φανερόν. τί οὖν ὁ Χριστός;

30 Οὐ δι' ἐμὲ ἡ φωνὴ αὕτη γέγονεν, ἀλλὰ δι' ὑμᾶς. Εἰκῆ οἱ βροντὴν ἐνόμιζον εἶναι, ἢ ἄγγελον αὐτῷ λελαληκέναι. καὶ πόθεν τοῦτο ἐνόμισαν; μὴ γὰρ οὐχὶ πρὸ τοῦ καὶ ἡ θεῖος ἦν ἡ φωνή; ἀλλὰ βαρέως αὐτοῖς ἀπέπιπτε, διὰ τὸ παχυτέρων εἶναι καὶ σφριγώντων καὶ ῥαθύμων. καὶ Ⓐ μὴ Ⓦ ἦχον κατέχειν μόνον· Ⓐ ὅ, ὅτι μὴ ἐναρθρος ἦν ἡ φωνή, ἠγνόησαν· τί ὅ ἐσήμαινεν, οὐκ ἔγνω. τί οὖν ὁ Χριστός; οὐ δι' ἐμὲ ἡ φωνὴ αὕτη γέγονεν, ἀλλὰ δι' ὑμᾶς. Διὰ τί τοῦτο εἶπε; πρὸς ἐκεῖνο· ἐνιστάμενος ὁ ἔλεγεν ἀεί, ὅτι οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ. ὁ γὰρ νομίζων τοῦ Θεοῦ δοξάζεσθαι, πῶς οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ, ὃ τὸ ὄνομα δι' αὐτὸν δοξάζεται; Διὰ γὰρ τοῦτο ⁊ ἡ φωνὴ ἐγένετο. διὸ καὶ αὐτὸς φησιν, οὐ δι' ἐμὲ ἡ φωνὴ αὕτη γέγονεν, ἀλλὰ δι' ὑμᾶς· οὐχ ἵνα ἐγὼ μάθω τι ἀγνοῶν πρὸ αὐτῆς (πάντα γὰρ οἶδα τὰ τοῦ πατρός) ἀλλὰ δι' ὑμᾶς. ὅπερ γὰρ ἔλεγον, ὅτι ἄγγελος ἐλάλησεν αὐτῷ, ἢ βροντὴ γέγονε, καὶ οὐ προσεῖχον, φησίν· ὅπερ δι' ὑμᾶς ἐγένετο, ἵνα κἂν ὅπως σκάνδαλα πρὸς τὸ ἐρωτῆσαι τί τὸ λεχθέν. Ⓐ ὅ ἐπαισθόμενοι, οὐδὲ ὅπως ἐπύθοντο ἀκούσαντες, ὅτι ὠφελῆς ἕνεκεν τὸ πρᾶγμα. πρὶ γὰρ οὐκ εἰδότι προσῆλθε ὁ ἐλέγετο, εἰκότως οὐκ ἐδόκει ὠφέλιμος εἶναι ἡ φωνή. δι' ὑμᾶς ἡ φωνὴ γέγονεν. ὁρᾷς ὅτι καταπεινᾷ δι' αὐτοὺς ὁ λόγος, οὐχ ὡς τοῦ θεσμοθύτου βοηθείας;

31 Νῦν κρίσις ἐστὶ τοῦ κόσμου τούτου· νῦν ὁ ἄρχων τοῦ κόσμου τούτου κάτω βληθήσεται. Τοῦτο πόθεν ἀκολουθεῖ ἔχει προσῆλθε δὲ, ἐδόξασα καὶ δοξάσω; πολλῷ δὲ σφόδρα σωφρόνησαν. ὅπερ γὰρ εἶπε, δοξάσω, δείκνυσι καὶ Ⓦ ἔστιν τῆς δόξης. Τίς ὁ ἔστιν; ἐκεῖνος βληθήσεται κάτω, φησί. τί δέ ἐστι, κρίσις ἐστὶ τοῦ κόσμου τούτου; ὡσανεὶ ἔλεγε, δικαστήριον ἔστω καὶ ἐκδίκησις. πῶς καὶ ἵνα ἴδητε; ἀφλε Ⓦ προῆτον ἀνθρώπων, ὑπεύθυνον λαβὼν τῇ ἁμαρτίᾳ (διὰ γὰρ τῆς ἁμαρτίας εἰσῆλθεν ὁ θάνατος) ἐν ἐμοὶ τοῦτο οὐχ εὕρε. τίνος οὖν ἕνεκεν ἐκεπόθησε, καὶ θανάτῳ παρέδωκε; τίνος ἕνεκεν εἰς τὸν Ἰούδα ψυχὴν ἐνέβαλεν ὥστε με ἀνελεῖν; μὴ γὰρ μοι εἴπῃς νῦν, ὅτι ὁ Θεὸς ὠκονόμησε (τοῦτο γὰρ ἐγὼ τοῦ διαβόλου, ἀλλὰ τῆς αὐτοῦ σοφίας) πέως ἐκείνου ἡ γνώμη ἐξεταζέσθω τὸ πονηρόν. πῶς οὖν κρίνεται ὁ κόσμος ἐν ἐμοί; ὡσανεὶ δικαστηρίου καθεζομένου, λεχθήσεται πρὸς αὐτόν, ἔφη, πάντας ἀνθρώπους ἔσπασε τὸ ἁμαρτίας ἐστὶ τὸ θανάτου λύρειν· Ⓦ Χριστὸν δέ· τί αἴφλες; οὐκ ἔυδηλον, ὅτι ἀδίκως; ὄντως δὲ αὐτὸν ἐκδικηθήσεται ὁ κόσμος ἅπας· ἵνα ὁ καὶ σαφέστερον ᾖ, καὶ ὅτι παραδείγματος ἕνεκεν ποιοῦσι φανερόν. ἔστω τις βίαιος τύραννος, πάντας οὗτος ἐμπίπτοντας μυρίοις προσβάλλων κακοῖς. οὗτος ἐὰν συμβαλὼν βασιλεῖ, ἢ ὑφ' βασιλέως, ἀνέλῃ αὐτὸν ἀδίκως, ὁ ἐκείνου θάνατος καὶ οὗτος ἄλλως ἐκδικήσας δικαιώσεται. ἔστω τις ὀφειλέτης ἁπάντων, καὶ τυπτέτω, καὶ εἰς δεσμωτήριον ἐμβαλλέτω· εἶτα ἐκ τῆς αὐτῆς ἀπορίας καὶ τὸν ὀφείλοντα τοῦτον τὸν αὐτὸν εἰρκτὴν ἀγέτω. οὗτος καὶ ὢν εἰς τοὺς ἄλλους ἐποίησε δώσει δίκην. ἀναιρήσει γὰρ αὐτὸν ἐκεῖνος. οὕτω καὶ ὅπερ γοῦν γέγονεν. ὢν γὰρ εἰς ἡμᾶς ἐποίησεν ὁ διάβολος, δι' ὧν εἰς Ⓦ Χριστὸν ἐτόλμησεν, ἀπαιτηθήσεται δίκην. καὶ ὅπερ τοῦτο αἰνίττεται, ἄκουσον τί φησι· νῦν ὁ ἄρχων τοῦ κόσμου τούτου βληθήσεται κάτω διὰ τοῦ θανάτου τοῦ ἐμοῦ·

32 Καὶ

32 Καὶ ἐγὼ ἐὰν ὑψωθῶ, πάντας ἑλκύσω πρὸς ἐμαυτόν. Τυτέστι, ἀπὸ τοὺς ἐξ ἐθνῶν. Ἵνα μή τις εἴπῃ, πῶς βλασθήσεται κἀκεῖνα, εἰ μὴ σὺ προσέλθοιτο; λέγει, οὐ προσέλθοιτο· πῶς γάρ, τοῦ μὴ ὄντος ἄλλου ἕλκοντος; ἢ οὐ λέγει τοῦτο ἀναίσασιν, ἀλλ' ὁ τῆς ἀναισάσεως πλέον ὄντι, πάντας ἑλκύσω πρὸς ἐμαυτόν. Εἰ μὴ γὰρ εἴπει, ὅτι ἀναστήσομαι, οὐπω δῆλον ὅτι ἢ πιστεύσει· τοῦ δὲ εἰπεῖν, ὅτι πιστεύσουσιν, ἀμφότερα ζωαποδέδεικται, ὅτι καὶ ἀναστήσεται. Εἰ γὰρ νεκρὸς ἔμεινε, καὶ φιλὸς ἀνθρωπος ἦν, οὐδεὶς ἂν ἐπίστευσε. πάντας ἑλκύσω πρὸς ἐμαυτόν. πῶς οὖν φησιν, ὅτι ὁ πατὴρ ἕλκει; ὅτι, μοῦ ἕλκοντος; πατὴρ ἕλκει. ἑλκύσω δέ, φησιν, ἅτε οὐκ ἀπὸ τυράννου κατεχομένους, καὶ ἀφ' ἑαυτῶν μόνων οὐ δυναμένους προσελθεῖν καὶ τὰς ἐκείνου χεῖρας διαφυγεῖν, ἅτε ἀντεχομένου. ἀλλαχοῦ δὲ τοῦτο ἁρπαγὴν καλεῖ. Οὐδεὶς δύναται τὰ σκεύη τοῦ ἰσχυροῦ διαρπάσαι, ἐὰν μὴ πρῶτον δήσῃ τὸν ἰσχυρόν, καὶ τότε τὰ σκεύη αὐτοῦ διαρπάσῃ. Ταῦτα οὖν τὸ βίαιον αὐτοῦ πρίασθαι ἔλεγεν. ὅπερ οὖν ἐκεῖ ἁρπαγὴν, ἐνταῦθα ἕλξιν ἐκάλεσε. Matth. 12. κθ.

ΗΘΙΚΟΝ Ταῦτ' οὖν εἰδότες, διεγερθῶμεν, δοξάσωμεν τὸν Θεόν, μὴ διὰ πίστεως μόνον, ἀλλὰ καὶ διὰ βίου· ἐπεὶ οὐκ ἂν εἴη δόξα, ἀλλὰ βλασφημία. ὁ γὰρ οὕτω βλασφημούμενος Θεός, ἕλκων ὅντως μιαρούς, ὡς χριστιανοὺς διεφθαρμένους. διὸ δὴ δέομαι πάντα ποιεῖν, ὥστε δοξάζεσθαι τὸν Θεόν. οὐαὶ γάρ, φησι, τῷ δούλῳ ἐκείνῳ, δι' ὃν τὸ ὄνομα τοῦ Θεοῦ βλασφημεῖται (ὅταν γὰρ οὐαὶ ᾖ, πᾶσα αἰτίας κόλασις καὶ τιμωρία ἕπεται) μακάριος ἦν, δι' ὃν τὸ ὄνομα δοξάζεται. μὴ τοίνυν ὡς ἐν τῇ σκηνῇ ὦμεν· ἀλλὰ πάντα φεύγωμεν τὰ ἀνῳρτήματα, μᾶλλον δὲ τὰ εἰς κοινὸν διαβαίνοντα βλάβεως, ὅπου μάλιστα ἐν τούτοις ὁ Θεὸς βλασφημεῖται. τίνα γὰρ ἕξομεν συγγνώμην, ὅταν ἑτέροις δίκην προσκαλούμενοι, τὰ ἑτέρων ἁρπάζωμεν; πῖς ἡμῖν ἔσται ἐλπὶς σωτηρίας; εἰ μὴ πεινῶντα ἔθρεψας, κολάζῃ· εἰ δὲ ἢ ἀπέδυσας ἐνδεδυμένον, ποίας πύξῃ συγγνώμης; ταῦτα ζωηρῶς λέγοντες ἢ παυσόμεθα. ἴσως γὰρ ⓐ τὴν μέρον μὴ ἀκούσαντες, αὖθις ἀκούσονται· ⓐ δ' τὸ αὖθις μὴ προσέχοντες, τὸ μετ' ἐκείνου πειθήσονται. Εἰ δέ τινες καὶ ἀπειθῶς εἶεν διακείμενοι, ἀλλ' ἡμῖν ἀνεύθυνον ἔσται τὸ δικαστήριον. Τὸ γὰρ ἡμῶν ἐπληρώσαμεν. ἠβούλετο μήτε ἡμᾶς αἰσχυνθῆναι ὑπὲρ τοῖς λεγομένοις, μήτε ὑμᾶς ἐγκαλύψασθαι· ἀλλὰ πρῶτος δυνηθῆναι μετὰ παῤῥησίας σιωπᾶν ὑπὲρ τοῦ βήματος τοῦ Χριστοῦ, ἵνα καὶ αὐτοὶ δυνηθῶμεν καυχήσασθαι ἐφ' ὑμῖν, καὶ τὴν ἡμετέραν καλὴν ἀποδημίαν ἴνα λάβῃ, τὴν ὑμετέραν εὐδοκίμησιν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας. Ἀμήν.

Ομιλ. ξη. 34 ΑΠΕΚΡΙΘΗ ΑΥΤΩ Ο ΟΧΛΟΣ, ΗΜΕΙΣ ΗΚΟΥσαμεν ἐκ τοῦ νόμου, ὅτι ὁ Χριστὸς μένει εἰς τὸν αἰῶνα· καὶ πῶς λέγεις σύ, ὅτι δεῖ ὑψωθῆναι τὸν υἱὸν τοῦ ἀνθρώπου; τίς ἐστιν οὗτος ὁ υἱὸς τοῦ ἀνθρώπου;

ΥΦωρᾶτον ἡ πλάνη καὶ ἀθενές, κἂν μυρίοις ἔξωθεν ἀλείφηται χρώμασι. καθάπερ γὰρ τὰ σαθρὰ τῶν τοίχων κονιῶντες, οὐκ ἰῶνται διὰ τῆς ἀλοιφῆς διορθοῦνται· οὕτω καὶ [ⓐ] ψευδόμενοι ῥᾳδίως ἐλέγχονται· ὃ δὴ καὶ ἐνταῦθα πεπόνθασιν [ⓐ] Ἰουδαῖοι. τοῦ γὰρ Χριστοῦ πρὸς αὐτοὺς εἰπόντος· ὅταν ὑψωθῶ ἀπὸ τῆς γῆς, πάντας ἑλκύσω πρὸς ἐμαυτόν· ἡμεῖς ἠκούσαμεν, φασιν, ἀπὸ τοῦ νόμου, ὅτι ὁ Χριστὸς μένει εἰς τὸν αἰῶνα· καὶ πῶς σὺ λέγεις, ὅτι ὑψωθῆναι δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου; τίς ἐστιν οὗτος ὁ υἱὸς τοῦ ἀνθρώπου; ἆρα ᾔδεσαν κἀκεῖνοι ὅτι ὁ Χριστὸς ἀθάνατός ἐστι, καὶ ζωὴν ἔχει πέρας οὐκ ἔχουσαν. Οὐκοῦν κἀκεῖνοι ᾔδεσαν ὅπερ ἔλεγε. καὶ γὰρ πολλαχοῦ τῶν γραφῶν ὁμοῦ καὶ τὸ πάθος καὶ ἡ ἀνάστασις κεῖται. καὶ γὰρ Ἡσαΐας ἅμα ταῦτα πάθησιν, Ὡς πρόβατον ὅπου Ησ. νγ. ζ.

ὑπὸ σφαγὴν ἤχθη λέγων, ᾗ τὰ ἑξῆς ἅπαντα· ᾗ ὁ Δαβὶδ ἐν τῷ δευτέρῳ ψαλμῷ, καὶ ἀλλαχοῦ πολλαχοῦ σιωπᾷ περὶ τούτων ἀμφοτέρων. ᾗ ὁ πατριάρχης ὃ εἶπεν, ἀμφιβόλων ἐνεπλήσθη ὡς λέοντι, ἐπήγαγε· Καὶ ὡς σκύμνος λέοντος, τίς ἐγερεῖ αὐτόν; ὁμοῦ ᾗ ὃ πάθος ᾗ τὸ Gen. μθ θ. Num. κδ. θ.
ἀναίσθητον ἐνδείκνυται. Ἀλλ' ὅτι νομίζοντες ὑπισχνίζεσθαι αὐτὸν ᾗ δικαιοῦσθαι ὄντα Χει-
5 στὸν οὐκ ἐκ τούτου, ὁμολογοῦσιν ὅτι ὁ Χριστὸς εἰς τὸν αἰῶνα μένει. Ἴδε ὁρᾷς πῶς κακοῦργος. οὐ γὰρ εἶπον, ὅτι ἡμεῖς ἠκούσαμεν ὅτι ὁ Χριστὸς οὐδέν πάσχει, οὐδὲ φανεροῦται, ἀλλ' ὅτι μένει εἰς τὸν αἰῶνα. καίτοι οὐδὲ τοῦτο ἦν εἰρημένον ἀνθρώπινον. τῇ γὰρ ἀθανασίᾳ τὸ πάθος οὐκ ἐναντίον κώλυμα. ἐντεῦθεν ἔστιν ἰδεῖν, ὅτι πολλὰ τῶν ἀμφιβόλων ζητήσαντες, ᾗ ἑκόντες ἐπακούσῃ-
10 σαι ἐπαύθησαν, τῷ μὴ ἐθελῆσαι ἀκοῦσαι. ὅταν γὰρ ἔφθη τοῦ θανάτου ἀναληφθεὶς αἰωνίου, ἀκούσαντες τὸ ὑψωθῆναι ἐπαύθησαν, τῷ μὴ ἐθελῆσαι ἀκοῦσαι. εἶτα λέγουσι· Τίς ἐστιν οὗτος ὁ υἱὸς τοῦ ἀνθρώπου; τοῦτο κακοῦργος. μὴ γὰρ δὴ νομίσῃς, φησὶν, ὅτι περὶ σοῦ τοῦτο λέγομεν, ᾗ εἶπῃς ὅτι δι' ἀπέχθειαν ἐναντιούμεθα. ἴδου γὰρ οὐκ οἴδαμεν περὶ τίνος λέγῃς, ᾗ ὅμως ἀποφαινόμεθα. Τί οὖν ὁ Χριστός; ὑπισχνίζομαι αὐτοὺς ἐκ δεικνύεις, ὅτι τοῦ πάθους οὐδὲν κώλυμα πρὸς τὸ μένειν αὐτὸν εἰς τὸν αἰῶνα,

35 Ἔτι, φησὶ, μικρὸν χρόνον τὸ φῶς μεθ' ὑμῶν ἐστί. Δηλῶν, ὅτι ὁ θάνατος αὐτοῦ με-
15 τάστασίς ἐστι. καὶ γὰρ τὸ φῶς τὸ ἡλιακὸν οὐκ ἀναιρεῖται, ἀλλὰ μικρὸν ὑποχωρῆσαν πάλιν φαίνεται. Περιπατεῖτε, ἕως τὸ φῶς ἔχετε. Ποῖον ἐνταῦθα λέγει καιρόν; ἅρα τὴν πρόδουσαν ζωὴν ἅπασαν, ἢ τὸν μετὰ τὸ φανερὸν χρόνον; ἔγωγε οἶμαι ἀμφοτέρους. δηλοῖ γὰρ τὴν ἄφατον αὐτοῦ φιλανθρωπίαν, πολλοὶ ᾗ μετὰ τὸν φανερὸν ἐπίστευσαν. λέγει δὲ ταῦτα κατεπείγων αὐτοὺς εἰς τὴν πίστιν, ὅπερ ᾗ ἀνωτέρω πεποίηκεν, οὕτω λέγων, Ἔτι μικρὸν Ioan. ζ. λγ.
20 χρόνον μεθ' ὑμῶν εἰμι. Ὁ περιπατῶν ἐν τῇ σκοτίᾳ; οὐκ οἶδε ποῦ ὑπάγει.

Πόσα γοῦν ἐγὼ καὶ Ἰουδαῖοι νῦν παρεθέμεθα, ᾗ οὐκ ἴσασι τί παρεθέμεθα, ἀλλ' ὡς ἐν σκότῳ, οὕτω βαδίζοντες; δικαίου μὲν τὴν ὁρθὴν ὁδεύειν ὁδὸν, τὴν δὲ ἀναντῆ βαδίζοιεν, σαββατον
ἴσ. τηροῦντες, χαταγελῶντες, ᾗ νόμον φυλάττοντες, ᾗ βρωμάτων παραπηρήσεις, ἴδε οὐκ ἴσασι ποῦ πε-
ριπατοῦσι. Διὰ τοῦτο ἔλεγε·

25 36 Περιπατεῖτε εἰς τὸ φῶς, ἵνα υἱοὶ φωτὸς γένησθε, Τουτέστιν, ἐμοὶ υἱοί. καίτοι ἐν παροιμίοις φησὶν ὁ εὐαγγελιστὴς, Οτι οὐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος σαρκὸς, Ioan. α. ιγ.
ἀλλ' ἐκ Θεοῦ ἐγεννήθησαν, τουτέστι, τοῦ παθεῖν· ἐνταῦθα ᾗ αὐτὸς λέγεται τούτους γεννᾶν, ἵνα μάθῃς, ὅτι μία ἐνέργεια παθεῖν ᾗ γεῦ. Ταῦτα εἰπὼν ὁ Ἰησοῦς, ᾗ ἀπελθὼν ἀπ' αὐτῶν, ἐκρύβη. Νεῦμά τι κρύπτεται; οὐδὲ γὰρ λίθοις ἦραν κατ' αὐτοῦ, οὐδὲ ἐβλα-
30 σφήμησάν τι τοιοῦτον, οἷς ἐμπεσθεν. λίνος οὖν ἕνεκεν ἐκρύβη; ἆρα καρδίας ἐμβατεύων ἤδει τὸν θυμὸν αὐτοῖς ἀγειλάμενον, εἰ ᾗ μηδὲν ἐφθέγγοντο· ἤδη ζέοντα δὲ φονῶντα, καὶ οὐ περιέμενεν ὥστε εἰς ἔργον ἐξελθεῖν, ἀλλὰ κρύπτεται, παραμυθούμενος αὐτῶν τὸν φόνον. ὅρα γοῦν πῶς αὐτὸν ἠνίξατο ὁ εὐαγγελιστής. εὐθέως γοῦν ἐπήγαγε·

37 Τοσαῦτα δὲ αὐτοῦ σημεῖα πεποιηκότος, οὐκ ἐπίστευον εἰς αὐτόν. Ποῖα τοσαῦτα; ὅσα
35 παρέλιπεν ὁ εὐαγγελιστής. ἴδε οὐκ τοῦτο μόνον ταῦτα δέ τοῦτο δῆλον. ᾗ γὰρ ὑποχωρήσας ᾗ ἐν-
δοθεὶς, ᾗ ἐπανελθὼν πάλιν ὑφειμένως αὐτοῖς διαλέγεται, ὥστε λέγων· Ὁ πιστεύων εἰς ἐμὲ, Ioan. ιβ. μδ.
οὐ πιστεύει εἰς ἐμὲ, ἀλλ' εἰς τὸν πέμψαντά με. ὅρα γὰρ τί ποιεῖ. ἄρχεται ἀπὸ ταπεινοῦ καὶ ζωοποιοῦ ᾗ ζωοποιοῦντος ἀνθρώπου, καὶ καταφθάνει εἰς τὸν πατέρα· εἶτα πάλιν μάγει τὸν λόγον. ᾗ ὅταν ἴδῃ οὐκ ἀθετουμένους ὑποχωρῇ, ᾗ πάλιν ἐφίσταται, ἴδε ἀπὸ ταπεινῶν παροιμιάζεται πά-
40 λιν. ᾗ ποῦ τοῦτο ἐποίησε; ποῦ γὰρ οὐκ ἐποίησεν; ὅρα γοῦν ἐν ἀρχῇ τί φησι· Καθὼς ἀκούω, Ioan. ε. λ.
κρίνω. εἶτα ὑψηλότερον· Ὥσπερ γὰρ ὁ πατὴρ ἐγείρει τοὺς νεκροὺς ᾗ ζωοποιεῖ, οὕτω καὶ ὁ υἱὸς οὓς Ioan. ε. κα.
θέλει ζωοποιεῖ. πάλιν, Ἐγὼ δὲ κρίνω ὑμᾶς, ἄλλος ἐστὶν ὁ κρίνων. εἶτα διαχωρῆ πάλιν. εἶτα ὑπο- Ioan. π. ν.
στὰς τὴν Γαλιλαίαν, Ἐργάζεσθε, φησὶ, μὴ τὴν βρῶσιν τὴν ἀπολλυμένην. ᾗ εἰπὼν περὶ αὐτοῦ μεγά- Ioan. ε. κζ.
λα, ὅτι ἐκ τοῦ οὐρανοῦ καταβέβηκεν, ὅτι ζωὴν αἰώνιον δίδωσι, πάλιν διαχωρῆ. ᾗ τὴν σκηνοπηγίαν πά-

λιν ἐπίστευσαν, ὃ αὐτὸ τοῦτο ποιεῖ. καὶ διηνεκῶς ἴδοι τις ἂν οὕτω ποικίλλοντα τὴν διδασκαλίαν, παρουσίᾳ, ἀπουσίᾳ, ταπεινοῖς, ὑψηλοῖς λόγοις· ὃ καὶ ἐνταῦθα πεποίηκε. τοσαῦτα δὲ αὐτοῦ σημεῖα πεποιηκότος, οὐκ ἐπίστευον εἰς αὐτὸν, φησιν,

38 Ἵνα πληρωθῇ ὁ λόγος Ἡσαΐου, ὃν εἶπε· Κύριε, τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν; καὶ ὁ βραχίων
Κυρίου τίνι ἀπεκαλύφθη; Καὶ πάλιν 39 Οὐκ ἠδύναντο, φησι, πιστεύειν, ὅτι εἶ-
πεν Ἡσαΐας· ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συνῆτε. 41 Ταῦτα δὲ εἶπεν, ὅτε εἶδε
τὴν δόξαν αὐτοῦ καὶ ἐλάλησε περὶ αὐτοῦ. Ἰδοὺ πάλιν τὸ, ὅτι, καὶ εἶπεν, οὐχὶ αἰτιολογίας, ἀλλ' ἐκβάσεως. οὐδὲ γὰρ ἐπειδὴ εἶπεν Ἡσαΐας, οὐκ ἐπίστευον· ἀλλ' ἐπειδὴ οὐκ ἔμελλον πιστεύειν, διὰ τοῦτο εἶπεν Ἡσαΐας. τί οὖν οὐχ οὕτως ὁ εὐαγγελιστὴς λέγει, ἀλλὰ τὴν ἀπιστίαν ἀπὸ τῆς προφητείας, οὐ τὴν προφητείαν ἀπὸ τῆς ἀπιστίας εἶναί φησι· καὶ περαιτέρω, σφοδρότερον τοῦτο αὐτὸ τίθησιν, οὕτω λέγων, διὰ τοῦτο οὐκ ἠδύναντο πιστεύειν, ὅτι εἶπεν Ἡσαΐας; ἐντεῦθεν παραστῆσαι διὰ πολλῶν βούλεται τὸ τῆς γραφῆς ἀψευδές· καὶ ὅτι ἅπερ προεφήτευσεν, οὐχ ἑτέρως ἐξέβη, ἀλλ' ὡς εἶπεν. ἵνα γὰρ μή τις λέγῃ, καὶ τίνος ἕνεκεν ἦλθεν ὁ Χριστός; οὐκ ᾔδει ὅτι οὐκ ἔμελλον αὐτῷ προσέχειν; καὶ τοὺς προφήτας εἰσάγει τοῦτο εἰδότας. ἦλθε δὲ, ἵνα πρόφασιν μὴ ἔχωσι περὶ τῆς ἁμαρτίας αὐτῶν. ἃ γὰρ προεῖπεν ὁ προφήτης, ὡς πάντως ἐσόμενα προεῖπεν. εἰ γὰρ μὴ πάντως ἔμελλεν ἔσεσθαι, οὐκ ἂν προεῖπε· πάντως δὲ ἔμελλεν ἔσεσθαι, ἐπειδὴ ἀνιάτως εἶχον ἐκεῖνοι. εἰ δὲ κεῖται τὸ, οὐκ ἠδύναντο, ἀντὶ τοῦ, οὐκ ἤθελον, μὴ θαυμάσῃς. καὶ γὰρ καὶ ἀλλαχοῦ φησιν· (Ματθ.ιθ.ιβ.) Ὁ δυνάμενος χωρεῖν, χωρείτω. οὕτως οἶδε πολλαχοῦ δύναμιν τὴν προαίρεσιν λέγειν. καὶ πάλιν· (Ιωαν.ζ.ζ.) Οὐ δύναται ὁ κόσμος μισεῖν ὑμᾶς· ἐμὲ δὲ μισεῖ. τοῦτο δὲ καὶ ἐν τῇ κοινῇ συνηθείᾳ φυλαττόμενον ἴδοι τις ἄν· ὡς ὅταν λέγῃ τις, οὐ δύναμαι ἀγαπῆσαι τὸν δεῖνα, τὸ σφοδρὸν τῆς βουλήσεως δύναμιν λέγων. καὶ πάλιν, οὐ δύναται ὁ δεῖνα γενέσθαι χρηστός. καὶ ὁ προφήτης δὲ τί φησιν; (Ιερ.ιγ.κγ.) Εἰ ἀλλάξεται Αἰθίοψ τὸ δέρμα αὐτοῦ, καὶ πάρδαλις τὰ ποικίλματα αὐτῆς, καὶ ὁ λαὸς οὗτος δυνήσεται εὖ ποιῆσαι μεμαθηκὼς κακά. οὐ τοῦτό φησιν, ὅτι ἀδύνατος αὐτοῖς ἡ τῆς ἀρετῆς ἐργασία· ἀλλ' ὅτι οὐ βούλονται, διὰ τοῦτο οὐ δύνανται. καὶ ὃ λέγει ὁ εὐαγγελιστὴς, τοῦτό φησιν, ὅτι ἀδύνατον ἦν ψεύσασθαι τὸν προφήτην. οὐ μὴν διὰ τοῦτο ἀδύνατον ἦν αὐτοὺς πιστεῦσαι. ἐνῆν γὰρ, καὶ πιστευσάντων αὐτῶν, ἀψευδῆ μένειν. οὐ γὰρ ἂν ταῦτα προεῖπεν, εἰ πιστεύειν ἔμελλον. τί οὖν, φησιν, οὐχ οὕτως εἶπεν; ὅτι ἰδιώματα τινὰ ἡ γραφὴ τοιαῦτα ἔχει, καὶ δεῖ τοῖς νόμοις αὐτῆς παραχωρεῖν. Ταῦτα δὲ εἶπεν, ὅτε εἶδε τὴν δόξαν αὐτοῦ. τίνος; τοῦ πατρός. πῶς οὖν ὁ Ἰωάννης περὶ τοῦ υἱοῦ λέγει, ὁ δὲ Παῦλος περὶ τοῦ πνεύματος; οὐχ ὡς συναλείφοντες τὰς ὑποστάσεις, ἀλλὰ μίαν ἀξίαν δηλοῦντες εἶναι, φασι. (Πραξ.κη.κε.) καὶ γὰρ τὰ τοῦ πατρὸς, τοῦ υἱοῦ, καὶ τὰ τοῦ υἱοῦ, τοῦ πνεύματός ἐστι. (γρ. πατρὸς) καίτοι πολλὰ δι' ἀγγέλων εἶπε, καὶ οὐδεὶς λέγει, καθὼς εἶπεν ὁ ἄγγελος· ἀλλὰ τί; ὁ Θεὸς εἶπε. τὰ μὲν γὰρ ὑπὸ τοῦ Θεοῦ δι' ἀγγέλων εἰρημένα, τοῦ Θεοῦ ἂν εἴη· οὐκ ἔτι δὲ καὶ τὰ τοῦ Θεοῦ, τῶν ἀγγέλων. ἐνταῦθα δὲ τοῦ πνεύματός φησιν εἶναι τὰ ῥήματα. Καὶ ἐλάλησε περὶ αὐτοῦ. τί ἐλάλησεν; (Ησ.ς.α.) Εἶδον τὸν Κύριον καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ, καὶ τὰ ἑξῆς. δόξαν οὖν ἐνταῦθα φησι, τὴν ὄψιν ἐκείνην, τὸν καπνὸν, τὸ ἀκοῦσαι μυστηρίων ἀπορρήτων, τὸ ἰδεῖν τὰ Σεραφὶμ, τὴν ἀστραπὴν τὴν ἀπὸ τοῦ θρόνου πηδῶσαν, ἣν ἀντιβλέψαι αἱ δυνάμεις οὐκ εἶχον ἐκεῖναι. (Ησ.ς.η.θ.) καὶ ἐλάλησε περὶ αὐτοῦ. τί ἐλάλησεν; ὅτι ἤκουσε φωνὴν λέγουσαν· Τίνα ἀποστείλω, καὶ τίς πορεύσεται; καὶ εἶπον· ἰδοὺ ἐγώ εἰμι, ἀπόστειλόν με. καὶ εἶπεν· ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συνῆ-
τε, καὶ βλέποντες βλέψετε, καὶ οὐ μὴ ἴδητε. 40 Ἐτύφλωσε γὰρ αὐτῶν τοὺς ὀφθαλμοὺς,
καὶ πεπώρωκεν αὐτῶν τὴν καρδίαν, μή ποτε ἴδωσι τοῖς ὀφθαλμοῖς, καὶ τῇ καρδίᾳ συνῶσιν.

Ἰδοὺ πάλιν ἕτερον ζήτημα· ἀλλ' οὐκ ἔστιν, ἐὰν ὀρθῶς προσέχωμεν. ὥσπερ γὰρ ὁ ἥλιος τῶν ἀσθενῶν πλήττει τὰς ὄψεις οὐ παρὰ τὴν οἰκείαν φύσιν· οὕτω καὶ ἐπὶ τῶν μὴ προσεχόντων τοῖς τοῦ Θεοῦ λόγοις γίνεται. οὕτω καὶ ἐπὶ τοῦ Φαραὼ τὴν καρδίαν σκληρῦναι λέγεται, οὕτω

καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ ἐπὶ τῶν φιλοτεκνούντων τοῖς τοῦ Θεοῦ λόγοις γίνεσθε. ἰδίωμα γὰρ καὶ τοῦτο τῆς γραφῆς· ὡς ἐπὶ τοῦ, Παρέδωκεν εἰς ἀδόκιμον νοῦν, ἐπὶ δὲ, ἀπέστειλε τοῖς ἔθνεσι· καὶ τοῦτο, Συνεχώρησεν, ἀφῆκεν. οὐχὶ γὰρ ἐνεργεῖ ταῦτα εἰς ἡμᾶς, ἀλλ' ἐκ τῆς ἑτέρων πονηρίας τοῦτα νομίζεται δίκαιον. ὅταν γὰρ ἐγκαταλείφθωμεν ὑπὸ τοῦ Θεοῦ, παραδιδόμεθα δὲ διαβόλῳ· τῷ διαβόλῳ δὲ παραδιδόντες, μυρία πάσχομεν δεινά. φοβῶν τοίνυν καὶ ἀκροατὴν φησιν, ἐσκλήρυνε καὶ πεῖσθαι ἔδωκεν. ὅτι γὰρ αὐτὸς οὐ μόνον οὐ παραδίδωσιν, ἀλλ' οὐδὲ ἐγκαταλιμπάνει, ἐὰν μὴ βουληθῶμεν, ἀκούσον τί φησιν· Οὐχὶ αἱ ἁμαρτίαι ὑμῶν διίστασιν μέσον ἐμοῦ καὶ ὑμῶν; καὶ πάλιν, Οἱ μακρυνόντες ἑαυτοὺς ἀπὸ σοῦ, ἀπολοῦνται. ὁ δὲ Ὡσηέ φησιν· Επελάθου νόμου Θεοῦ σου, κἀπιλήσομαί σου κἀγώ. καὶ αὐτὸς δὲ ἐν τοῖς εὐαγγελίοις· Ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα ὑμῶν, καὶ σὺ οὐκ ἠθελήσατε; καὶ ὁ Ησαΐας δὲ πάλιν, Ηλθον, καὶ οὐκ ἦν ἄνθρωπος· ἐκάλεσα, καὶ οὐκ ἦν ὁ ὑπακούσομαι. ταῦτα δὲ λέγω, δεικνὺς ἡμᾶς ἐρχομένους τῆς ἐγκαταλείψεως, καὶ αἰτίους γινομένους τῆς ἀπωλείας. ὁ γὰρ Θεὸς οὐ μόνον οὐ καταλιπεῖν θέλει κολάσαι βούλεται, ἀλλὰ καὶ ὅτι κολάζει, μὴ θέλων αὐτὸ ποιεῖ. Οὐ βούλομαι γάρ, φησι, τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν. ὁ δὲ

Ησ. ναθ. β. Ψαλ. οϛ. κζ. Ωση. δ. ε. Λευκ. ιγ. λδ. Ησ. ν. β. Ιεζεκ. ιη. λβ.

Ἀπολλινάριος μέλλων τὸ Ιερεμιάμ καὶ διακρύει, ὁ καὶ Ησ. ὅσῳ μαν.

Χριστὸς ἐπὶ τῇ καταστροφῇ Ιερουσαλὴμ δακρύει, ὁ καὶ ἡμᾶς ἐπὶ φίλων ποιοῦμεν.

Ησ. πολλοὶ

Ταῦτ' οὖν εἰδότες, πάντα παραιτώμεθα ὥστε μὴ ἀφίστασθαι τοῦ Θεοῦ, ἀλλ' ἐχώμεθα τῆς ΗΘΙΚΟΝ καὶ ψυχικῆς ὠφελείας καὶ τῆς πρὸς ἀλλήλους ἀγάπης, καὶ μὴ παραιτώμεθα ἡμῶν τὰ μέλη (τοῦτο γὰρ μαινομένων καὶ ἐξεστηκότων ἐστὶν) ἀλλ' ὅσῳ αὖ κακῶς διακειμένους ἴδωμεν, θεραπεύωμεν μᾶλλον. καὶ γὰρ καὶ ἐν τοῖς σώμασι πολλοὺς πολλάκις ὁρῶμεν δυσιάτοις ἕλκεσι καὶ αὐίατα νοσήματα, καὶ οὐ παυόμεθα ἕως ἂν πάθωμεν φάρμακα. τί γὰρ ποδαλγίας χεῖρον; τί δὲ χειράγρας; ἆρ' οὖν παρακούσωμεν τῶν κάτω; οὐδαμῶς· ἀλλὰ πάντα ποιοῦμεν ὥστε ποδαγρίας ἰατοὺς ἀπολαῦσαι, ἕλκη δὲ καὶ τραύματα. τοῦτο καὶ ἐπὶ τῶν ἀδελφῶν ποιῶμεν· καὶ, ἂν αὐίατα νοσῶσι, μὴ ὠμῶμεν θεραπεύοντες, καὶ βασάζωμεν ἀλλήλων τὰ βάρη. οὕτω γὰρ πληρώσομεν νόμον τὸν Χριστοῦ, καὶ τυχόμεθα τῆς ἐπηγγελμένων ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ιησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Αμήν.

Ομιλ. ξθ. 42 ΟΜΩΣ ΜΕΝΤΟΙ ΚΑΙ ΕΚ ΤΩΝ ΑΡΧΟΝτων πολλοὶ ἐπίστευσαν εἰς αὐτόν· ἀλλὰ διὰ τοὺς Φαρισαίους οὐχ ὡμολόγουν, ἵνα μὴ ἀποσυνάγωγοι γένωνται. 43 Ηγάπησαν γὰρ τὴν δόξαν τῶν ἀνθρώπων μᾶλλον ἢ τὴν δόξαν τοῦ Θεοῦ.

Ἀντὶ τοῦ ἢ παρ' τὴν τοῦ Θεοῦ.

Ρωμ. α. κπ.

ΑΝτα μὲν φεύγειν ὁμοίως ἡμῖν ἀναγκαῖον καὶ τὴν ψυχὴν διαφθείροντα πάθη· πολλῷ γε πλέον ἐκφεύγειν καὶ πολλὰ καὶ διὰ ἑαυτῶν πικίζοντα ἁμαρτήματα· τοῦτό μοι λέγω, τὴν φιλαργυρίαν. ἔστι μὲν οὖν καθ' ἑαυτὸ δεινὸν καὶ νόσημα· πολλῷ γε μᾶλλον χαλεπώτερον, ὅτι ῥίζα καὶ μήτηρ ἐστὶ πάντων τῶν κακῶν. τοιοῦτον καὶ ἡ κενοδοξία. ἰδοὺ γοῦν καὶ ὅτι τῆς πίστεως διὰ τὴν δόξης ἀπερράγησαν ἔρωτα. πολλοὶ γάρ, φησιν, καὶ ἐκ τῶν ἀρχόντων ἐπίστευσαν εἰς αὐτόν· διὰ δὲ τοὺς Ιουδαίους οὐχ ὡμολόγουν, ἵνα μὴ ἀποσυνάγωγοι γένωνται· ὅπερ οὖν καὶ αὐτοῖς ἀνωθεν ἔλεγε, Πῶς δύνασθε πιστεύειν, δόξαν παρ' ἀλλήλων λαμβάνοντες, καὶ τὴν δόξαν τὴν παρὰ τοῦ μόνου Θεοῦ οὐ ζητοῦντες; οὐκ ἄρα ἄρχοντες ἦσαν, ἀλλὰ δοῦλοι δουλείαν τὴν ἐσχάτην. πλὴν ἀμφὶ καὶ οὗτοι ὕστερον ἐλύθη ὁ φόβος. ὑδαμοῦ γὰρ ὅτι τῶν ἀποστόλων ὁρῶμεν τοῦτο κατεχομένους ἐν πάθει. καὶ γὰρ ἄρχοντες ἐπ' ἐκείνων ἐπίστευσαν καὶ ἱερεῖς. ἡ γὰρ τοῦ πνεύματος χάρις ἐλθοῦσα,

Ιωαν. ε. μδ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σα, πάντας αὐτοὺς ἀδάμαντος ἐποίησε στερροτέρους. ἐπεὶ οὖν ἕτοιμον ἦν αὐτὸν κωλύσαι, οὐκ ἐκώλυσε πιστεῦσαι τότε, ἀλλὰ καιρὸν ἐδίδου φησίν·

44 Ὁ πιστεύων εἰς ἐμέ, οὐ πιστεύει εἰς ἐμέ, ἀλλ' εἰς τὸν πέμψαντά με·

Ὥσπερ οὖν ἔλεγε, τί δεδίκατε πιστεῦσαι εἰς ἐμέ; εἰς τὸν Θεὸν ἡ πίστις διαβαίνει δι' ἐμοῦ, οὕτω καὶ ἡ ἀπιστία. ὅρα πῶς διὰ πάντων τὸ ἀνθρωπάρεσκον δείκνυσι τῆς οὐσίας. καὶ οὐκ εἶπεν, ὁ πιστεύων ἐμοί, ἵνα μή τις εἴπῃ, ὅτι τῷ ῥήματι ἔνεκεν ἔλεγεν, ὁ καὶ ἐπ' ἀνθρώπων δυνατὸν ἦν εἰπεῖν. ὁ γὰρ τοῖς ἀποστόλοις πιστεύων, οὐκ ἀνθρώπῳ πιστεύει, ἀλλὰ τῷ Θεῷ. ἀλλ' ἵνα μάθῃς, ὅτι περὶ τῆς εἰς τὴν οὐσίαν πίστεως αὐτὸς φησιν, οὐκ εἶπεν, ὁ πιστεύων μοι τοῖς ῥήμασιν, ἀλλ' ὁ πιστεύων εἰς ἐμέ. καὶ διὰ τί μηδαμοῦ, φησίν, εἶπεν αὐτὸς τοῦτο; ὁ πιστεύων εἰς τὸν πατέρα, οὐκ εἰς τὸν πατέρα πιστεύει, ἀλλ' εἰς ἐμέ; ὅτι εἶπον πρὸ, ἰδοὺ ἡμεῖς πιστεύομεν εἰς τὸν πατέρα, καὶ εἰς σὲ οὐ πιστεύομεν. καὶ γὰρ ἀσθενέστερον ἔτι διέκειντο. διὸ τοῖς μὲν μαθηταῖς διαλεγόμενος οὕτως εἶπε· Πιστεύετε εἰς τὸν Θεὸν, καὶ εἰς ἐμὲ πιστεύετε. τούτους δὲ ἀσθενεστέρους ὁρῶν τὰ δίαδοτα ἀκούσαντα ῥήματα, ἄλλως ἀναγκάζει, δεικνὺς ὅτι οὐκ ἔστι πιστεῦσαι τῷ πατρὶ, μὴ πιστεύσαντας εἰς αὐτόν. καὶ ἵνα μὴ νομίσῃς ὅτι ὡς ἐπ' ἀνθρώπου εἴρηται, ἐπάγει· Ιωαν. ιδ'. α.

45 Ὁ θεωρῶν ἐμὲ, θεωρεῖ τὸν πέμψαντά με. Τί οὖν; σῶμά ἐστιν ὁ Θεός; οὐδαμῶς. θεωρίαν γάρ, τὴν διὰ νοὸς φησιν ἀναβῆναι, καὶ ἀπιδεῖν τὸ ἀμοούσιον δηλῶν. καὶ τί ἐστιν, ὁ πιστεύων εἰς ἐμέ; ὡς ἂν εἴποι τις· ὁ διὰ ποταμοῦ διαγεύμενος ὕδωρ, οὐ διὰ ποταμοῦ, ἀλλὰ διὰ πηγῆς λαμβάνει. μᾶλλον δὲ καὶ αὕτη ἔτι ἀσθενεστέρα ἡ εἰκὼν τοῦ πραγματικείμενον.

46 Ἐγὼ φῶς εἰς τὸν κόσμον ἐλήλυθα. Ἐπειδὴ γὰρ ὁ πατὴρ τούτῳ καλεῖται πολλαχοῦ ἐν τῇ παλαιᾷ καὶ ἐν τῇ καινῇ, καὶ αὐτῷ κέχρηται ὡς ὀνόματι. διὰ τοῦτο καὶ Παῦλος ἀπαύγασμα αὐτὸν καλεῖ, ἐντεῦθεν μαθών. καὶ πολλαχοῦ δείκνυσιν ἐνταῦθα τὴν πρὸς τὸν πατέρα συγγένειαν καὶ οὐδὲν τὸ μέσον, εἴγε τὸ εἰς αὐτὸν πίστιν, μὴ εἰς αὐτὸν, ἀλλ' εἰς ἐκεῖνον διαβαίνειν φησί. φῶς δὲ ἑαυτὸν ἐκάλεσε, διὰ τὸ τῆς πλάνης ἀπαλλάττειν, καὶ τὸ κοντὸν λύειν σκότος. Εβρ. α. γ.

47 Ἐάν τίς μου μὴ ἀκούσῃ, ἐγὼ οὐ κρίνω αὐτόν. οὐ γὰρ ἦλθον ἵνα κρίνω τὸν κόσμον, ἀλλ' ἵνα σώσω τὸν κόσμον. Ἵνα γὰρ μὴ νομίσωσιν ὅτι διὰ ἀσθένειαν τοῦτο καταφρονοῦντας παρέδραμε, διὰ τοῦτο εἶπε τὸ, οὐκ ἦλθον ἵνα κρίνω τὸν κόσμον. Εἶτα, ἵνα μὴ ῥᾳθυμότεροι ταύτῃ γένωνται, μαθόντες ὅτι ὁ πιστεύων σώζεται, ὁ δὲ ἀπιστῶν κολάζεται, ὅρα πῶς αὐτοῖς καὶ φοβερὸν ἐπέστησε δικαστήριον, ἐπάγων. καὶ λέγων· 48 Ὁ ἐμὲ ἀθετῶν, καὶ μὴ λαμβάνων τὰ ῥήματά μου, ἔχει τὸν κρίνοντα αὐτόν. Εἰ ὁ πατὴρ οὐδένα κρίνει, καὶ σὺ οὐκ ἦλθες ἵνα κρίνῃς τὸν κόσμον, τίς αὐτὸν κρίνει; Ὁ λόγος οὗ ἐλάλησα, ἐκεῖνος κρινεῖ αὐτόν. Ἐπειδὴ γὰρ ἔλεγον, ὅτι οὐκ ἔστιν οὐκ τοῦ Θεοῦ, τοῦτό φησιν, ὅτι οὐ τότε δυνήσονται ταῦτα λέγειν, ἀλλὰ τὰ ῥήματα, ἃ ἐλάλησα νυνὶ, ἐν τάξει ἔσται κατηγόρου, ἐλέγχοντα αὐτοὺς καὶ πᾶσαν ἀπολογίαν. καὶ ὁ λόγος οὗ ἐλάλησα. ποῖος λόγος;

49 Ὅτι ἀπ' ἐμαυτοῦ οὐκ ἐλήλυθα· ὅτι ὁ πέμψας με πατὴρ, ἐκεῖνός μοι ἔδωκεν ἐντολὴν, τί εἴπω καὶ τί λαλήσω, Καὶ ὅσα τοιαῦτα ἕτερα. ἀρὰ τούτων διὰ αὐτοὺς ἕνεκα ἔλεγεν, ἵνα μηδεμίαν ἔχωσιν ἀπολογίας προφάσιν· ἐπεὶ εἰ μὴ τοῦτο ἦν, τί Ησαΐας πλέον ἔξει; ἢ γὰρ ἐκεῖνος ὃ αὐτὸ τοῦτό φησι· Κύριος ἔδωκέ μοι γλῶσσαν παιδείας, τοῦ γνῶναι καιρὸν ἐν ᾧ ἐρεῖ λόγον. τί δὲ Ἰερεμίου; καὶ γὰρ ἐκεῖνος, ὅτε ἐπέμπετο, ἐνεπαίζετο. τί δὲ Ἰεζεκιήλ; ἢ γὰρ ἐκ τοῦ τὴν κεφαλίδα καταφαγεῖν, ὅτε ἐφθέγξατο. ἄλλως δέ, εὑρεθήσονται μέλλοντες ἀκούειν ὅπερ ἔλεγεν, αἴτιοι τῆς γνώσεως ὄντες αὐτοῖς. εἰ γὰρ ὅτε ἐπέμπετο, ἐνετείλατο τότε ἔλαβε, τί εἴπῃ, λοιπὸν ἐρᾷς ὅπου καιρὸν οὐκ ἦδει. καὶ τί τούτων ἀσεβέστερον τοῦ ῥήματος, εἰ οὕτως αὐτὰ τις δέχοιτο, καὶ μὴ καταμανθάνοι τῆς ταπεινότητος Ησ. ν. δ. Ιεζ. γ. α.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κ. φέρεται; τος αὐτῷ τιν'' αἰτήσω; ἀλλ' ὁ μὲν Παῦλός φησι κ) αὐτὸς εἰδέναι κ) σοὶ μαθητὰ ὁμολογῶ, τί δὲ θέλημα τοῦ Θεοῦ τὸ ἀγαθὸν κ) εὐάρεστον κ) τέλειον· ὁ δὲ υἱὸς οὐκ ἠπίστατο ἕως ἀποτολιῶ ἐλάβε; κ) πῶς σὺ ἔχοι λόγον τοῦτο; ὁρᾷς ὅτι διὰ τοῦτο εἰς ὑπερβολὴν ταπεινότητος ἀφ' ἑαυτοῦ ἐλήλυθα ἀλλ', ἵνα κἀκείνους ὑπαποστήσω, κ) σοὶ μὴ ταῦτα ὑποτοπήσῃ; διὰ τοῦτο αὐθέντινα φθέγγεται ῥήματα, ἵνα κἂν ὕστερος ἀναγκάσῃ φυγεῖν τὸ βυτελὲς τῶν λεχθέντων; ζωοειδῶς ὅτι ἀ τῆς φύσεως ἐστὶ τὰ λεχθέντα, ἀλλὰ τῆς τῶν ἀκουόντων ἀσθενείας.

50 Καὶ οἶδα ὅτι ἡ ἀποτολὴ αὐτοῦ ζωὴ αἰώνιός ἐστιν. ἃ οὖν λαλῶ, καθὼς εἰρήκεί μοι ὁ πατήρ μου, οὕτω λαλῶ. Ὁρᾷς τὸ ταπεινὸν τῶν εἰρημένων; ὁ γὰρ ἀποτολιῶ λαβών, οὐκ ἔστιν ἐαυτοῦ κύριος. καίτοιγε αὐτὸς φησιν· ὥσπερ γὰρ ὁ πατὴρ ἐγείρει τοὺς νεκροὺς κ) ζωοποιῇ, οὕτω κ) ὁ υἱὸς οὓς θέλει ζωοποιῇ. Εἶτα ἐγείραι μὲν οὓς θέλει ἐξουσίαν ἔχει· εἰπεῖν δὲ ὃ βούλεται οὐκ ἔχει; ὃ οὖν θέλει εἰπεῖν διὰ τῆς εἰρημένου, τοῦτ' ἔστιν· ὅτι οὐκ ἔχει φύσιν τὸ παρὰγμα ἕτερα μὲν ἀκοῦσον λέγειν, ἕτερα δὲ ἐμὲ φθέγγεσθαι. κ) οἶδα ὅτι ἡ ἀποτολὴ αὐτοῦ ζωὴ αἰώνιός ἐστι. τοὺς ἀκούοντας τοῦτο πλανᾶν λέγοντας, καὶ ὅτι λύμη τοιαύτη γενέναι τοῦτο εἶπεν. ὅταν ὃ λέγῃ, ἐγὼ δὲ κρίνω," μὴ εἶ τῆς ἀπωλείας τῶν τοιούτων ἑαυτὸν δείκνυσιν αὐτόν. διὰ τί γὰρ τὰ τοιαῦτα μορφοῦται, μέλλων ἀφίσεσθαι αὐτῶν κ) μηκέτι συγκίνεσθαι, ὅτι τοῦτον ἐγὼ ὡς ἴδιον φθεγόμενος διελέγξω ὑμῖν; ἀλλὰ πρὸς τὰ τοιαῦτα τοῦ παθεῖν. κ) διὰ τοῦτο εἰς τὰ ταπεινὰ ⟨Ν⟩ λόγον τοὺς ἀκούοντας κατέκλεισεν, ἵνα εἴπῃ, ὅτι ἕως τέλους ταύτην τοὺς ἀκούοντας ὑστέρησα ἀφῆκα φωνήν. ποίαν δή ταύτην; καθὼς εἴρηκέ μοι ὁ πατήρ, οὕτω λαλῶ. Εἰ δὲ ἀντίθεος ἦμεν, τοὐναντίον ἂν εἶπον· ὅτι οὐδὲν τῶν ἐμῶν Θεῷ δοκιμώτερον λέγω, ὥστε εἰς ἐμαυτὸν τοσοῦτον εἰσῆλθε δόξαν. νυνὶ δὲ τοσοῦτον εἰς αὐτὸν πρόσχημα ἀνήγαγον, ὡς μηδὲν'' ἐμοῦ φῆσαι. τίνος οὖν ἕνεκεν ἀ τὴν δύνασθέ μοι λέγοντι, ὅτι ἀποτολιῶ ἔλαβον, κ) οὕτω σφοδρᾶς ἀναφέρῃ τῷ πονηρῷ ὑμῶν ὑποψίαν τῆς ἀπιστίας; ὥσπερ γὰρ τοὺς ἀποτολιῶ δεχομένους ἀδύνατον ἄλλο τι ποιῆσαι ἢ λέγειν, ἢ ὅσα ⟨Ε⟩ πέμψαντες βούλονται, ἕως ἂν ἀποτολιῶ πληρώσι κ) μὴ παράχρημα πίωσιν· οὕτως οὐδὲ ἐμὲ ἄλλο τι παρῆκαι ἢ εἰπεῖν δυνατόν, ἀλλ' ἢ ἅπερ ὁ πατὴρ βούλεται. Α γὰρ ἐγὼ ποιῶ, ἐκεῖνος ποιεῖ, ὅτι μετ' ἐμοῦ ἐστι, κ) οὐκ ἀφῆκέ με μόνον ὁ πατήρ. ὁρᾷς πῶς πρόχειρον δείκνυσι ζωγραφούμενον ἑαυτὸν τῷ γνησίῳ, ⟨Ε⟩ οὐδὲν μέσον ὄν; καὶ γὰρ ὅταν λέγῃ, ἀπ' ἐμαυτοῦ οὐκ ἐλήλυθα, οὐ τὴν ἐξουσίαν ἀφαιρούμενος λέγει, ἀλλὰ ὃ ἀλλότριον καὶ ἀνάρμοστον ἀναιρῶν. Εἰ γὰρ ἀν θεοποιοὶ ἐαυτῶν, πολλῷ μᾶλλον ὁ μονογενὴς υἱός." καὶ ὅτι τοῦτο ἐστὶ ἀληθές, ἄκουσον τί φησιν ὁ Παῦλος, ὅτι Ἐκένωσεν ἑαυτὸν καὶ προέδωκεν ὑπὲρ ἡμῶν. ἀλλ', ὅπερ ἔφην, δεινὸν ἡ κενοδοξία, δῆλον. αὖτη γὰρ καὶ ἐκείνους μὴ πιστεύειν, καὶ ἑτέρους κακῶς πιστεύειν ἐποίησεν, καὶ ἃ δι' ἐκείνους ἐλέγετο φιλανθρωπίας ἕνεκεν, ταῦτα εἰς ἀσέβειαν ἐκλαβόν.

Φύγωμεν τοίνυν τὸ θηρίον τοῦτο διὰ πάντων. ποικίλον γάρ ἐστι κ) πολυπρόσωπον, κ) πολυταχοῦ διαπείρει τὸν οἰκεῖον ἰόν, ⟨Ε⟩ ἐν χρήμασι, κ) ἐν τρυφῇ, κ) ἐν κάλλει σωμάτων. διὰ τοῦτο πολυταχοῦ τὰ χρείαν ἐπιφέρομεν· διὰ τοῦτο ἡ τοῦ πάντα ἰάματα πλεονεξία, ὁ πολὺς τῶν οἰκετῶν ἐσμός· διὰ τοῦτο πολυταχοῦ μὲν ἡ χρεία καταπεφώνηται, κ) ἐν οἰκίαις, καὶ ἐν ἱματίοις, κ) ἐν τραπέζῃ· ἡ δὲ πλεονεξία κρατεῖ. βούλει δίξης ἀπολαύειν; ἔργασαι ἐλεημοσυνῶν· τότε σε ἐπαινέσονται ⟨Ι⟩ ἄγγελοι, τότε σε ὁ Θεὸς ἀποδέξεται. νυνὶ μὲν γὰρ τὸ θαῦμα μέχρι τῶν χρυσοτοίχων ἔστηκε κ) τῶν ὑφαντῶν· σὺ δὲ ἀστεφάνωτος ἀναχωρεῖς, καίπερ ὁρῶσα σεαυτὸν δεχομένην πολλάκις. ἀν' δὲ ταῦτα μὴ τῷ σώματι φερόμενος, ἀλλ' εἰς τὰ γαστέρος τῶν πενομένων κενώσῃς, πολλὸς ὁ κρότος πρόσωπα χθὲν ἔσαι, πολλὸς ὁ ἔπαινος. τότε αὐτὰ ἔξεις, ὅταν ἐπέρχῃς ὅλως· ἕως δ' ἂν μόνη κατέχῃς, οὐκ ἔχεις. θησαυρὸς γὰρ ἄπιστος ἡ οἰκία· φησαυρὸς δὲ βέβαιος αἱ τῶν πενήτων χεῖρες. τί τὸ σῶμα κοσμεῖς, τῆς ψυχῆς ἡμελημένης, ἀκαθαρσίᾳ κατέχομένης; τί μὴ τοσαύτην ἀπονέμεις τῇ ψυχῇ πρόνοιαν, ὅσην τῷ σώματι; καὶ-

κ. τί ἦν ἐκεῖνο τὸ ἠρημένον ἢ τί, φησιν, ὅτι ἐκ ἐμαυτοῦ. κ. ἐκ εἶμι τῆς ἀπωλείας τῶν τοι. ἄπιστος, φησιν, ἐμοί· αὐτοί. διὰ τί

Ιωαν. η. πθ.

φιλιπ. β. ζ.

ΗΘΙΚΟΝ

τοιγε πλείονα ἕδει· ἀλλ' ὅμως," ἀγαπητοί, καὶν τὴν ἴσην αὐτῇ πρόθεσιν ἔλῃ παρέχειν. χ. ἀγαπητοί,
εἰπέ γάρ μοι· Εἴ τις σε ἤρετο, τί βούλει, τὸ σῶμά σου εἰς λαμπρὸν καὶ εὐεκτοῦν καὶ ὥραν νικᾶν
καὶ ἱμάτια φορᾶν πολυτελῆ· ἢ τοῦτο μὲν ἀνάπηρον ἔχειν καὶ νόσων ἐμπεπλησμένον, καὶ χρυσοφορᾶν
καὶ καλλωπίζεσθαι; ὁ πολλῷ μᾶλλον ἐπὶ τῆς φύσεως τοῦ σώματος ἔχειν τὴν εὐμορφίαν,
ἢ τὴν περιβολὴν τῶν ἱματίων; Εἶτα ὅτι μὲν τοῦ σώματος τούτου αἱρήσῃ, ὅτι δὲ τῆς ψυχῆς τοῦ- 5
ναντίον; καὶ αἰχμαλωτεῖ αὐτὴν ἕλκουσα καὶ δυσιδῆ καὶ μιαιφόνον, οἵει τι κερδοσθαι ἀπὸ τῶν χρυ-
σίων; καὶ ποσῆς ταῦτα ἀξίας; στρέψον τὸν κόσμον τοῦτον ἔνδον, καὶ τὰ περιδέραια ταῦτα τῇ
ψυχῇ περίθες. Τὰ μὲν γὰρ σώματι περικείμενα, ὅτε εἰς ὑγίειαν, ὅτε εἰς εὐμορφίαν αὐτοῦ ὅπο
ὀνίνησιν (οὔτε γὰρ τὸ μέλαν λευκὸν ἐργάσεται, οὔτε τὸ αἰσχρὸν καλὸν ἢ εὐειδές) τῇ δὲ ψυχῇ
μὴ περιθῇς, ταχέως αὐτὴν ἀντὶ μελαίνης λευκὴν ἐργάσῃ· αὐτὶ αἰσχρᾶς καὶ δυσειδοῦς κα- 10
Ησ. α. ιη. λὴν δὲ εὐειδῆ. Καὶ οὐκ ἐμός ὁ λόγος, ἀλλ' αὐτοῦ τοῦ Κυρίου οὕτω λέγοντος· Ἐὰν ὦσιν αἱ ἁμαρ-
Λευκ. ια. μα. ταίαι ὑμῶν ὡς φοινικοῦν, ὡς χιόνα λευκανῶ· καὶ, Δότε ἐλεημοσύνην, καὶ πάντα ὑμῖν ἔσται καθα-
ρά. οὐ σαυτὴν μόνην, ἀλλὰ καὶ τὸν ἄνδρα ὅταν φιλανθρωπὴν καλὴν ποιήσεις. ἀν' γὰρ
ἴδωσι τὸν κόσμον τοῦτον ἀποθεμένην, ὁ πολλοὺς ἔξωσι δαπάνης ἀνάγκην· οὐκ ἔχοντες γάρ,
πλεονεξίας ἀποσχήσονται πάσης, καὶ εἰς ἐλεημοσύνην ἔσονται εὐκολώτεροι, καὶ ὑμᾶς ἀνωτέρους 15
δυνήσεσθε μὴ προῖκος συμβαλέσθαι τοὺς δέοντας. νικᾷ γὰρ πᾶσαν πρόφασιν τὴν τοι-
αύτην ἐξοισόμην. ποίῳ γὰρ σώματι ταῦτα φιλοτιμήσεσθε; ποίοις ὀφθαλμοῖς ἀνθρώπων βλέψετε
ἐλεημοσύνην ἀπαιτοῦσαι τοὺς ἄνδρας, ὅταν τὰ πλείονα εἰς τὴν τοῦ σώματος περιβολὴν
ἀναλίσκητε; τότε δυνήσῃ μὴ προῖκος φιλοτιμεῖσθαι τῷ ἀνδρὶ περὶ ἐλεημοσύνης, ὅταν
τὸν κόσμον τῶν χρυσίων ἀποθῇ. καὶν μηδὲν αἰτήσῃς, ὃ σαυτῆς ἐπλήρωσας ἅπαν· μᾶλλον 20
Α. Κορ. ζ. ιε. ἂν μὴ χάριν μὴ τὸ σὸν κερδανῶ, φησὶ, διὰ τῶν πραγμάτων" αὐτῶν φιλοτιμήσῃ. Τί γὰρ χ. ἀπῆ
οἶδας, γύναι, εἰ τὸν ἄνδρα σώσεις; ὥσπερ οὖν νικᾷ τὸ σὸν ἐκ σαυτῆς καὶ τὸ σὸν ἐκείνου δώσεις
τὸν λόγον, ὅτως, ἐὰν τὴν φιλοτιμίαν ταύτην ἀποδύσῃ πᾶσαν, διπλοῦν τὸ στέφανον ἕξεις,
μὴ τὸ ἀνδρὸς στεφανηφορήσασα καὶ συμπλέουσα τῷ σοὶ ἀκηράτους ἀγῶνας ἐκείνους, καὶ τῶν
ἀγωνίων ἀπολαύουσα ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλαν- 25
θρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΧΨΣ ιγ. Ομιλ. ο. ΠΡΟ ΔΕ ΤΗΣ ΕΟΡΤΗΣ ΤΟΥ ΠΑΣΧΑ, ΕΙ-
δὼς ὁ Ἰησοῦς ὅτι ἦλθεν αὐτοῦ ἡ ὥρα, ἵνα μεταβῇ ἐκ τοῦ κόσμου τούτου πρὸς
τὸν πατέρα, ἀγαπήσας τοὺς ἰδίους τοὺς ἐν τῷ κόσμῳ, εἰς τέλος ἠγάπη- 30
σεν αὐτούς.

Α. Κορ. ια. α. Μιμηταί μου γίνεσθε, φησὶν ὁ Παῦλος, καθὼς κἀγὼ Χριστοῦ. διὰ γὰρ
τοῦτο καὶ σάρκα ἐκ τοῦ φυράματος ἔλαβε τοῦ ἡμετέρου, ἵνα δι' αὐτῆς
Ρωμ. η. γ. ἡμᾶς παιδεύσῃ τοῦ ἀρετοῦ. Ἐν γὰρ ὁμοιώματι σαρκός, φησιν, ἁ- 35
μαρτίας, καὶ περὶ ἁμαρτίας κατέκρινε τὴν ἁμαρτίαν ἐν τῇ σαρκί. Καὶ αὐ-
Ματθ. ια. κθ. τὸς ὁ Χριστὸς φησι· Μάθετε ἀπ' ἐμοῦ ὅτι πραΰς εἰμι καὶ ταπεινὸς
τῇ καρδίᾳ· καὶ ταῦτα οὐ διὰ ῥημάτων μόνον, ἀλλὰ καὶ διὰ τῶν πραγ-
μάτων ἐδίδασκε. καὶ γὰρ καὶ Σαμαρείτιδι καὶ δαιμονιῶντα αὐτὸν ἐκάλεσε, καὶ πλάνον, καὶ λί-
θους ἠφίεσαν κατ' αὐτοῦ· καὶ νῦν μὲν ὑπηρέτας ἀπέστελλον ἵνα φαεισάμενοι, ὥστε αὐτὸν" συλ- 40 χ. ἀναιλῶσι
λαβεῖν, νῦν δ' ἄλλους καθίεσαν ὑπεξουλεύοντας· καὶ αὖθις πολλάκις ὑβρίζοντες διετέλεσαν, καὶ
ταῦτα οὐδὲν ἔχοντες ἐγκαλεῖν, ἀλλὰ καὶ εὑρεσιτεχνοῦντες διωκεσμούς." καὶ ὅμως μὴ τοσαῦτα χ. ἀπὸ
οὐκ ἀφίσασαι αὐτοῖς ἐν ποιῷ καὶ διὰ ῥημάτων καὶ διὰ πραγμάτων. καὶ οἰκέτου δέ τινος ῥα-
πίσαντος αὐτόν, φησιν· Εἰ μὲ κακῶς ἐλάλησα, μαρτύρησον περὶ τοῦ κακοῦ· εἰ δὲ καλῶς,
τί

τί με δέρεις; ἀλλ' ἐκεῖνα μὲν πρὸς τοὺς ἐχθροὺς καὶ τοὺς ἐπιβουλεύοντας. ἴδωμεν δὲ καὶ πρὸς τοὺς μαθητὰς τί ποιεῖ νῦν· μᾶλλον δὲ καὶ ἃ νῦν ἐπιδείκνυται πρὸς τὸν ἐπίβουλον. ὃν γὰρ μάλιστα πάντων ἐχρῆν μισεῖν, ὅτι μαθητὴς ὤν, καὶ τραπέζης καὶ ἁλῶν κοινωνήσας, καὶ θαύματα ἰδών, καὶ τοσούτων ἀξιωθείς, πάντων ἐποίησε χαλεπώτερα, λίθοις μὲν οὐ βάλλων, οὐδὲ ὑβρίσας, ἀλλὰ προδοὺς αὐτὸν καὶ παραδούς, τοῦτον ὅρα πῶς φιλοφρόνως δέχεται, νίπτων αὐτοῦ τοὺς πόδας. καὶ γὰρ ταύτῃ αὐτὸν κατασχεῖν ἐβούλετο τῆς πονηρίας ἐκείνης. καίτοιγε ἐκεῖνον, εἴπερ ἤθελε, καὶ ξηρᾶναι αὐτὸν ὡς τὴν συκῆν, καὶ διατεμεῖν ὥσπερ τὰς πέτρας ἔρρηξε, καὶ διασχίσαι ὥσπερ τὸ καταπέτασμα· ἀλλ' οὐκ ἐβούλετο ἀνάγκῃ, ἀλλὰ προαιρέσει τῆς ἐπιβουλῆς αὐτὸν ἀπαγαγεῖν. διὰ τοῦτο καὶ ἔνιπτε τοὺς πόδας· καὶ οὐδὲ τοῦτο ᾐδέσθη ὁ ταλαίπωρος ἐκεῖνος καὶ ἄθλιος. Πρὸ δὲ τῆς ἑορτῆς τοῦ πάσχα, φησίν, εἰδὼς ὁ Ἰησοῦς ὅτι ἦλθεν αὐτοῦ ἡ ὥρα. οὐ τότε εἰδώς, ἀλλ' ὅτι ἐποίησεν, ὅπερ ἐποίησεν, εἰδὼς πάλαι. ἵνα μεταβῇ. μεγαλοφρόνως ὁ εὐαγγελιστὴς μετάβασιν αὐτοῦ τὸν θάνατον καλεῖ. ἀγαπήσας τοὺς ἰδίους, εἰς τέλος ἠγάπησεν αὐτούς. εἶδες πῶς μέλλων ἐγκαταλιμπάνειν αὐτοὺς σφοδροτέραν τὴν ἀγάπην ἐπιδείκνυται; τὸ γάρ, ἀγαπήσας, εἰς τέλος ἠγάπησεν αὐτούς, τοῦτο δηλοῖ, οὐδὲν ἐνέλιπεν ὧν τὸν σφόδρα ἀγαπῶντα εἰκὸς ἦν ποιῆσαι. τί δήποτε δὲ οὐκ ἐξ ἀρχῆς τοῦτο ἐποίησε; τὰ μείζονα ὕστερον ἐργάζεται, ὥστε αὐτῶν ἐπιτεῖναι τὴν οἰκείωσιν, καὶ πολλὴν αὐτοῖς προαποθέσθαι παράκλησιν πρὸς τὰ μέλλοντα ἐπιέναι δεινά. ἰδίους δὲ αὐτοὺς λέγει κατὰ τὸν τῆς οἰκειώσεως λόγον· ἐπεὶ καὶ ἄλλους ἰδίους λέγει κατὰ τὸν τῆς δημιουργίας, ὡς ὅταν λέγῃ· Οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον. (Ιωαν. α. ια.) τί δέ ἐστι, τοὺς ἐν τῷ κόσμῳ; ἐπειδὴ ἦσαν αὐτοῦ ἴδιοι καὶ οἱ τετελευτηκότες, οἱ περὶ τὸν Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ, καὶ οἱ κατ' ἐκείνους· ἀλλ' οὐκ ἐν τῷ κόσμῳ ἦσαν ἐκεῖνοι. ὁρᾷς ὅτι παλαιᾶς καὶ καινῆς αὐτός ἐστιν ὁ Θεός; τί δέ ἐστιν, εἰς τέλος ἠγάπησεν αὐτούς; ἔμεινεν ἀγαπῶν διηνεκῶς, καὶ τεκμήριον τῆς πολλῆς ἀγάπης τοῦτο λέγει. καίτοιγε ἀλλαχοῦ ἕτερον εἶπε, τὸ, τὴν ψυχὴν τεθεῖναι ὑπὲρ τῶν φίλων αὐτοῦ· ἀλλ' οὔπω ἐκεῖνο ἐγεγόνει. τίνος δὲ ἕνεκεν τοῦτο [νῦν] ἐποίησεν; ὅτι πολλῷ θαυμαστότερον ἦν, ὅτε λαμπρότερος παρὰ πᾶσιν ἐφαίνετο· καὶ παραμυθίαν δὲ οὐ μικρὰν κατέλιπε μέλλων ἀναχωρεῖν. ἐπειδὴ γὰρ ἔμελλον ὀδυνᾶσθαι σφοδρῶς, ἀντίρροπον αὐτοῖς διὰ τούτων παράκλησιν ἐπεισάγει.

γ. ποιεῖ — γ. μεγαλοφροσύνης — γ. ἐπιτεῖναι,

2 Καὶ δείπνου γινομένου, τοῦ διαβόλου βεβληκότος εἰς τὴν καρδίαν Ἰούδα, ἵνα παραδῷ αὐτόν. Τοῦτο ἐκπληττόμενος εἶπεν ὁ εὐαγγελιστὴς δηλῶν, ὅτι τοῦτον, τὸν ἤδη προδοῦναι ἐλόμενον αὐτόν, ἔνιψε. δείκνυσι δὲ αὐτοῦ πολλὴν τὴν πονηρίαν, ὅτι οὐδὲ τῶν ἁλῶν αὐτὸν ἡ κοινωνία κατέσχεν, ὃ μάλιστα οἶδεν ἐπέχειν πονηρίαν, οὐ τὸ μέχρι τῆς ἐσχάτης ἡμέρας παραμεῖναι τὸν διδάσκαλον αὐτοῦ διαβαστάζοντα.

γ. παρενέβαλεν ὁ εὐαγ.

3 Εἰδὼς δὲ ὁ Ἰησοῦς ὅτι πάντα αὐτῷ εἰς χεῖρας δέδωκεν ὁ πατήρ, καὶ ὅτι ἀπὸ Θεοῦ ἐξῆλθε, καὶ πρὸς τὸν Θεὸν ὑπάγει. Ἐνταῦθα καὶ θαυμάζων λέγει, ὅτι ὁ τοσοῦτος καὶ τηλικοῦτος, ὁ παρὰ Θεοῦ ἐλθών, καὶ πρὸς αὐτὸν ἀπιών, ὁ πάντων κρατῶν, τοῦτο εἰργάσατο· καὶ οὐδὲ οὕτως ἀπηξίωσε καταδέξασθαι πρᾶγμα τοσοῦτον. παράδοσιν δέ, ὡς ἐμοὶ δοκεῖ, τὴν τῶν πιστῶν σωτηρίαν ἐνταῦθα καλεῖ. καὶ γὰρ ὅταν λέγῃ, Πάντα μοι παρεδόθη παρὰ τοῦ πατρός μου, (Ματθ. ια. κζ.) ταύτην λέγει τὴν παράδοσιν· ὡς καὶ ἀλλαχοῦ φησι, Σοὶ ἦσαν, καὶ ἐμοὶ αὐτοὺς δέδωκας· (Ιωαν. ιζ. ς.) καὶ πάλιν, Οὐδεὶς δύναται ἐλθεῖν πρός με, ἐὰν μὴ ὁ πατὴρ ἑλκύσῃ αὐτόν· (Ιωαν. ς. μδ.) καὶ, Ὅτι ἐὰν μὴ ᾖ δεδομένον αὐτῷ ἐκ τοῦ οὐρανοῦ. (Ιωαν. γ. κζ.) ἢ τοῦτό φησιν, ἢ ὅτι οὐδὲν ἐλαττοῦσθαι ἔμελλεν ἀπὸ τούτου, ἀπὸ Θεοῦ ἐξελθὼν καὶ πρὸς τὸν Θεὸν ὑπάγων καὶ πάντα ἔχων. ὅταν δὲ ἀκούσῃς παράδοσιν, μηδὲν ἀνθρώπινον ὑπολάβῃς. τὴν γὰρ εἰς τὸν πατέρα ἐνδείκνυται τιμὴν καὶ ὁμόνοιαν. ὥσπερ γὰρ ὁ πατὴρ αὐτῷ παραδίδωσιν, οὕτω καὶ αὐτὸς τῷ πατρί. καὶ δηλοῖ Παῦλος λέγων, Ὅταν παραδῷ τὴν βασιλείαν τῷ Θεῷ καὶ πατρί. (α. Κορ. ιε. κδ.) ἀνθρωπινώτερον δὲ αὐτὸ ἐνταῦθα εἶπε, τὴν πολλὴν περὶ αὐτοὺς ἐπιμέλειαν δεικνύμενος καὶ τὴν ἄφατον περὶ

γ. παρέδωκεν — γ. ἢ τοῦτό φησιν, ὅτι — γ. καθὼς φησι — γ. ἐνδ.

αὐτούς

αὐτοὺς ἐμφαίνων ἀγάπην, ὅτι ὡς οἰκείων ἐπεμελεῖτο λοιπὸν, διδάσκων αὐτοὺς τὴν μητέρα τῶν ἀγαθῶν τὴν ταπεινοφροσύνην, ἣν καὶ ἀρχὴν καὶ τέλος ἔφησεν εἶναι τῆς ἀρετῆς. οὐχ ἁπλῶς δὲ πρόσκειται τὸ, ἀπὸ Θεοῦ ἐξῆλθε καὶ πρὸς τὸν Θεὸν ὑπάγει· ἀλλ' ἵνα μάθωμεν ὅτι ἄξια ἐποίει τοῦ ἐκεῖθεν ἐλθόντος καὶ ἐκεῖ ἀπιόντος, ἅπαντα καταπατῶν τῦφον.

4 Καὶ ἀναστὰς ἀπὸ τοῦ δείπνου, τίθησι τὰ ἱμάτια. Ὅρα πῶς οὐ τῷ νίψαι μόνον, ἀλλὰ καὶ ἑτέρως τὸ ταπεινὸν ἐνδείκνυται. οὐ γὰρ πρὶν ἢ κατακλιθῆναι, ἀλλὰ μετὰ τὸ ἀναπεσεῖν πάντας, τότε ἀνέστη. ἔπειτα οὐδὲ ἁπλῶς νίπτει, ἀλλὰ τὰ ἱμάτια ἀποτιθέμενος. καὶ οὐδὲ μέχρι τούτων ἔστη, ἀλλὰ καὶ λέντιον διεζώσατο. καὶ οὐδὲ τούτῳ ἠρκέσθη· ἀλλὰ καὶ αὐτὸς ἐγέμισε, καὶ οὐχ ἑτέρῳ πληρῶσαι ἐκέλευσεν, ἀλλὰ πάντα αὐτὸς ἐργάζεται ταῦτα, διὰ πάντων δεικνὺς ὅτι οὐκ ἀφοσιουμένους δεῖ ποιεῖν τὰ τοιαῦτα, ὅταν αὐτὰ ποιῶμεν, ἀλλὰ μετὰ πάσης προθυμίας. ἐμοὶ δὲ δοκεῖ τοῦ προδότου πρῶτου νίψαι τοὺς πόδας, ἐκ τοῦ εἰπεῖν,

5 Ἤρξατο νίπτειν τοὺς πόδας τῶν μαθητῶν, Καὶ ἐπαγαγεῖν,

6 Ἔρχεται πρὸς Σίμωνα Πέτρον· καὶ λέγει αὐτῷ ἐκεῖνος, σύ μου νίπτεις τοὺς πόδας; Ταῖς χερσὶ ταύταις, φησὶν, αἷς ὀφθαλμοὺς ἀνέῳξας καὶ λεπροὺς ἐκάθηρας, καὶ νεκροὺς ἀνέστησας; πολλὴν γὰρ ἔμφασιν καὶ τοῦτο ἔχει· διόπερ οὐδὲ ἐδεήθη αὐτῷ τι πλέον εἰπεῖν, ἢ τὸ σύ. καὶ γὰρ καθ' ἑαυτὸ ἱκανὸν ἦν τὸ πᾶν ἐνδείξασθαι. Ζητήσειε δ' ἄν τις εἰκότως, πῶς οὐδεὶς αὐτὸν τῶν ἄλλων ἐκώλυσεν, ἀλλὰ Πέτρος μόνος, ὅπερ οὐ μικροῦ φίλτρου καὶ αἰδοῦς ἦν. τίς οὖν ἐστιν ἡ αἰτία; ἐμοὶ δοκεῖ πρότερον τὸν προδότην νίψαι, εἶτα πρὸς τὸν Πέτρον ἐλθεῖν, καὶ τοὺς ἄλλους ἀπ' ἐκείνου παιδευθῆναι λοιπόν. ὅτι μὲν οὖν ἄλλον τινὰ πρὸ αὐτοῦ ἔνιψε, δῆλον ἐκ τοῦ εἰπεῖν, ὅτε δὲ ἦλθε πρὸς Πέτρον. ἀλλ' οὐκ ἔστι σφοδρὸς κατήγορος ὁ εὐαγγελιστής. τὸ γὰρ ἤρξατο, τοῦτό ἐστιν αἰνιττομένου. εἰ δὲ καὶ ὁ Πέτρος πρῶτος ἦν, ἀλλ' εἰκὸς τὸν προδότην ἰταμὸν ὄντα καὶ πρὸ τοῦ κορυφαίου κατακλιθῆναι. καὶ γὰρ καὶ ἑτέρωθεν τὸ ἰταμὸν αὐτοῦ δείκνυται, ὅταν βάπτῃ μετὰ τοῦ διδασκάλου, καὶ ὅταν ἐλεγχόμενος μὴ κατανύσσηται. ἀλλ' ὁ μὲν Πέτρος ἅπαξ ἐπιτιμηθεὶς ἐν τοῖς ἔμπροσθεν, καὶ ταῦτα ἀπὸ φιλοστοργίας τὰ ῥήματα εἰπὼν, οὕτω συνεστάλη, ὡς καὶ ἀγωνιῶν καὶ τρέμων ἑτέρου δεηθῆναι πρὸς τὴν ἐρώτησιν· οὗτος δὲ συνεχῶς ἐλεγχόμενος οὐκ ᾐσθάνετο.

6 Ὅτε γοῦν ἦλθε πρὸς τὸν Πέτρον, λέγει αὐτῷ ἐκεῖνος· Κύριε, σύ μου νίπτεις τοὺς πόδας;

7 Λέγει αὐτῷ· ὃ ἐγὼ ποιῶ, σὺ οὐκ οἶδας ἄρτι· γνώσῃ δὲ μετὰ ταῦτα.

Τουτέστι, τὸ κέρδος ὅσον τὸ ἐκ τούτου, τὴν ὠφέλειαν τῆς διδασκαλίας, καὶ πῶς ἱκανὸν εἰς πᾶσαν ἀγαγεῖν ταπεινοφροσύνην ἡμᾶς. τί οὖν ὁ Πέτρος; ἔτι κωλύει, καὶ λέγει·

8 Οὐ μὴ νίψῃς τοὺς πόδας μου εἰς τὸν αἰῶνα. Τί ποιεῖς, ὦ Πέτρε; οὐ μέμνησαι τῶν προτέρων ῥημάτων; οὐκ εἶπας, ἵλεώς σοι, καὶ ἤκουσας, ὕπαγε ὀπίσω μου Σατανᾶ· καὶ οὐδὲ οὕτω σωφρονίζῃ, ἀλλ' ἔτι σφοδρὸς εἶ; ναὶ, φησί· πολὺ γὰρ τὸ γινόμενον καὶ ἐκπλήξεως γέμον. ἐπεὶ οὖν ἀπὸ πολλῆς ἀγάπης τοῦτο ἔπραττεν ἐκεῖνος, ἀπὸ τῆς αὐτῆς αὐτὸν χειροῦται πάλιν καὶ ὁ Χριστὸς, ὥσπερ [οὖν] καὶ ἐκεῖ σφοδρῶς ἐπιτιμήσας καὶ εἰπὼν, Σκάνδαλόν μοι εἶ, (Ματθ. 15. κγ.) οὕτω καὶ ἐνταῦθα λέγων, Ἐὰν μὴ νίψω σε, οὐκ ἔχεις μέρος μετ' ἐμοῦ. Τί οὖν ὁ θερμὸς καὶ διακαής;

9 Κύριε, μὴ τοὺς πόδας μου μόνον, ἀλλὰ καὶ τὰς χεῖρας καὶ τὴν κεφαλήν. Καὶ ἐν τῇ παραιτήσει σφοδρὸς, καὶ ἐν τῇ συγχωρήσει σφοδρότερος γέγονε· ἑκάτερα δὲ ἐξ ἀγάπης. διὰ τί γὰρ οὐκ εἶπε, τίνος ἕνεκεν ἐποίει τοῦτο, ἀλλ' ἀπειλὴν ἐνέθηκεν; ὅτι ἐκεῖνος μὲν οὐκ ἂν ἐπείσθη. εἰ γὰρ εἶπεν, ἔασον, διὰ γὰρ τούτου πείθω ὑμᾶς ταπεινοφρονεῖν, ὑπέσχετο ἂν μυριάκις τοῦτο ὑπὲρ τοῦ μὴ τὸν δεσπότην τοῦτο ποιῆσαι. (Ιωαν. 15. ἰ.) νῦν δὲ τί φησιν; ὃ μάλιστα ἐδεδοίκει καὶ ἔτρεμε, τὸ διαχωρισθῆναι αὐτοῦ. αὐτὸς γάρ ἐστιν ὁ συνεχῶς ἐρωτῶν, ποῦ ὑπάγεις; διόπερ καὶ ἔλεγεν, ὅτι

ὅτι καὶ τὴν ψυχήν" δώσω ὑπὲρ σοῦ. Εἰ γὰρ ἀκούσας, ὅτι οὐκ οἶδας ὁ ποιῶ ἐγώ, γνώσῃ δὲ μετὰ ταῦτα, σοὶ δ' ὅπως ἀπέσῃ, πολλῷ μᾶλλον, εἰ ἔμαθε. Διὰ γὰρ τοῦτο εἶπε, γνώσῃ δὲ μετὰ ταῦτα, εἰδὼς, ὅτι ἐμὲ νεῦν μάθῃ, ἀντιπείσεται ἐκεῖνα. καὶ οὐκ εἶπε, δίδαξον οὖν με, ἵνα ἀφῶ· ἀλλ' ὁ πολλῷ σφοδρότερον ἐκεῖνα, οὐδὲ μαθεῖν ἠνείχετο, ἀλλ' ἐνίσταται λέγων· οὐ μὴ νίψῃς μου τοὺς πόδας. ὅπερ δὲ ἠπείλησεν, εὐθέως ἐχάλασε καὶ τοῦτο. Τί δέ ἐστι, γνώσῃ μετὰ ταῦτα; μετὰ ταῦτα· ποτε; ὅταν τῷ ἐμῷ ὀνόματι δαιμόνια ἐκβάλῃς, φησίν· ὅταν ἴδῃς εἰς τοὺς ἀέρινους ἀναλαμβανόμενον· ὅταν τοῦτο τὸ παθος μάθῃς, ὅτι ἐκ δόξαν" κάθηται, τότε εἴσῃ ὃ νεῦν γινόμενον. Τί οὖν ὁ Χριστός; ὅπερ εἶπεν ὁ Πέτρος, μὴ τοὺς πόδας μου μόνον, ἀλλὰ καὶ τὰς χεῖρας καὶ τὴν κεφαλήν,

Τὸ γὰρ ἐνεργητικὸν ἀεί, ὡς Θεῷ δόξα. τί δέ ἐστι· καθὼς ἔδωκας αὐτῷ ἐξουσίαν πάσης σαρκός; τέως δείκνυσιν, ὅτι οὐκ εἰς Ιουδαίους μόνους τὸ τοῦ κηρύγματος ἔστι ζωοποιὸν, ἀλλ' εἰς τὴν οἰκουμένην ἐκτείνεται πᾶσαν, καὶ προκαταβάλλεται προοίμια τῶν ἐθνῶν. ὅπερ γὰρ εἶπεν, εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε· μέλλει δὲ μετὰ ταῦτα λέγειν, πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, δείκνυσι καὶ τὸ πατέρα τοῦτο βουλόμενον. σφόδρα γὰρ τοῦτο ἐσπανδάλιζεν Ιουδαίους, ὡς καὶ μαθητὰς δέ. οὐδὲ γὰρ μετὰ ταῦτα εὐκόλως ἠνείχοντο τῶν ἐθνῶν ἅπτεσθαι, ἕως τὴν τοῦ πνεύματος ἔλαβον διδασκαλίαν. καὶ γὰρ ὁ μικρὸν σκάνδαλον ἐντεῦθεν Ιουδαίοις ἐγένετο. μετὰ οὖν [τὸ] ἀναστῆναι τοῦ πνεύματος ἐπιδεῖξαι, εἰς τὰ Ιεροσόλυμα πορευόμενος ὁ Παῦλος, μάλιστα ἅπτεται ἐγκλήματα διαφυγεῖν, εἰπὼν τὰ μὴ τὴν σινδόνα. τί δέ ἐστιν, ἔδωκας αὐτῷ ἐξουσίαν πάσης σαρκός; πότε ἄρα τὴν ἐξουσίαν ταύτην ἔλαβεν, ἐρήσομαι τοὺς αἱρετικούς; πρὸ τοῦ πλάσαι αὐτούς, ἢ μετὰ τὸ πλάσαι; αὐτὸς μὲν γὰρ φησι μετὰ τὸ σταυρωθῆναι καὶ ἀναστῆναι. τότε γοῦν λέγει, ἐδόθη μοι πᾶσα ἐξουσία· πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη. τί οὖν; οὐκ εἶχεν ἐξουσίαν τῶν ἔργων τῶν ἑαυτοῦ· ἀλλ' ἐποίησε μὲν αὐτούς, ἐξουσίαν δὲ αὐτῶν οὐκ εἶχε μὴ τὸ ποιῆσαι; καὶ μὴν φαίνεται πάντα αὐτὸς ποιῶν καὶ ἐν τοῖς ἄνω χοροῖς, καὶ τοὺς μὴ κωλάζων ὡς ἀμαρτάνοντας (οὐ μὴ κρύψω γάρ, φησὶν, ἀπὸ τοῦ παιδός μου Ἀβραάμ, ὃ ἐγὼ μέλλω ποιεῖν) τοὺς δὲ καὶ διορθοῦσθαι. Εἶτα τότε μὲν εἶχε, νῦν δὲ ἀπώλεσε, καὶ πάλιν ἔλαβε; καὶ ποῖος ἂν ταῦτα δαίμων ἐφθέγξατο; Εἰ δὲ ἡ αὐτὴ ἐξουσία καὶ τότε καὶ νῦν (ὥσπερ γὰρ ὁ πατὴρ ἐγείρει, φησὶ, τοὺς νεκροὺς καὶ ζωοποιεῖ, οὕτω καὶ ὁ υἱὸς οὓς θέλει ζωοποιεῖ) τί δὴ, τὸ εἰρημένον; ἔμβλεψον αὐτοὺς πέμπειν εἰς τὰ ἔθνη· ἵν' οὕτω μὴ νομίσωσι καινοτομίαν εἶναι ἐξ τὸ λέγειν, οὐκ ἀπεστάλην, εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ισραὴλ, δείκνυσι καὶ τοῦ πατρὸς τοῦτο βουλόμενον. Εἰ δὲ μὴ πολλῆς αὐτοῦ τῆς εὐτελείας φθέγγεται, θαυμάσῃς οὐδέν. ὅταν γὰρ καὶ ἐκείνους ὠφελῆσαι τότε, καὶ οὐ μὴ ταῦτα· καὶ ὅπερ εἶπον, ἀεὶ τῇ τῆς εὐτελείας ὑπερβολῇ σφόδρα ἔπειθεν ὅτι συγκαταβάσεως ἕνεκα λεγόμενα. τί δέ ἐστι, πάσης σαρκός, ὁ γὰρ δὴ πάντες ἐπίστευσαν. καὶ μὲν, τὸ αὐτὸ μέρος, πάντες ἐπίστευσαν· εἰ δὲ μὴ προσεῖχον τοῖς λεγομένοις, ὁ τῶν διδάσκοντος τὸ ἔγκλημα, ἀλλὰ τῶν μὴ δεχομένων. χ.ἁρπαγῆν

Ινα πᾶν ὃ δέδωκας αὐτῷ, δῶ αὐτοῖς ζωὴν αἰώνιον. Εἰ δὲ καὶ ἐνταῦθα ἀνθεστηκώτερον φθέγγεται, μὴ θαυμάσῃς. τῶν τε γὰρ εἰρημένων αἰτίαν ἔνεκεν τοῦτο ποιεῖ, καὶ φυλαττόμενος ἀεὶ ὁ αὐτὸς τὸ μὴ εἰς ἑαυτὸν λέγειν μέγα, ὅθεν τοῦτο προσίσατο τοῖς ἀκροωμένοις, διὰ τὸ μηδὲν μέγα περὶ αὐτοῦ φαντάζεσθαι τέως. ὁρῶν Ιωάννης, ὅταν ἐξ οἰκείου φθέγγηται προσώπου, οὐχ οὕτω ποιεῖ, ἀλλ' ὅτι τὸ ὑψηλότερον ἀνάγκη λέγειν, οὕτω λέγων· πάντα

δι'

δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν· καὶ, ὅτι ζωὴ ἦν, καὶ ὅτι φῶς ἦν, καὶ ὅτι εἰς τὰ ἴδια ἦλθεν· οὐχ ὅτι οὐκ εἶχεν ἐξουσίαν, ἐμὴ ἔλαβεν, ἀλλ' ὅτι καὶ ἑτέροις ἔδωκεν ἐξουσίαν τοῖς γεγενημένοις τέκνα Θεοῦ. καὶ ὁ Παῦλος ὁμοίως ἴσον αὐτὸν λέγων τῷ Θεῷ. Φιλιπ.ε.ε. αἰ τὸς ὃ ἀνθρωπινώτερον αὐτοῦ ὕστερον λέγων· ἵνα πᾶν, ὃ δέδωκας αὐτῷ, δῷ αὐτοῖς ζωὴν αἰώνιον.

3 Αὕτη δέ ἐστιν ἡ αἰώνιος ζωή, ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεὸν, καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν. Μόνον ἀληθινὸν Θεὸν, τοῦτο ἀντιδιαστολὴν τῶν οὐκ ὄντων θεῶν φησι. καὶ γὰρ εἰς τὰ ἔθνη αὐτοὺς πέμπειν ἔμελλεν. εἰ δὲ οὐκ ἀνέξονται, ἀλλὰ δηλοῦσι τὸ μόνον ἐκβάλλουσι τοῦ ἀληθινὸν Θεὸν τὸν υἱόν, ὅτω τοιοῦτοι καὶ τὸν Θεὸν οὐκ ἔχουσι. καὶ γὰρ φησι, Τὸν δόξαν τὴν παρὰ τοῦ μόνου Θεοῦ οὐ ζητεῖτε. τί οὖν; οὐκ ἔστι Θεὸς ὁ υἱός; εἰ δὲ Θεὸς ὁ Ιωαν.ε.μδ. υἱός, καὶ μόνου τοῦ πατρὸς λεγομένου, ἴσον ἦν καὶ ἀληθινὸς, καὶ μόνου ἀληθινοῦ καλουμένου. τί δέ; ὅταν λέγῃ Παῦλος· Ἢ μόνος ἐγὼ καὶ Βαρνάβας, οὐκ ἐκβάλλει τὸν Βαρνάβαν; α.Κορ.θ.ς. οὐδαμῶς. τὸ γὰρ, μόνος, τοῦτο, ἀντιδιαστολὴν ἑτέρων ἐστί. εἰ δὲ οὐκ ἀληθινὸς Θεὸς, πῶς ἀληθινά; ὁπόταν γὰρ τοῦ ἀληθινοῦ ἡ ἀλήθεια διαφέρει. τὸν μὴ ἀληθινὸν ἄθεον εἶναι φαίη τις ἂν, καὶ οὐδὲν ἄθεον; ὅπως, εἰ ἀληθινὸς Θεὸς οὐκ ἔστιν ὁ υἱός, πῶς ἔστι Θεός; πῶς ὃ ἡμᾶς θεοὺς ποιῆσαι καὶ υἱοὺς, μὴ ὢν ἀληθινός; ἀλλ' ὑπὲρ τούτων ἀκριβέστερον ἡμῖν ἐν ἑτέροις εἴρηται. διὸ τῶν ἑξῆς ἐχώμεθα.

4 Ἐγώ σε ἐδόξασα ἐπὶ τῆς γῆς. Καλῶς εἶπε, ὅπου τῆς γῆς. ἐν γὰρ τῷ οὐρανῷ δεδόξασται ἐν τε τῇ φύσει τὴν δόξαν ἔχων, καὶ τοῦτο τῶν ἀγγέλων θεραπευόμενος. οὕτω δὲ καὶ ἐκείνης τῆς δόξης φησὶ τὴν τῇ οὐσίᾳ αὐτοῦ συγκεχλημένης (ἐκείνην γὰρ τὴν δόξαν, καὶ μηδεὶς αὐτὸν δοξάσῃ, θᾶττον πεπληρωμένην ἔχων) ἀλλὰ ταύτην φησὶ τὴν ἀπὸ τῆς τῶν ἀνθρώπων λατρείας γινομένην. ὁμοίως καὶ τὸ, δόξασόν με, τοιοῦτόν ἐστι. καὶ ἵνα μάθῃς, ὅτι τὸν τρόπον τῆς δόξης φησὶν, ἄκουσον τῶν ἑξῆς. Τὸ ἔργον ἐτελείωσα, ὃ δέδωκάς μοι ἵνα ποιήσω αὐτό. Καίπερ [γε] ἀρχὴν ἔτι τοῦ θαύματος εἶχε, μᾶλλον δὲ οὐδὲ ἀρχήν. πῶς οὖν λέγει, ἐτελείωσα; ἢ ὅτι ὃ ἐμαυτῷ πᾶν ἐποίησα· ἢ ὅτι τὸ ἐσόμενον, ὡς ἤδη γενόμενον λέγει· ἢ ὃ μάλιστα πάντων ἐστὶν εἰπεῖν, ὅτι τὸ πᾶν ἐμοῦ ἤδη γεγενημένου τῆς τῶν ῥιζῶν τῶν ἀγαθῶν καταβεβλημένης, ἢ πάντως δὲ δυάσεως ἐμέλλον ἔψεσθαι οἱ καρποὶ, καὶ τῶν τοῖς μέλλουσι μὴ τῶν παρόντων ἀπόνειαν καὶ ζωοφάνειαν δηλοῦντος πάλιν συλλαβατικῆς φησιν, ὃ ἔδωκάς μοι. εἰ γὰρ δὴ θεμένου ἀκοῦσαι καὶ μαθεῖν, πολὺ τῶν τῆς δόξης αὐτοῦ ἀποδεόντων ἂν εἴη. ὅτι γὰρ δὲ οἰκείας ὅτι τῆς γνώμης ἦλθε, πολλαχόθεν δῆλον· ὡς ὅταν λέγῃ Παῦλος, Ὅτι οὕτως ἠγάπησεν ἡμᾶς, ὥστε παραδοῦναι ἑαυτὸν ὑπὲρ ἡμῶν· καὶ, Ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβών· Φιλιπ.β.ζ. Ιωαν.ιι.θ. καὶ πάλιν, καθὼς ἠγάπησέ με ὁ πατήρ, κἀγὼ ἠγάπησα ὑμᾶς. 5 Δόξασόν με σὺ πάτερ παρὰ σεαυτῷ τῇ δόξῃ, ᾗ εἶχον, πρὸ τοῦ τὸν κόσμον εἶναι, παρὰ σοί. Καὶ ποία ἡ δόξα ἐκείνη; ἔστω μὴ γὰρ παρὰ ἀνθρώπου εἰκότως ἀδόξου ἐμοῦ δηλοῦ τὸ πρεπεκείμενον ἔνδυμα· πῶς καὶ παρὰ Θεῷ δοξασθῆναι ζητεῖ; ἢ οὖν ἐν ταύτῃ φησὶ; πρὸ τῆς οἰκονομίας ὁ λόγος· ἐπεὶ ὅπῳ δεδόξασο τῆς σαρκὸς ἡ φύσις, οὐδὲ ἀφθαρσίας ἀπολαύουσα, ὅτε τοῦ θεοῦ κοινωνήσασα τοῦ βασιλικοῦ. δηλοῦ τοῦτο οὐκ εἶπεν, ὅπου τῆς γῆς· ἀλλὰ παρὰ σοί.

Ταύτης καὶ ἡμεῖς ἀπολαυσόμεθα τῆς δόξης κἂν ὀλίγοι μέγεθος, ἐὰν νήφωμεν. ΗΘΙΚΟΝ δὲ τοῦτο Παύλου φησὶν· Εἴπερ συμπάσχομεν, ἵνα καὶ συνδοξασθῶμεν. μυρίων ἄρα ἀξίοι Ρω.η.ιζ. δακρύων ἐσμὲν, τοσαύτης παρεκειμένης δόξης, δηλονότι καὶ ὕπνον ἀποβαλόντες ἑαυτοῖς. καὶ εἰ γέεννα μὴ ἦν, ἀθλιώτεροι πάντων, οἷς βασιλεῦσαι πρὸν καὶ συνδοξασθῆναι τῷ υἱῷ τοῦ Θεοῦ, τοσούτων ἑαυτοὺς ἀποστερωῦντες ἀγαθῶν. εἰ γὰρ κατακοπῆναι ἔδει, εἰ γὰρ μυρίας ἀποθανεῖν θανάτους, εἰ μυρίας ὑπεδύναι ψυχὰς καὶ τοσαῦτα σώματα καθ' ἑκάστην ἡμέραν· οὐκ ἔδει τοσαῦτα ὑπομεῖναι ὑπὲρ τοσαύτης δόξης· νυνὶ δὲ οὐδὲ ἓν μικρὸν καταφρονοῦμεν,

νοδρμῶμ, ὥσπερ ὕστερον ἐξ ἀχόντες ἀπεσπάσθημεν· ὁ καταφρονοδρμῶν χρημάτων, τῶν μυρίοις ἡμᾶς περιβαλλόντων κακοῖς, τῶν σκληρῶν ἀφαιρουμένων, τῶν ἐκ τούτων ἡμῶν· τὰ γὰρ ἐκ ἡμῶν ἐξοικειοδρμῶμ, καὶ πατρῷα ἔχωμεν. ὅταν ὁ λέων πεσῇ, ὁ σκώληξ ἀτελεύτητος, ὁ ἄσβεστον πῦρ, ὁ βρυγμὸς ὀδόντων, πῶς οἴσομεν ταῦτα, εἰπέ μοι; μικρὸς τίνος ὁ πόλεμος ἐστίν; ἀλλ' εἰς μάχας καθημερινὰς καὶ φιλονεικίας καὶ λόγους ἀνωφελεῖς τὸ πᾶν δαπανῶμεν, τῷ γαστρὶ τρέφοντες, τὸ σῶμα πιαίνοντες, καὶ τῆς ψυχῆς ἀμελοῦντες· τῶν μὴ ἀναγκαίων οὐδένα ποιούμενοι λόγον, τῶν δὲ περιττῶν καὶ ἀνοήτων πολλὴν τὴν φροντίδα; καὶ λαμπρυσύς μὲν οἰκοδομοῦμεν τοίχους, καὶ ὠνούμεθα πολυτελῆς οἰκίας, καὶ παντοδαπῶν οἰκετῶν ἀτέλειαν εἰσφερόμεν, καὶ οἰκονόμους διαφόρους ὑπονοοῦμεν, ἀγρῶν, οἰκιῶν, χρημάτων ἄρχοντας, καὶ ἀρχόντας ἀργόντων καθιστῶντες· τῆς δὲ ψυχῆς ἠρημωμένης οὐδεὶς ἡμῖν λόγος. καὶ τί τούτων ἔσται τὸ φέρας; οὐχὶ μίαν γαστέρα πληροῦμεν; οὐχὶ ἓν σῶμα περιβαλλόμενοι; πῆς ὁ πολὺς τῶν θορύβος; τί δήποτε, ὧν ἕνεκα τὴν μίαν ταύτην ζωὴν ἐλαχόμεν, ταύτην ἀκάνθομεν, ταῦτα πράττομεν εἰς τοιοῦτον λειτουργίαν, χαλεπὴν ἑαυτοῖς ὑπονοοῦντες σωτηρίαν; ὁ δὲ πλείων δεσμὸς, πολλῶν σωμάτων κρατεῖ τούτων. ἐπεὶ καὶ τῶν οἰκετῶν πολυτελὴς ἐστὶν ὁ δεσποτικὸς, καὶ θεραπείας ἕτερον εἰσφέρει βάρος μείζονα· καὶ ἄλλως ὁ πολὺς χωρεῖ ἐκείνων οὐκ εἰς ἀγορὰν ἐμβαλεῖν πολεμοῦν, οὐκ εἰς βαλανεῖον, οὐκ εἰς ἀγῶνα· ὅπου ὁ πολλάκις χωρεῖ ἐκείνου παντοῦ περιιέναι. ἀλλ' ὁ πλοῦτος ἐστὶ κύριος, ἂν μὴ πρᾶσιν ἡ πολλοῖ, ὁ πολλὰ προσελθεῖν εἰκόθεν, ἀλλὰ κἂν προσκύψῃ τῆς οἰκίας μόνος, καταγέλαστον ἑαυτὸν ἐνομίζει. τάχα τινὲς γελῶσιν ἡμᾶς ταῦτα λέγοντας· ἀλλὰ διὰ τοῦτο μείζονα δακρύων ἄξιοι ἂν εἶεν. ὅτι γὰρ δουλείᾳ τοῦτο, ἡδέως ἂν σε ἐρωτήσαιμι· ἐδούλου δεῖσθαι τῶν ἡδυσμάτων τῷ σώματι συν προσκρούοντος, ἢ τοῦ κύλικα τοῖς χείλεσι προσάγοντος; ὁ δὲ δακρύων ἐνόμιζες ἀξίους εἶναι τοῦ μηκέτι ταῦτα; τί δ', εἰ βαστάζοι σου λινᾶν ἑτέρου πρὸς ὃ βούλοιο διωκόν, οὐκ ἂν σεαυτὸν ἐλεεινὸν ὁ ἀθλιώτερον τούτου πάντων ἐνόμιζες; οὐκοῦν ὁ νῦν ὕστερον ἐκεῖθεν ἐστὶ· πολὺ γὰρ μᾶλλον φέρει, εἴπερ ὑπὸ ἀλόγων, εἴτε ὑπὸ ἀνθρώπων ταῦτά τις πάσχοι. τί δ', εἰπέ μοι· ἐκεῖ ὁ ταύτην διεκβαίνων ἡμῶν ἄγγελος, ὅτι οὐ δέονται ὅσων ἡμεῖς; οὐκοῦν ὅσῳ μὲν ἐλαττόνων δεόμεθα, τοσούτῳ πρὸς ἐκείνους εὐδρόμου· ὅσῳ δὲ πλειόνων, τοσούτῳ πρὸς τὸν ὑπάκουον τοῦτον καταπίπτομεν βίον. ὁ ἵνα μάθῃς, ὅτι ταῦτα ὕστερα ἐκεῖ, ἐρώτησον ἐκεῖ γενηθέντας, ποῖον μακαρίζουσι βίον, τὸν ὅτε ἐκ τοιούτων μετίσιν, ἢ τὸν ὅτε αὐτῶν κρατοῦσιν; ἐκεῖ γὰρ τοῦτο αὐτοῖς ἐκείνοις ἐκπλήττει, ὅτι οἱ νεότητι μυρίοντες οὐδὲ ἴσασι τῆς δουλείας τὸν χαροπολύν. τί δ' οἱ πορευόμενοι· ὅταν πολλὰ διψῶντες πολλὰ πίνωσι καὶ πολλῶν δέωνται, ἢ ὅταν ὑγιάναντες ἀπαλλαγῶσι τῆς ὑπερβολῆς, ἑαυτοὺς μακαρίζουσιν; ὁρᾷς, ὅτι πάντα χορὸν τὸ πολλῶν δεῖσθαι ἐλεεῖν, καὶ πόρρω φιλοσοφίας, τῆς δουλείας καὶ ὑπερβολῆς ὑπάρχει; τί τοίνυν ἐκόντες ὑπομένομεν ἑαυτοῖς τὴν ἀθλιότητα; εἰπὲ γάρ μοι· εἰπὲ μοι χωρεῖς στέγης καὶ τοίχων μηδὲν βλαπτόμενον οἰκεῖν, οὐκ ἂν ἕλοιο τοῦτο μᾶλλον; τίνος οὖν ἕνεκεν τὰ σύμβολα τῆς ἀσθενείας ὑπομένεις; ὁ διὰ τοῦτο τὴν Ἀδὰμ μακαρίζομεν, ὅτι γυμνὸς ἐφείτο, οὐκ οἰκήματος, οὐκ ἐνδύματος; ναί, φησιν· ἀλλὰ νῦν ἐν χρείᾳ καθεστήκαμεν. ἵνα τοίνυν τὴν χρείαν αὐξήσωμεν· εἰ γὰρ πολλοὶ καὶ τὰ τῆς χρείας πολλὰ, πεποιήκασι (δούλους λέγω καὶ οἰκήματα καὶ χρήματα) ἵνα δὲ ἔχωμεν ἀπολογίαν, τὴν χρείαν ὑποβαλόμενοι; ὅσῳ δὲ πλείονα περιβάλλῃ, τοσούτῳ δουλικώτερος γέγονας. ὅσῳ γὰρ δὲ πλείονων δεηθῇς, τοσούτῳ τῆς ἐλευθερίας ἐπέτμησε. ἡ μὲν γὰρ ἀκριβὴς ἐλευθερία, τοῦ μηδενὸς ὅλως δεῖσθαι· ἡ δὲ μετ' ἐκείνην, τοῦ ὀλίγων δεῖσθαι, ὡς ἀγγέλοι μάλιστα ἔχουσι, καὶ τούτων μιμηταί. τοῦ δὲ καὶ ἐν θνητῷ σώματι μηδὲν ζητεῖν καταρθῶσαι τοῦτο, σκοπὸν ἡλίκον ἔχει τὸ ἔπαινον. τοῦτο καὶ ὁ Παῦλος ἔλεγε Κορινθίοις γράφων· Ἐγὼ δὲ ὑμῶν φείδομαι· καὶ, ἵνα μὴ θλίψιν τῇ σαρκὶ ἔξωσιν πιστοί. διὰ τοῦτο χρήματα λέγεται, ἵνα χρώμεθα εἰς δέον, οὐχ ἵνα φυλάττωμεν ἐξ κατορύττωμεν.

α. Κορ. ζ. κα.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ρύεσθαι. τοῦτο γὰρ οὐκ ἔστι κτήσασθαι; ἀλλὰ κτηθῆναι. Εἰ γὰρ τοῦτο μέλλοιμεν σκεπτεῖν, ὅπως αὐτὰ πολλὰ ποιήσαιμεν, οὐχ ἵνα ἀπολαύσωμεν εἰς δέον, αὐτέσπασται ἡ ζωή, καὶ σκῆνα ἡμᾶς κέκτηται, οὐχ ἡμεῖς σκῆνα. ἀπαλλαγῶμεν τοίνυν τῆς χαλεπῆς ταύτης δουλείας, καὶ θεωρήσωμεν ποτὲ ἐλεύθεροι. πῶ μείζονες ἑαυτοῖς ἐπινοήσωμεν καὶ ποικίλους δεσμούς; οὐκ ἀρκεῖ σοι τῆς φύσεως ὁ δεσμός, καὶ ἡ ἀνάγκη, καὶ ὁ τῶν μειζόνων πεσαγμὸς ὄχλος· ἀλλὰ σεαυτῷ πλέκεις δίκτυα, καὶ ποῖς ποσὶ βαρεῖς βάλλεις; καὶ πότε ἐπιλήψῃ τοῦ θέρους, καὶ ποῖς ὕφος τοῖς σὰ σκῆνος διώκῃ; ἀγαπητὸν γὰρ, ἀγαπητὸν πάντα ταῦτα διαφυγόντα τὰ χωρία διωκηθῆναι τῆς ἄνω πόλεως· τοσαῦτα ἕτερα ἐστὶ τὰ κωλύματα· ἅπερ ἵνα νικήσωμεν ἅπαντα, τῆς ἀτελείας ἐχώμεθα. οὕτω γὰρ ἐπιλησόμεθα καὶ τῆς αἰωνίου ζωῆς, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ομιλ. πα. 6 ΕΦΑΝΕΡΩΣΑ ΣΟΥ ΤΟ ΟΝΟΜΑ ΤΟΙΣ ἀνθρώποις, οὓς ἔδωκάς μοι ἐκ κόσμου. 7 Σοὶ ἦσαν, καὶ ἐμοὶ αὐτοὺς ἔδωκας, καὶ τὸν λόγον σου τετηρήκασι.

Μεγάλης βουλῆς ἄγγελος λέγεται ὁ υἱὸς τοῦ Θεοῦ, τῶν τε ἄλλων ἕνεκεν ὧν ἐδίδαξε, καὶ παρηγορίας ὅτι τὸν πατέρα εἰς ἀνθρώπους καταγγέλλειν. ὅπερ οὖν καὶ νῦν φησιν, ἐφανέρωσά σου τὸ ὄνομα τοῖς ἀνθρώποις. Εἰπὼν γὰρ, ὅτι ἐτελείωσά σου τὸ ἔργον, ἐπεξηγεῖται πάλιν αὖθις, λέγων ποῖον ἔργον. τὸ μὲν οὖν δῆλον ἦν τὸ ὄνομα. καὶ γὰρ ὁ Ησαΐας φησὶν· Ομείσθω τὸν Θεὸν τὸν ἀληθινόν. ἀλλ' ὁ πολλάκις εἶπον, τοῦτο καὶ νῦν λέγω, ὅτι εἰ καὶ δῆλον ἦν, ἀλλ' Ιουδαίοις, καὶ οὐδὲ τούτοις πᾶσι· νυνὶ δὲ περὶ τῶν ἐθνῶν φησι. καὶ τοῦτο μόνον δηλοῖ, ἀλλ' ὅτι καὶ πατέρα αὐτὸν ἐγνωσαν. οὐκ ἔστι δὲ ὅμοιον μαθεῖν, ὅτι δημιουργός ἐστι, καὶ ὅτι υἱὸν ἔχει. ἐφανέρωσε δὲ αὐτοῖς τὸ ὄνομα, καὶ διὰ λόγων, καὶ διὰ τῶν ἔργων. Οὓς ἔδωκάς μοι ἐκ τοῦ κόσμου. ὥσπερ ἀνωτέρω φησὶν, οὐδεὶς ἔρχεται πρὸς μὲ, ἐὰν μὴ ἡ δεδομένον αὐτῷ· καὶ, ἐὰν μὴ ἑλκύσῃ αὐτὸν ὁ πατήρ μου· οὕτω καὶ ἐνταῦθα, οὓς ἔδωκάς μοι. καὶ μᾶλλον αὐτὸς φησιν ὀλίγον ἔμπροσθεν ἑαυτόν. ὅταν δῆλον, ὅτι δύο ἐνταῦθα κατασκευάζει διὰ τῶν εἰρημένων, ὅτι τε οὐκ ἐναντίος τῷ πατρί, καὶ ὅτι βούλημα αὐτοῦ τὸ πιστευθῆναι αὐτοῖς τῷ υἱῷ. σοὶ ἦσαν, καὶ ἐμοὶ αὐτοὺς δέδωκας. ἐνταῦθα διδάσκει σφόδρα ἀγαπώμενον τὸν υἱὸν παρὰ τοῦ πατρός. ἐπεὶ ὅτι μὲν οὐκ ἐδεήθη τοῦ λαβεῖν αὐτοὺς, δῆλον ἐκ τοῦ. αὐτὸς αὐτοὺς ἐποίησεν; αὐτὸς αὐτῷ προσοικεῖ διαπαντός· πῶς οὖν αὐτοὺς ἔλαβεν; ἀλλ', ὅπερ ἔφην, τοῦτο δηλοῖ τὸ πρὸς τὸν πατέρα ὁμοίωσιν. Εἰ δὲ ἀνθρώπινος τις βούλοιτο αὐτὸ ἐξετάζειν, καὶ ὥσπερ ὡς εἴρηται, ἀκριβὲς ἔσονται τοῦ πάθους. Εἰ γὰρ ὅτε ὁ πατὴρ αὐτοὺς εἶχεν, οὐκ εἶχεν αὐτοὺς ὁ υἱὸς, εὐδηλον ὅτι καὶ ὅτε ἔδωκεν αὐτοὺς τῷ υἱῷ, αὐτὸς ἀπέστη τῆς διαστοτείας· καὶ τὸ ἀποπώτερον πάλιν. εὑρεθήσονται γὰρ οὐκ ἄν ἦσαν τοῦ πατρὸς ἀτελεῖς ὄντες· ὅτε δὲ πρὸς τὸν υἱὸν ἦλθον, τότε γνήσιοι τέλειοι. ἀλλὰ τέλος ταῦτα καὶ εἰπεῖν. Νῦν οὖν διὰ τούτων δηλοῖ ὅτι καὶ αὐτῷ δέδωκε τὸ πιστεύειν αὐτοῖς τῷ υἱῷ. καὶ τὸν λόγον σου τετηρήκασι,

Καὶ νῦν ἔγνωσαν ὅτι πάντα ἃ ἔδωκάς μοι, παρὰ σοῦ εἰσιν.

Πῶς τὸν λόγον σου ἐτήρησαν; τῷ ἐμοὶ πιστεῦσαι, καὶ μὴ προσέχειν τοῖς Ιουδαίοις. ὁ γὰρ πιστεύων αὐτῷ, φησὶν, ἐσφαλίσατο ὅτι ὁ Θεὸς ἀληθής ἐστι. λανθάνει δὲ λέγοντες, ὅτι νῦν ἔγνωσαν ὅτι πάντα ὅσα δέδωκάς μοι παρὰ σοῦ ἐστιν· ἀλλ' οὐκ ἂν ἔχοι τοῦτο λόγον. πῶς γὰρ ἔμαθεν ἀγνοῶν ὁ υἱὸς τὰ τοῦ πατρός; ἀλλὰ πρὸς τοὺς μαθητὰς εἴρηται. ἐπεὶ δὲ γὰρ αὐτὰ εἶπον, φησὶν, ἔμαθον ὅτι πάντα ὅσα ἔδωκάς μοι, παρὰ σοῦ ἐστιν· οὐδὲν ἀλλότριον, οὐδὲν ἴδιον

δίδον ἐμοὶ πρὸς αὐτόν. ὃ γὰρ ἴδιον, ὡς ἐπ' ἀλλοτρίῳ τὰ πολλὰ τίθησιν. ἔγνωσαν ὄντως ὅτι πάν- ἰσ. σὺ
τα, ὅσα δέδωκάς μοι, παρὰ σοῦ εἰσὶ διδάγματα καὶ δόγματα. καὶ πόθεν ἔμαθον; ἀπὸ τῆς φω-
νῆς τῆς ἐμῆς. οὕτω γὰρ ἐδίδασκον. καὶ οὐ τοῦτο μόνον, ἀλλ' ὅτι καὶ πρὸς σὲ ἦλθον. τοῦτο γὰρ πᾶσα πίστις ἐκπορίζει κατασκευάσασα εὐαγγελίου.

9 Ἐγὼ περὶ αὐτῶν ἐρωτῶ. Τί λέγεις; ὡς ἀγνοοῦντα τὸν πατέρα διδάσκεις; ὡς 5
πρὸς ἄνθρωπον οὐκ εἰδότα βλέπει; τί οὖν βούλεται αὐτῷ ἡ βλαίρεσις; ὁρᾷς ὅτι δι' οὐδὲν ἕτερον ἡ εὐχὴ γίνεται, ἀλλ' ἵνα μάθωσι τὴν ἀγάπην ἣν ἔχει εἰς αὐτούς; ὁ γὰρ μὴ μόνον χρ. τὸ
Ἃ παρ' αὐτοῦ πρόσεσχον, ἀλλὰ καὶ ἕτερον ἐπὶ τούτῳ πρόσθακαλῶν, πλείονα δείκνυσι τὸν πό-
θον. τί οὖν ὅτι, περὶ τούτων ἐρωτῶ; Οὐχ ὑπὲρ πάντος τοῦ κόσμου, φησίν, ἀλλ' ὑπὲρ ὧν ἔ- 10
δωκάς μοι. Σωρηχῶς λέγει ὃ, ἔδωκας, ἵνα μάθωσιν, ὅτι παρὰ πατρὸς τοῦτο δοκεῖ. εἶ-
πα δὲ ὅτι σωρηχῶς εἶπε, σοί εἰσι, διὰ σύ μοι αὐτοὺς ἔδωκας, ἀναρχίαν τινὰ ποιῶν ὑπο-
ψίαν, ἵνα μή τις νομίσῃ πρόσφατον αὐτὸν εἶναι τῆς ἀρχῆς, καὶ νῦν αὖθις εἰληφέναι, φί-
φησι;

10 Τὰ ἐμὰ πάντα σά ἐστι, καὶ τὰ σὰ ἐμά, καὶ δεδόξασμαι ἐν αὐτοῖς. Εἶδες ἰσοτιμίαν; 15
ἵνα γὰρ μή, ἀκούων ὅτι ἔδωκάς μοι, νομίσῃς αὐτοὺς ἀλλοτρίαν τινὰ παῖδας δόξασθαι, ἢ πρὸς
τοῦτο τὸ ἐμοῦ, ἀμφοτέρους ἀνῆλεν, εἰπὼν ἅπερ εἶπεν· ὡσανεὶ ἔλεγε, μήτε ἀκούων ὅτι ἐμοὶ
αὐτοὺς ἔδωκας, νομίσῃς αὐτοὺς ἀλλοτρίους εἶναι τοῦ παιδός (τὰ γὰρ ἐμὰ αὐτοῦ ἐστι) μήτε ἀκού-
ων ὅτι σοὶ ἦσαν, νομίσῃς ἀλλοτρίους αὖθις εἶναι ἐμοῦ. τὰ γὰρ αὐτοῦ ἐμά ἐστιν. ὥστε ὃ, ἔδωκας, συν-
καταβάσεως μόνης ἕνεκεν εἴρηκεν. ἅπερ γὰρ ὁ πατὴρ ἔχει, τοῦτο φησὶν ὅτι καὶ ἅπερ ὁ υἱὸς ἔχει, τοῦτο παιδός.
Οὐκ δὲ δὲ ὅτι ὑπὸ τοῦ πατρὸς ἐδόθη, ἀλλ' ὅτι μείζων ἐστὶν ἰσοτιμίας. τὸ μὲν 20
γὰρ τοῦ ἐλαττόνος, ὅτι τὸ μείζονός ἐστι πολλοῖς δῆλον· ὃ δὲ ἔμπαλιν, οὐκέτι. ἐν ταύτῃ δὲ
Ἰωαν. 15. 16. αὐτιτρέφει, ἡ δὲ αὐτιστροφὴ τὴν ἰσότητα δηλοῖ. τοῦτο δὲ ἀλλαχοῦ δηλῶν ἔλεγε· Πάντα χρ. διδύμου.
τὰ τοῦ πατρός ἐμά ἐστι, διὰ γνώσεως βλαστήσαντος. ὃ δή, ἔδωκάς μοι, καὶ ὅσα τοιαῦτα, ἵ-
να δείξῃ, ὅτι οὐχ ὡς ἀλλότριος ἐλθὼν αὐτοὺς ἐπεσπάσατο, ἀλλὰ τοὺς ἰδίους ἔλαβεν. εἶτα δὲ
τὴν αἰτίαν τίθησι καὶ ἀπόδειξιν, λέγων· καὶ δεδόξασμαι ἐν αὐτοῖς· τουτέστιν, ἢ ὅτι δόξουσαν αὐ- 25
τῷ ἔχω, ἢ ὅτι δοξάσουσιν ἐμέ, σοὶ πιστεύοντες καὶ ἐμοί, καὶ δοξάσουσιν ὁμοίως. Εἰ δὲ οὐχ ὁμοίως
δεδόξασαι ἐν αὐτοῖς, οὐκέτι αὐτοῦ ἐστὶ τὰ ἐκείνου. οὐδεὶς γὰρ ἐν οἷς οὐκ ἔχει δόξουσαν
δοξάζεται. πῶς δὲ δεδόξασαι ἐμοίως; ἅπαντες ὁμοίως ἀποθνήσκουσιν ὑπὲρ αὐτοῦ, ὡς καὶ
ὑπὲρ τοῦ παιδός, καὶ κηρύσσουσιν, ὥσπερ καὶ τὸν πατέρα καὶ ὥσπερ ἐν ᾧ ὀνόματι αὐτοῦ λέγουσι πάν-
τα γίνεσθαι, οὕτω καὶ ἐν ᾧ ὀνόματι τοῦ υἱοῦ. Καὶ οὐκέτι εἰμὶ ἐν τῷ κόσμῳ, καὶ οὗτοι ἐν 30
τῷ κόσμῳ εἰσί. Τουτέστι, κἂν μὴ φαίνωμαι καθ' ὑπόστασιν, ἀλλὰ τούτων δοξάζομαι. τί
δήποτε δὲ ὑπερβαίνων λέγει, ὅτι ἐν τῷ κόσμῳ οὐκ εἰμί· καὶ ὅτι, ὑπάγω ἀφίημι ὑμᾶς, ὅτι αὐτοὺς
ἀπολαμβάνω, ὅτε ἡμῶν ἐν τῷ κόσμῳ, ἐγὼ τετήρηκα ὑμᾶς; εἰ γὰρ ταῦτα ἁπλῶς ἐκλάβοι
τις, πολλὰ ἕψεται τὰ ἄτοπα. πῶς γὰρ ἂν ἔχοι λόγον, ὃ μὴ ὂν αὐτὸν ἐν τῷ κόσμῳ, καὶ ὅτε ἀπει- χρ. χωρίζομαι.
σιν, ἑτέρῳ ὑμᾶς προσκαθέσθαι; ταῦτα γὰρ ὡς ἀνθρώπου φιλοῦ χωρίζομένου αὐτῶν 35
διωκόντως ὑπερήματα. ὁρᾷς ὅπου ἀνθρωπίνως τὰ πλάσματα βλασφημεῖται, καὶ πρὸς τὴν αὐτῶν
βλάβειαν, νομιζόντων ὅτι πλείονα ἵνα ἔχῃ ἀσφάλειαν ἀπὸ τῆς παρουσίας αὐτῶν; διὸ φη-
σιν, ὅτε ἐγὼ ἦμην, ἐτήρουν αὐτούς. καὶ μὴν λέγει, ὅτι ἔρχομαι πρὸς ὑμᾶς, καὶ μεθ' ὑμῶν
εἰμὶ ἕως τῆς συντελείας. πῶς οὖν ὡς χωρίζεσθαι μέλλων ταῦτα λέγει; ἀλλ', ὅπερ ἔφην,
πρὸς τὴν ἐκείνων ὑπόνοιαν, ἵνα μικρὸν ἀναπνεύσωσιν, ἀκούοντες αὐτοῦ ταῦτα λέγοντος καὶ 40
προσκαθαπτομένου τῷ πατρί. ὅπου γὰρ πολλὰς περὶ αὐτοῦ προσκλήσεις ἀκούοντες οὐκ
ἐπείθησαν, λοιπὸν τῷ πατρὶ βλασφημοῦντι τὴν εἰς αὐτοὺς στοργὴν ὑποδεικνύμενος· ὡσανεὶ
ἔλεγεν, ὅπου πρὸς ἑαυτὸν με συγκαλῶ, καθίστησιν αὐτοὺς ἐν ἀσφαλείᾳ. ἐγὼ γὰρ πρὸς
σὲ ἔρχομαι. Τί λέγεις; καὶ δέδωκας τηρεῖν αὐτούς; ναί, δέδωκα μέν. Τίνος οὖν ἕνεκεν ταῦτα λέ-

γει

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γεις; ἵνα ἔχωσι τὴν χαρὰν τὴν ἐμὴν πεπληρωμένην. τοῦτέστιν, ἵνα μὴ θορυβῶνται ἀτελέστεροι ὄντες. ταῦτα δὲ εἶπων, ἐδήλωσεν ὅτι διὰ τὴν ἐκείνων ἀνάπαυσιν καὶ τὴν μεγάλην πρὸς ταῦτα
χ. ἐδέκτο παῤῥησίαν ἔλεγεν· ἐπεὶ δικαίως ἂν μοι λέγοις εἰ). νῦν δὲ οὐκ εἰμὶ ἐν τῷ κόσμῳ, καὶ αὐτοὶ ἐν τῷ κόσμῳ εἰσί. τοῦτο γὰρ ἐστι μάλιστα ἐπιθυμοῦν ἐκεῖνοι. τέως δὲν αὐτοῖς συγκαταβαίνει. εἰ γὰρ εἶπεν, ὅτι ἐγὼ τηρῶ αὐτούς, οὐκ ἂν οὕτως ἐπίστευσαν. διόπερ φησί·

11 Πάτερ ἅγιε, τήρησον αὐτοὺς ἐν τῷ ὀνόματί σου. Τουτέστι, διὰ τῆς σῆς βοηθείας.

12 Ὅτε ἤμην ἐν τῷ κόσμῳ, ἐγὼ αὐτοὺς ἐτήρουν ἐν τῷ ὀνόματί σου.

Πάλιν ὡς ἀνθρωπος διαλέγεται καὶ ὡς προφήτης· ἐπεὶ καὶ δαιμονᾶν φαίνεται ἐν τῷ ὀνόματι τοῦ Θεοῦ πεποιηκώς. Οὓς ἐδίωξάς μοι ἐφύλαξα, καὶ οὐδεὶς ἐξ αὐτῶν ἀπώλετο, εἰ μὴ ὁ υἱὸς τῆς ἀπωλείας, ἵνα ἡ γραφὴ πληρωθῇ. Καὶ ἀλλαχοῦ φησι· πῶν ὃ ἔδωκάς μοι, οὐ μὴ ἀπολέσω ἐξ αὐτοῦ. κἀκεῖνος ἀπώλετο μόνος, ἀλλὰ καὶ πολλοὶ ὕστερον. πῶς οὖν φησιν, οὐ μὴ ἀπολέσω; τὸ ἐμὸν μέρος, οὐ μὴ ἀπολέσω· ὅπερ καὶ ἀλλαχοῦ σαφέστερον διελὼν ἔλεγεν, οὐ μὴ ἐκβάλω αὐτὸν ἔξω· οὐ προδώσει ἐμοῦ ἀθροῦντος, οὐδὲ ἐγκαταλιμπάνοντος. εἰ δὲ ἀφ' ἑαυτῶν ἀποπηδῶσι, τοὺς ἀναγκάσω οὐκ ἔλκω.

13 Νῦν δὲ πρὸς σὲ ἔρχομαι. Ὁρᾷς ἀνθρωπινώτερον συγκεκαμμένῳ τῷ διαλέξει; ὥστε εἴ τις βούλοιτο ἐλαττοῦσθαι Ⓦ υἱὸν ἀπὸ τούτων, ἐλαττώσει καὶ Ⓦ πατέρα. ὅταν
χ. μὲν γὰρ "γὰρ ὦ ἐρχῆς, πῶς ὃ μὲν ὡς διδάσκων φησὶ καὶ σαφωνίζων αὐτῷ, ὃ δὲ ὡς προσκαλέλλων. ἐγὼ μὲν ὡς διδάσκων, ὡς ὅταν λέγῃ· καὶ πρὸς τὸν κόσμου ἐρωτῶ· ἐγὼ δὲ ὡς προσκαλέλλων· ἐγὼ ἐτήρησα αὐτοὺς ἕως ἄρτι, καὶ οὐδεὶς ἀπώλετο· καὶ σὺ τοίνυν τήρησον αὐτούς, φησι. καὶ πάλιν· σοὶ ἦσαν, καὶ ἐμοὶ αὐτοὺς ἔδωκας· καὶ, ὅτε ἤμην ἐν τῷ κόσμῳ, ἐτήρουν αὐτούς. ἀλλὰ πρότερον ἡ λύσις, τὸ πρὸς τὴν ἀσθένειαν αὐτῶν εἰρῆσθαι τὰ εἰρημένα. εἰπὼν δὲ, ὅτι οὐδεὶς ἐξ αὐτῶν ἀπώλετο, εἰ μὴ ὁ υἱὸς τῆς ἀπωλείας, ἐπήγαγεν, ἵνα ἡ γραφὴ πληρωθῇ. ποίαν γραφὴν φησι; τὴν πολλὰ περὶ αὐτοῦ προειρήκυσαν. οὐ μὴν διὰ τοῦτο ἀπώλετο, ἵνα ἡ γραφὴ πληρωθῇ. καὶ περὶ τούτου πολλὰ καὶ ἔμπροσθεν διελέξατο, ὅτι ἰδιάζων ἔσται ἡ γραφῆς ὅστις ὁ τρόπος, ὡς ἀπολογίαν τιθεμένης καὶ ἐκ τῆς ἐκβάσεως συμβαίνοντα. καὶ δεῖ πρὸς μὴ ἀκριβείας ἐξετάζειν, καὶ Ⓦ τρόπον τοῦ λέγοντος, καὶ τὴν ὑπόθεσιν, καὶ οὐ τὸ ὁμοίους εἶναι τῆς γραφῆς, εἰ μὴ μέλλομεν παραλογίζεσθαι. ἀδελφοὶ γάρ, μὴ παιδία γίνεσθε ταῖς φρεσί.

Τοῦτο δὲ οὐχ ὑπὲρ τῆς τῶν γραφῶν κατανοήσεως ἀναγινώσκειν χρὴ μόνον, ἀλλὰ καὶ ΗΘΙΚΟΝ
ὑπὲρ τῆς περὶ Ⓦ βίον ἀσυδησίας. καὶ γὰρ Ⓐ παῖδες Ⓐ μικροὶ, τῶν μὲν μεγάλων οὐκ ἐφίενται, τὰ δὲ μηδενὸς ἀξιοθαυμάζειν εἰώθασι. καὶ γὰρ ὀχήματα, καὶ ἵππους, καὶ τὸν ὀρεωκόμον, καὶ τοὺς ζυγούς, πρώτα δὲ ὀφρύκιον πεποιημένα, χαίρουσι βλέποντες· ἂν δὲ βασιλέα καθήμενον ἐπ' ὀχήματος ἴδωσι χρυσοῦ καὶ ἡμιόνων ζοῦγος λαμπροῦ καὶ πολυτελῆ τὸν κόσμον, οὐδὲ ὑπερφέρονται. καὶ νύμφας πάλιν ἀπὸ μιᾶς τῆς αὐτῆς ὕλης λαβόντες πεποιημένας, καλλωπίζουσι· ταῦτα δὲ οὕτως ἀληθῆς καὶ λαμπούσας, οὐδὲ ἴσασι. καὶ ὑπὲρ πολλῶν ἑτέρων ὃ αὐτὸ παθεῖν. τοῦτο πολλοὶ δὲ τῶν ἀνθρώπων ποιοῦσι νῦν. ταῖς μὲν γὰρ τῶν οὐρανῶν ἀκυροῦντες, οὐδὲ προσέχουσι· πρὸς δὲ τὰ πήλινα πρώτα ὁμοίως τοῖς παισὶν ἐσπουδακότες, καὶ Ⓦ ἀπὸ τῆς γῆς πλοῦτον τεθήπασι, καὶ δόξαι δὲ τυφλῷ ἐν ὄψει πρόκειται βίῳ θαμῶσι· καίτοι αὐτὰ μὲν ὅτι παιδικὰ ὥσπερ σκῆνα· σκῆνα γὰρ ζωῆς καὶ δόξης δὲ ὑπέστεως αἴτια. ἀλλ' ὥσπερ Ⓐ παῖδες, τῶν μὲν ἀποστερούμενοι κλαίουσιν, ἐκείνων δὲ οὐδὲ ἡδέσθαι ἐν ὀπθυμίᾳ ἴσασιν· οὕτω δὴ καὶ τῶν ὑδρῶν εἰ) δοκούντων πολλοί. διὰ τοῦτό φησι· Μὴ παιδία γίνεσθε ταῖς φρεσί. χρημῖν· ἐρᾷς, εἰπέ μοι· καὶ οὐκ ἐρᾷς πλούτου τοῦ μένοντος, ἀλλὰ ἀθυρμῖν παιδικῶν; εἶτα, ἂν μὴ ἴνα ἴδῃς θαυμάζοντα μολύβδου νόμισμα καὶ κατακύπτοντα ὥστε ἀνελέσθαι, καὶ καταγνῶσι πολλοὶ αὐτοῦ τῆς πενίας. σὺ δὲ τὰ τούτων διατελέσεα ζωάγων, ἐν τοῖς πλου-
χ. ωὐτῶν τοῦ" σαυτὸν ἀριθμεῖς; καὶ πῶς ἂν ἔχοι τοῦτο λόγον; πλούσιον γὰρ ἐκεῖνον εἰ) φήσομεν, Ⓦ

ὑποφερῶντας

ὑποφορώνται τῶν πρόντων ἀπολύτων. σπεῦδε γὰρ, σπεῦδε τῶν μικρῶν τούτων, ἀφυγεῖν καὶ χρυσᾶ καὶ τῆς ἄλλης φαντασίας αἱρήσει) καταγελάσαι, ἀλλ' μὴ τῶν μειζόνων ⟨ω⟩ πόθον ἔχῃ, ὥσπερ οὖν σπεῦδε τοῦ μολυβδίνου νομίσματος ἢ. καὶ σὺ τοίνυν ὅταν ἴδῃς ἀθέμιτον πλοῦτον ⟨ω⟩ κόσμον ὑπερέχοντα, μηδαμόθεν ἄλλοθεν νόμιζε τοῦτο ποιεῖν, ἢ ἀπὸ τοῦ τοὺς μείζονα βλέπειν κόσμον. οὕτω καὶ γεωργὸς τῶν ὀλίγων πυρῶν καταφρονεῖ, ὅταν μείζονα τοῦ σπόρου ἴδῃ ⟨ω⟩ ἀμητόν. εἰ δ' ἀδύνατον τῆς ἐλπίδος ὄσης, τῶν ὄντων καταφρονοῦμεν· πολλῷ μᾶλλον ὅταν τῆς βεβαίας τοσαύτης ὑπολαμβάνωμεν. διὸ δὴ δέομαι καὶ παρακαλῶ, μὴ ζημιοῦν ἑαυτούς, μηδὲ βόρβορον κατέχοντας ἀποφέρειν ἑαυτοῖς τὸν θησαυρόν, μηδὲ καλάμης καὶ ἀχύρου τὸ πλοῖον εἰς τὸν λιμένα ἀγαγεῖν. ὁ βουλόμενος τις λεγέτω πρὸς ἡμᾶς, δυσχεραινέτω πρὸς τὴν συνεχῆ τῆς παρρησίας· φλυάρους καλείτω, περίεργος, ἐπιθυμητὰς· οὐκ ἀποστησόμεθα συνεχῶς ὑμῖν παρρησιαζόμενοι, καὶ συνεχῶς ἐκεῖνο τὸ τῶν προφητῶν πᾶσιν ὑποφωνοῦντες ὑμῖν· τὰς ἁμαρτίας σου σὺ ἐλεημοσύναις λύτρωσαι, καὶ τὰς ἀνομίας σου ἐν οἰκτιρμοῖς πενήτων, καὶ ἄφαλμα αὐτὰς ὅπως ζῶν τροχίλῳ. μὴ σήμερον μὲ ποίησῃς, αὔριον ὁ ἄπορος. καὶ γὰρ τὸ σῶμα τοῦτο καθημερινῆς δεῖται τροφῆς· οὕτω καὶ ἡ ψυχὴ, καὶ πολλῷ μᾶλλον ἐκείνη. κἂν μὴ καταβάλῃ, ἀσθενεστέρα γίνεται καὶ ἀκροτέρα. μὴ δὴ παρίδωμεν ἀπολλυμένην. ἀγρυπνήσωμεν. πολλὰ λῃστεύει καθ' ἑκάστην ἡμέραν πάθη, ὀπτυομένη, ὀργιζομένη, ῥαθυμοῦσα, λοιδορουμένη, ἀμισουμένη, βασκαίνουσα. δεῖ τοίνυν αὐτῇ καὶ φάρμακα κατασκευάζειν. ὑ μικρὸν δὲ τὸ τῆς ἐλεημοσύνης φάρμακον, πᾶσι τοῖς πάθεσιν ὑπεναντίωμα δυνάμενον. Διότε γὰρ ἐλεημοσύνην, φησὶ, καὶ πάντα ὑμῖν ἔσται καθαρά· ἐλεημοσύνην, μὴ πλεονεξίαν. τὸ γὰρ ἐκ πλεονεξίας οὐ μιαίνει, κἂν τοῖς δεομένοις δῷς. ἐλεημοσύνη γὰρ, ἡ πάσης ἀπηλλαγμένη ἀδικίας ἐστίν· αὕτη πάντα ποιεῖ καθαρά. ἔστο καὶ νηστείας βέλτιον καὶ χαμευνίας. καὶ τοίνυν σκληρὰ μοχθηρότερα καὶ ὑπερηφανώτερα, ἀλλ' αὕτη κερδαλεωτέρα. φωτίζει ψυχήν, λιπαίνει, καλλύνει καὶ ὠφελίαν ποιεῖ. οὐχ οὕτω τοῦ ἀθλητοῦ ὁ τῆς ἐλαίας καρπὸς αὐξήσει, ὡς τοῦ ἀγωνίσασθαι τῆς εὐσεβείας τυχὸν τὸ ἔλαιον ἀνακλᾶται. ἀλείφωμεν τοίνυν τὰς χεῖρας, ἵνα πρὸς τὴν ὑπάλειψιν ὑπαίρωμεν καλῶς. ὁ μισθὸς ἐλεᾷ ⟨ω⟩ διόλυσον, ταχέως καὶ τὸ πλεονεκτεῖν ἀποστήσει)· ὁ ἁρπαγὴν σὺν ᾧ δίδυναι πένησι, ταχέως ὀργῆς ἀποστήσει), καὶ τοῦτο μέγα φερεῖ ποτέ. καθάπερ γὰρ τοῦ τετραυματισμένου συνεχῶς θεραπεύοντα ἰατρὸν, συμβαίνει) ῥᾳδίως, ἐν ταῖς ἑτέρων συμφοραῖς τὴν ἀνθρωπίνην καθορᾶν φύσιν· οὕτω καὶ ἡμᾶς ἐκεῖ * ταῖς τῶν πενήτων συνεισελθόντας ὑπακοῆς, φιλοσοφήσομεν εὐκόλως, καὶ οὐ θαυμάσομεν πλοῦτον, οὐδὲ μέγα εἰ τὰ πρόντα ἡγησόμεθα, ἀλλὰ καταφρονήσομεν πάντων, καὶ μεταρσιοι γινόμενοι πρὸς ⟨ω⟩ ἐκεῖνον, εὐκόλως ὑπερτρεξόμεθα τῶν ἀγωνίων ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

χρ. μολίζδη

* ἐν

Ομλ. πδ. 14 ΕΓΩ ΔΕΔΩΚΑ ΑΥΤΟΙΣ ΤΟΝ ΛΟΓΟΝ σου, καὶ ὁ κόσμος ἐμίσησεν αὐτοὺς, ὅτι οὐκ εἰσὶν ἐκ τοῦ κόσμου, καθὼς ἐγὼ οὐκ εἰμὶ ἐκ τοῦ κόσμου.

Ὅταν ἀναρέτοις ἡδόμενοι διαχώμεθα πρὸς τὴν πονηρὰν, καὶ τῆς ἀρετῆς ἐφιέμενοι χλευαζώμεθα παρ' ἐκείνων, μὴ ἀλυώμεν, μηδὲ δυσχεραίνωμεν. τοιαύτην γὰρ ὁ πρᾶγμα τὴν φύσιν ἔχει, καὶ πονηρὸν μῖσος εἴωθε τίκτειν ἡ ἀρετὴ πρὸς τοὺς πονηρούς. φθονοῦντες γὰρ τοῖς ὑπεικῶς βιῶν βουλομένοις, καὶ οἰόμενοι πρόσκοπτειν ἑαυτοῖς ἀπολογίαν, ἐξ ὧν τῶν ἑτέρων δόξαν καταβάλλουσι, μισοῦσί τε ὡς τὰ ἐναντία

ἵνα μετὰ ὀνίας, ἢ πάντα παρέπουσιν ὑπὲρ τῆς καταισχύνης Ⓦ βίου Ⓦ ἐκείνων. ἀλλὰ μὴ ἀληθῶμεν. τοῦτο γὰρ ἀρετῆς σημεῖον. διὰ τοῦτο καὶ ὁ Χριστὸς φησιν· Εἰ ἐκ τοῦ κόσμου ἦτε, ὁ κόσμος ἂν τὸ ἴδιον ἐφίλει. καὶ ἀλλαχοῦ πάλιν· Οὐαὶ ὑμῖν, ὅταν καλῶς ὑμᾶς εἴπωσι πάντες Ⓓ ἄνθρωποι. διὰ τοῦτο καὶ σκάνδαλα φησι· Ⓦ λόγον σου δέδωκα αὐτοῖς, καὶ ὁ κόσμος ἐμίσησεν αὐτούς. πάλιν λέγει τὴν αἰτίαν, δι' ἣν ἄξιοί εἰσι πολλῆς παρὰ τοῦ παντὸς ἐπιμελείας τυχεῖν. διὰ γάρ σε ἐμισήθησαν, φησι, καὶ τὸν λόγον τὸν σόν· ὥστε δίκαιοι πάσης ἂν εἶεν ἀπολαῦσαι προνοίας. 15 Οὐκ ἐρωτῶ ἵνα ἄρῃς αὐτοὺς ἐκ τοῦ κόσμου, ἀλλ' ἵνα τηρήσῃς αὐτοὺς ἐκ τοῦ πονηροῦ. Πάλιν σαφηνίζει Ⓦ λόγον, πάλιν πρωτότερον ἐργάζεται· ὅπερ οὐδὲν ἄλλο ἐστὶν ἐνδεικνυμένου, ἢ ὅτι πολλὴν αὐτῶν ποιεῖται κηδεμονίαν, ὃ μὴ ἀκριβείας ποιεῖσθαι τὴν ὑπὲρ αὐτῶν παράκλησιν. καὶ μᾶλλον αὐτὸς ἔλεγλε, ὅλα πάντα ποιήσει ὁ πατήρ, "ὅσα δ' ἂν αἰτήσωσι. πῶς δὴν ἐντεῦθεν αὐτὸς ὑπὲρ αὐτῶν παρακαλεῖ; οὐδὲν ἄλλο, ὅπερ ἔφην, ἢ τὴν ἀγάπην ἐνδεικνύμενος.

16 Ἐκ τοῦ κόσμου οὐκ εἰσί, καθὼς ἐγὼ οὐκ εἰμὶ ἐκ τοῦ κόσμου. Πῶς οὖν ἀλλαχοῦ φησιν, Οὓς ἔδωκάς μοι ἐκ τοῦ κόσμου, ἦσαν; ἐκεῖ μὲν τὴν φύσιν λέγων, ἐνταῦθα δὲ τὴν προαίρεσιν· ἐκεῖ μὲν γὰρ ἀξιώσεως πνευματικῆς ἐγκώμιον· τοῦτον, ὅτι οὐκ εἰσὶν ἐκ τοῦ κόσμου ἔλεγε, ὅτι αὐτοὺς αὐτὸς ἔδωκεν, καὶ ὅτι τὸν λόγον αὐτοῦ ἐτήρησαν, καὶ ὅτι διὰ τοῦτο μισοῦνται. εἰ δὲ λέγει, καθὼς ἐγὼ οὐκ εἰμὶ ἐκ τοῦ κόσμου, μὴ θορυβηθῇς. τὸ γὰρ, καθὼς, ἐνταῦθα οὐκ ἔστιν ἀπαρέγκλιτος ἀκριβείας. ὥσπερ γὰρ, ὅταν ἐπὶ αἰτίᾳ καὶ τῆς παθῆς λέγῃ τὸ καθὼς, πολλὴν ἢ ἰσότητα δείκνυσι τοῦ τε φύσεως συνδέσμου· ὅτως ὅταν ἐφ' ἡμῶν καὶ αὐτοῦ λέγηται, πολὺ δὲ μέσον δείκνυσι καὶ πολὺ ἐν μέσῳ καὶ ἀπείρων ἑκατέρας τῆς φύσεως. εἰ γὰρ ἁμαρτίαν οὐκ ἐποίησεν αὐτὸς, οὐδὲ δόλος ἂν εὑρέθη ἐν τῷ στόματι αὐτοῦ, πῶς δυνατὸν ἂν Ⓓ ἀπόστολοι παρισοῦσθαι αὐτῷ; τί οὖν ἐστιν ὃ φησιν, οὐκ ἐκ τοῦ κόσμου οὐκ εἰσί; πρὸς ἕτερον ὁρῶν, οὐδὲν κοινὸν πρὸς τὴν γῆν ἔστιν αὐτοῖς, ἀλλὰ τὴν οὐρανῶν πεπιστεύκασι πολιτείαν. ἐκ τούτων οὖν τὴν ἀγάπην αὐτοῦ δείκνυσιν, ὅταν πρὸς τὸν πατέρα αὐτοὺς ἐγκωμιάζῃ, καὶ παραπέμπηται τὰ γεγυμνικά. εἰπὼν οὖν, τήρησον αὐτούς, οὐ μόνον τῆς τῶν κινδύνων ἀπαλλαγῆς φησι μόνον, ἀλλὰ καὶ τῆς ἐν πίστει προκοπῆς. διὸ καὶ ἐπήγαγε,

17 Ἁγίασον αὐτοὺς ἐν τῇ ἀληθείᾳ σου. Ἁγίους ποίησον διὰ τῆς τοῦ πνεύματος δόσεως καὶ τῆς ὀρθῆς δογμάτων. ὥσπερ ὅταν λέγῃ, καθαροί ἐστε διὰ τὸν λόγον, ὃν λελάληκα ὑμῖν, καὶ πάλιν τὸ αὐτὸ φησι· παιδεύσον αὐτοὺς, δίδαξον τὴν ἀλήθειαν. καὶ μᾶλλον τοῦτο λέγει τὸ πνεῦμα ποιῆσαι. πῶς οὖν αὐτὸ προσῆκε τῆς παρ' αὐτοῦ αἰτεῖσθαι; ἵνα μάθῃς· πάλιν τὴν ἰσοτιμίαν. τὰ γὰρ ὀρθὰ δόγματα ἐκεῖθεν τοῦ Θεοῦ λεγόμενα, ἁγιάζει τὴν ψυχήν. Εἰ δὲ λέγῃ φησὶν ἁγιάζεσθαι, μὴ θαυμάσῃς. καὶ ὅτι πρὸς ἑαυτὸν ἁγιάζει φησὶν, ἐπήγαγε· Ὁ λόγος ὁ σὸς ἀλήθειά ἐστι.

Τοῦτ' ἔστιν, ἐν δὲν ψεῦδος ἐν αὐτῷ, πάντως ἢ σκιώδη δεῖ πάντα καὶ εἰρημένα, καὶ ὅτι οὐδὲν τυπικὸν δηλοῖ πάλιν, οὐδὲ σωματικόν. καθὼς καὶ Παῦλός φησι πρὸς τῆς σκιᾶς, ὅτι ἦλαστεν αὐτὰ ἐν ῥήματι. οἶδε γὰρ καὶ ῥῆμα Θεοῦ καθαίρον. ἔοικε δέ μοι καὶ ἕτερον δηλοῦν τὸ, ἁγίασον αὐτοὺς, οἱονεὶ τὸ ἀφόρισον. αὐτὸν τῷ λόγῳ καὶ τῷ κηρύγματι. καὶ τοῦτο πάλιν ἐκ τῆς ἑξῆς δῆλον.

18 Καθὼς γάρ ἐμέ, φησιν, ἀπέστειλας εἰς τὸν κόσμον, κἀγὼ ἀπέστειλα αὐτούς.

Ὁ λέγει καὶ Παῦλος, Θέλημος ἐν ἡμῖν τὸν λόγον τῆς καταλλαγῆς. ὑπὲρ οὗ γὰρ ὁ Χριστὸς ἀφῆκαν, ὑπὲρ τούτου καὶ οὗτοι τὴν οἰκουμένην κατέλαβον. τοῦ, καθὼς, πάλιν ἐνταῦθα οὐχ ὁμοιώσεως ὅπου αὐτὸς καὶ τοὺς ἀποστόλους ἔπεμψεν. πῶς γὰρ ἄλλως ἂν ἐγχωρήσειεν ἀθέοις ἀποστόλους; ἔθος δὲ αὐτῷ καὶ τὸ μέλλον ὡς γενόμενον λέγειν.

19 Καὶ ὑπὲρ αὐτῶν ἁγιάζω ἐμαυτὸν, ἵνα ὦσιν ἡγιασμένοι ἐν τῇ ἀληθείᾳ.

Τί ἐστιν, ἁγιάζω ἐμαυτὸν; προσφέρω καὶ θυσίαν. αἱ γὰρ θυσίαι πᾶσαι ἁγίαι λέγονται· καὶ

καὶ κυρίως ἅγια, τὰ τῷ Θεῷ ἀνακείμενα. ὅπερ γὰρ τὸ παλαιὸν ἐν τύπῳ ὁ ἁγιασμὸς ἦν ἐν τῷ βαπτίσματι· νυνὶ δὲ οὐκ ἔστιν ἐν τύπῳ, ἀλλ' ἐν αὐτῇ τῇ ἀληθείᾳ· διὰ τοῦτο φησιν· ἵνα ὦσιν ἡγιασμένοι ἐν τῇ ἀληθείᾳ σου. καὶ γὰρ καὶ αὐτοὺς ἁγιάζω καὶ ποιῶ βαπτίσματι· ἢ μᾶλλον διὰ τοῦτο τὴν κεφαλὴν ἔτεμον, ἵνα δι' αὐτοῦ τοῦ ἁγιάζεσθαι φησιν, ἢ διὰ τοῦτο καὶ αὐτὸς θύω. Παρασκευάσατε γάρ, φησι, καὶ μέλη ὑμῶν θυσίαν ζῶσαν, ἁγίαν· καὶ, Ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς. καὶ χωρεῖς θανάτου, θυσίαν αὐτὸν ἐργάζεται καὶ προσφοράν. ὅπου γὰρ τοῦ θυσίαν ἠνίξατο τὸν αὐτόν, ἐνταῦθα ἁγιάζω, δῆλον ἐκ τῶν ἑξῆς.

Rom. 6. a. Ψαλμ. μγ. κδ.

20 Οὐ περὶ τούτων δὲ ἐρωτῶ μόνον, ἀλλὰ καὶ περὶ τῶν πιστευόντων.

Ἐπειδὴ γὰρ εἶπεν αὐτὸ ἀπέθανεν, εἶπε δέ, ὅτι ὑπὲρ αὐτοῦ ἁγιάζω ἐμαυτόν· ἵνα μή τις νομίσῃ, ὅτι ὑπὲρ τῶν ἀποστόλων τοῦτο μόνον ἐποίει, ἐπήγαγεν· οὐ περὶ τούτων δὲ ἐρωτῶ μόνον, ἀλλὰ καὶ περὶ τῶν πιστευόντων διὰ τὸν λόγου αὐτῶν εἰς ἐμέ. εἰκότως πάλιν διέκρινεν αὐτῶν τὰς ψυχάς, δείξας ἐσομένους πολλοὺς μαθητάς. ὅπερ γὰρ, ὅπερ εἶχον ἀξαίρετον, κοινὸν ἐποίησε, πάλιν αὖθις προαμυθεῖται, δηλῶν ὅτι τὰ ἄλλων σωτηρίας γινομένους αὐτοῦ αἰτίους. εἰπὼν δὲ καὶ περὶ σωτηρίας αὐτὸ καὶ ἁγιασθῶσι τῇ πίστει τῇ θυσίᾳ, λέγει λοιπὸν περὶ ὁμονοίας, καὶ εἰς τοῦτο λοιπὸν κατακλείει τὸν λόγον, ἐνταῦθεν ἀρξάμενος, καὶ εἰς αὖθις καταλύσας. καὶ γὰρ ἀρχόμενός φησιν, ἐν τούτῳ καιρῷ δίδωμι ὑμῖν. εἶτα ἐνταῦθα,

περὶ τούτων δὲ ἐρωτῶ μόνον, ἀλλὰ καὶ περὶ τῶν πιστευόντων. ἵνα μή τις νομίσῃ, ὅτι ὑπὲρ τῶν ἀποστόλων τοῦτο μόνον ἐποίει, ἐπήγαγεν· οὐ περὶ τούτων δὲ ἐρωτῶ μόνον, ἀλλὰ καὶ περὶ τῶν πιστευόντων διὰ τὸν λόγου αὐτῶν εἰς ἐμέ. καὶ τεθεν πάλιν διέκρινεν αὐτῶν τὰς ψυχάς, δείξας ἐσομένους πολλοὺς μαθητάς. ὅπερ γὰρ, ὅπερ εἶχον ἀξαίρετον, κοινὸν ἐποίησε, πάλιν αὖθις προαμυθεῖται, δηλῶν ὅτι τὰ ἄλλων σωτηρίας γινομένους αὐτοῦ αἰτίους. εἰπὼν δὲ καὶ περὶ σωτηρίας αὐτὸ καὶ ἁγιασθῶσι τῇ πίστει τῇ θυσίᾳ, λέγει λοιπὸν περὶ ὁμονοίας, καὶ εἰς τοῦτο λοιπὸν κατακλείει τὸν λόγον, ἐνταῦθεν ἀρξάμενος, καὶ εἰς αὖθις καταλύσας. καὶ γὰρ ἀρχόμενός φησιν, ἐν τούτῳ καιρῷ δίδωμι ὑμῖν. εἶτα ἐνταῦθα,

21 Ἵνα ὦσιν ἕν, καθὼς σὺ πάτερ ἐν ἐμοὶ, καὶ ἐγὼ ἐν σοί. Πάλιν τὸ, καθὼς, οὐκ ἀκριβοῦς δεικνύοντος ἐπ' αὐτῶν. οὐδὲ γὰρ δυνατὸν αὐτοῖς ἓν τοσοῦτον, ἀλλ' ὡς ἂν θεοῖς δυνατόν· ὥσπερ ὅταν λέγῃ, γίνεσθε οἰκτίρμονες, ὡς ὁ πατὴρ ὑμῶν. τί δέ ἐστιν,

Ἐν ἡμῖν; Ἐν τῇ πίστει τῇ εἰς ἡμᾶς. ὅπερ γὰρ οὐκ ἐᾷ ὅτω σκανδαλίζει ἀπορίας, ὡς ὃ διεσπάσθαι, τοῦτο κατασκευάζει ὥστε ἡνῶσθαι ἕν. τί οὖν; ἐνῶσεν αὐτὸ, φησι; καὶ σφόδρα ἐνωσεν. ἀπόστολοι γὰρ οἱ ἀπὸ τῶν ἀποστόλων πιστεύσαντες, ἓν εἰσιν, εἰ καί τινες ἐξ αὐτῶν διεσπάσθησαν. οὐδὲ γὰρ ὅτο αὐτοῦ προῆλθεν, ἀλλὰ καὶ αὐτὸ τοῦτο ἦπε, καὶ ἐδείξε τὸν ἀνθρώπων ῥᾳθυμίας ὄν. Ἵνα ὁ κόσμος πιστεύσῃ, ὅτι σύ με ἀπέστειλας. Ὅπερ οὖν καὶ ἀρχόμενος ἔλεγεν, ὅτι ἐν τούτῳ γνώσονται πάντες ὅτι ἐμοὶ ἐστε μαθηταί, ἐὰν ἀγαπᾶτε ἀλλήλους· καὶ πῶς ἐντεῦθεν πιστεύειν ἔμελλον, ὁ πᾶς τῆς εἰρήνης εἶ Θεός, φησιν. διὸ τοίνυν, ἅπερ ἐξ ὧν ἔμαθεν, διατηροῦσιν, εἰσενεγκὼν τὸ διδάσκαλον ἐπὶ τῶν μαθητῶν ἀκούοιες· ἐπεὶ εἰ μάχονται, οὐκ ἐρεῖσιν εἰρηνικοῦ Θεοῦ εἶναι μαθητάς· μὴ ὄντα δὲ, μὲ εἰρηνικὸν, οὐκ ὀμολογήσουσιν ἀπεσταλθαι παρὰ σοῦ. ὁρᾷς πῶς μέγει τέλους τοῦτο κατασκευάζει ὁ πρὸς τὸν πατέρα ὁμοιοπαθές;

22 Κἀγὼ τὴν δόξαν, ἣν ἔδωκάς μοι, ἔδωκα αὐτοῖς· Τὴν διὰ τῶν σημείων, τὴν διὰ τῶν δογμάτων, ἵνα οὐκ ὦσιν. αὕτη γὰρ δόξα, ἵνα ὦσιν ἓν, τὰ σημείων μείζων. ὥσπερ γὰρ ὁ τὸν Θεὸν θαυμάζοισιν, ὅτι οὐκ ἔστι φάσις, οὐδὲ μάχη παρὰ τῇ φύσει ἐκείνῃ, ἡ μεγίστη αὕτη δόξα· ὅτω δ' ὅτοί, φησιν, ἐντεῦθεν ἡνώθωσαν λαμπροί. ὁ πῶς ὁ πατέρα, φησιν, αἰτεῖ τοῦτο δοθῆναι αὐτοῖς, αὐτὸς αὐτὸ λέγων διδόναι; εἴτε γὰρ διὰ σημείων, εἴτε διὰ ὁμονοίας, εἴτε διὰ εἰρήνης ὁ λόγος αὐτῷ, φαίνεται αὐτὸς αὐτοῖς ταῦτα προσκεχώς. ὅθεν δῆλον ἦν, ὅτι παρρησίας ἕνεκεν τῆς παρ' αὐτοῦ ἡ αἴτησις γίνεται.

23 Ἐγὼ ἐν αὐτοῖς, καὶ σὺ ἐν ἐμοί. Πῶς ἔδωκε τὴν δόξαν; ἐν αὐτοῖς ἡμέρωσε, καὶ τὸν πατέρα ἔχων μὲ ἑαυτῷ, "ὥστε αὐτοῖς" συγκροτῆν. ἀλλαχοῦ δέ, οὐχ ὅτω φησίν. ὁ γὰρ δι' αὐτοῦ τὸν πατέρα παρεγίνεσθαι, ἀλλ' αὐτὸν καὶ τὸν πατέρα παρεγίνεσθαι, καὶ μενεῖ παρ' αὐτῷ πυκνῶς, ἐκεῖ μὲν ὁ τῶν Σαδδουκαίων, ἐνταῦθα δὲ Ἀρείου τοῦ ἐπονειδίστου διαιρῶν.

Ἵνα ὦσι τετελειωμένοι εἰς ἕν, καὶ ἵνα γινώσκῃ ὁ κόσμος, ὅτι σύ με ἀπέστειλας.

Συνεχῶς αὐτὸ λέγει, δεικνὺς σημεῖον μάλιστα τοῦ εἰρηνικοῦ δυναμοῦσθαι ὀπαδοὺς εἶναι. ὥσπερ γὰρ ἡ ἔρις πολυπτικόν, ὅτως ἡ συμφωνία συγκροτητικόν. Καὶ ἠγάπησα αὐτοὺς, καθὼς ἐμὲ ἠγάπησας. Πάλιν ἐνταῦθα ὅ, καθὼς, ὡς ἄνθρωπον ἀγαπηθῆναι ἐζωρφ[illegible]

Ps. 116. a. Ψαλμ. μγ. κδ.

κ. ἁγίαν
κ. ἐποίει
κ. πελαδπε-
κ. διδαγμά-
των,
κ. διαμεί-
μνω,
κ. ὡς
κ. συζηρᾶν
κ. τὰ τῶν
Σαδδουκαίων
ὑπονοίζων
στόματα, ἐν-
κ. αὐτοῖς
κ. διαίρεσις
κ. ἄνθρωπ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

χωρῆς· ᾗ τεκμήριον τῆς ἀγάπης ὃ ἑαυτὸν ἐχαρίσατο αὐτῶν δοὺς αὐτούς. εἰπὼν τοίνυν, ὅτι ἔσονται ἐν ἀσφαλείᾳ, ὅπως μὴ ἀθετήσαιτέ με, ὅτι ἔσονται ἄγιοι, ὅτι πολλοὶ πίστιν θήσονται δι' αὐτῶν, ὅτι πολλῆς ἀπολαύσουσι δόξης, ὅτι οὐκ αὐτὸς αὐτοὺς ἠγάπησε μόνος, ἀλλὰ καὶ ὁ πατήρ, λέγει λοιπὸν ὡς
ἰσ. ἐνταῦθεν ὑπὲρ τῶν μὴ τοιούτων ἐνταῦθα ἀποδημίαν, ὡς τῶν βεβαίων καὶ ἀστεφύρων τῶν ἀποκειμένων
5 αὐτοῖς. 24 Πάτερ γάρ, φησιν, ὃς ἔδωκάς μοι, θέλω ἵνα ὅπου εἰμὶ ἐγὼ, κἀκεῖνοι ὦσιν.

Ὅπερ οὖν ἐζήτουν ἀεὶ λέγοντες, ποῦ ἐστιν ἀπίασι; τί λέγεις; τοῦτο ἐν αἰτήσει λαμβάνεις; καὶ σοῦ τοῦτο ἔχεις; πῶς οὖν αὐτοῖς ἔλεγες, καθίσεσθε ἐπὶ δώδεκα θρόνους; πῶς ἕτερα ἐπαγγέλλω πλείονα καὶ μείζω; ὁρᾷς ὅτι πρώτως συγκαταβάσεως ἕνεκεν; λέγει; ἐπεί, πῶς ἐλεγχθήσεται ὕστερον; ἀλλ' ἐστὶ πλείονος πληροφορίας καὶ ἐνδείξεως ἀγάπης τοῦτο φησιν.
10 Ἵνα θεωρῶσι τὴν δόξαν τὴν ἐμὴν ἣν ἔδωκάς μοι. Πάλιν οὗτος πρὸς τὸν πατέρα ὁμονοίᾳ σημαῖνον, ὑψηλότερον μὲν τῶν πρώτων (πρὸ καταβολῆς γὰρ κόσμου, φησὶν) ἔχον δὲ ἵνα καὶ αὐτὸ συγκαταβαίνῃ. ἔδωκάς μοι, λέγει. Εἰ δὲ μὴ οὗτος ἐστὶν, ἡδέως ἂν ἐροίμην σοῦ αὐτὸν λέγοντας· ὁ δίδους, ὑφεσῶτι δίδωσιν. ἆρ' οὖν πρότερον αὐτὸν ἐγέννησας, ὕστερον τὴν δόξαν ἔδωκας, πρότερον ἀφεὶς τὴν ἀδοξίαν; καὶ πῶς ἂν ἔχοι οὗτος λόγος; ἑρᾷς ὅτι τὸ, ἔδωκεν, ἐγέν-
15 νησεν ὄντι; δέδοικά τι ὃ μὴ εἶπεν, ἵνα μετέχωσι τῆς δόξης· ἀλλ' ἵνα θεωρῶσι τὴν δόξαν; σὺ ταῦτα αἰνίττῃ, ὅτι ἡ πᾶσα ἀνάπαυσις αὐτῇ ὄντι, ὃ θεωρεῖν ἐστὶν ὑπὸν τοῦ Θεοῦ. οὗτος γοῦν καὶ δοξάζεσθαι πεφυκὼς· ὁ δὲ Παῦλός φησιν, Ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν Κυρίου κατοπτριζόμενοι. ὥσπερ γὰρ οἱ πρὸς ἀκτῖνας θεωρίων τὰς αἴγας ἀπολλύοντες λε-
χ. πλείονα πτόητας, ἀπὸ τῆς ὄψεως ἔχουσι τὸ ἀπόλλυσιν· ὅπου καὶ τότε, καὶ πολλῷ μᾶλλον ὅτου ἡμῖν ἐργά-
20 σεται τὴν ἡδονήν. ἅμα δὲ καὶ δείκνυσιν, ὅτι οὐ τοῦτο ἐστὶ τὸ ὁρώμενον, ἀλλά φημι τὴν οὐσίαν.
χ. ὕσα.

25 Πάτερ δίκαιε, καὶ ὁ κόσμος σε οὐκ ἔγνω. Τί βούλει τοῦτο; ποῖον ἔχει τὸ ἀκολουθοῦν; δείκνυσιν ἐνταῦθα μηδένα εἰδότα Θεὸν, ἀλλ' ἢ μόνους οὓς ὁ υἱὸν ἐπεγνωκότας. οὐ δὴ λέγά τοιοῦτόν ἐστιν· ἐβουλόμην ἀπολυθῆναι τοῦτο εἰπεῖν, ἀλλ' οὐκ ἔγνωσάν σε, καίτοι σοῦ ὄντες
25 ἔργον ἐγκαλῶν. τοῦτο γάρ ἐστι, πάτερ δίκαιε. ἐν ταύτῃ μοι σκοπεῖ καὶ δυσχεράνων ταῦτα λέγειν, ὅτι ὁ υἱὸς ἀγαθὸν καὶ δίκαιον οὐκ ἠθέλησαν ὑπονοῆσαι. διὸ γάρ Ἰουδαῖοι ἔλεγον τὸν Θεὸν εἰδέναι, αὐτὸν δὲ μὴ εἰδέναι, πρὸς τοῦτο ἀποτείνει λέγων, Ὅτι ἠγάπησάς με πρὸ καταβολῆς κόσμου, Ἀπολογίαν ζητοῦντες πρὸς τὰς κατηγορίας τῶν Ἰουδαίων. ὁ γὰρ δόξαν λαβὼν, ὁ ἀγαπηθεὶς πρὸ καταβολῆς κόσμου, ὁ μαρτυρηθεὶς βουλόμε-
30 νος ἔχειν αὐτοῖς τῆς δόξης ἐκείνης, πῶς ἀνάξιος ἦν τοῦ πατρός; ὃ τοίνυν οὗτός ἐστιν ὅπερ φασὶν οἱ Ἰουδαῖοι, ὅτι αὐτοὶ μὲν σε γινώσκουσιν, ἐγὼ δὲ ἀγνοῶ· ἀλλὰ τοιοῦτόν ἐστιν, ἐγὼ μὲν σε οἶδα, αὐτοὶ δέ σε οὐκ ἔγνωσαν. Καὶ ὅτι δὲ ἔγνωσαν, ὅτι σύ με ἀπέστειλας.

Ὁρᾷς ὅτι αὐτοῖς αἰνίττεται τὸν λέγοντας μὴ εἶναι αὐτὸν ἐκ Θεοῦ, καὶ πρὸς τοῦτον τὸν λόγον ἀναφαλαιοῦται πάλιν;
χ. τοῦτο

35 26 Καὶ ἐγνώρισα αὐτοῖς τὸ ὄνομά σου, καὶ γνωρίσω. Καὶ μὲν δὴ πολύμαθος φησὶ πολλαχοῦ γνῶσιν· ἀλλὰ ταύτῃ δὲ πολύμαθος ἐμά ἐστιν. Ἵνα ἡ ἀγάπη, ἣν ἠγάπησάς με, ἐν αὐτοῖς ᾖ, κἀγὼ ἐν αὐτοῖς. Εἰδὼς μάθωσι, τίς σὺ, τότε εἰσὶν ὅτι οὐκ ἀπεχθανόμενός ἐγώ, ἀγαθὸν τὸν σφόδρα ἠγαπημένων, καὶ γνήσιος υἱὸς καὶ συνημμένος. τοῦτο δὴ πεισθέντες ὡς χρή, καὶ τὴν πίστιν τὴν εἰς ἐμὲ καὶ τὴν ἀγάπην διατηρήσουσιν ἀκριβῆ. ἀγαπώντων δὲ αὐτῶν ὡς
ἰσ. ἀπήντησεν, 40 χρή, ἐγὼ μένω ἐν αὐτοῖς. ὁρᾷς πῶς εἰς καλὸν τέλος ἀπήρτισεν, εἰς ἀγάπην, τὴν πρώτων μητέρα τῶν ἀγαθῶν, ἀπαρτίσας ὁ λόγος;
χ καλῶν

Πίστιν οὖν ποιῶμαι, καὶ ἀγαπῶμεν ὁ Θεόν, ἵνα μὴ καὶ ἡμῶν λέγηται, Θεὸν ὁμολογοῦσιν εἰδέναι, τοῖς δὲ ἔργοις ἀρνοῦνται· καὶ πάλιν, Τὴν πίστιν ἤρνηται, καὶ ἔστιν ἀπίστου χείρων. ὅταν γὰρ ἐκεῖνος μὲν καὶ οἰκέτας καὶ συγγενεῖς καὶ ἀλλοτρίοις ὑπακούῃ· σὺ δὲ μηδὲ σοῦ πρὸς
ΗΘΙΚΟΝ Τιτ. α. 15. α. Τιμ. κ. 19

ωσὲς ὄχλος ωσοσήκοντας θεραπεύης, ὡς ἔσαι ϛι λοιπὸν ἀπολογία, τῶ Θεοῦ βλασφημου-
μένου ϗ ὑβριζομένου δι' σέ; σκέπει γὰρ πόσας ἐδωκεν ἡμῖν ἀφορμὰς ὑποψίας ὁ Θεός. Ⓦ
μὴ ὡς συγγνώμη, Ⓦ ἢ ὡς φίλοι, τ' ἢ ὡς γείτονα, τ' ἢ ὡς πολίτῶ, τ' ἢ ὡς ἀνθρωπον ἐλέει,
φησίν. ἀνθ' ὧν μηδέν σε τούτων κατέχη, ἀλλὰ πάντα διαῤῥήξης τὰ δεσμὰ, ἀκούσῃ δ' Παύλου,
ὅτι ἀπίστου εἶ χείρων· ὅτι ὄκνος μὴ σοὶ νῦν ἐλεημοσύνης ἀκούσας, σοὶ τ' ὂν ὀφανῶ, 5
ὑποπτήξαντι σε τῇ φιλανθρωπίᾳ· σὺ δ' αὐτοὺς ἐχθροὺς ἀγαπᾷν κελευσθεὶς, τοὺς οἰκείους,
ὡς ἐχθρούς, ὁρᾷς, ϗ χρημάτων φείσῃ μᾶλλον ἢ σωμάτων. κρίνει τὰ μὲν ἀναλισκόμενα σοὶ πει-
σθεὶ δεινὸν· σοὶ δ' ὑπερορώμενος, οἰκτίσει). Ὡς οὖν ἡ μανία χρημάτων φείσεσθαι, ϗ ἀφείσειν
συγγνώμης; πόθεν σοὶ ὁ πόθος εἰσεκώμασε; πόθεν ἡ ἀπανθρωπία αὕτη καὶ ἡ ὠμότης; εἰ
γάρ τις, ὥσπερ ὅπου θεατρου κορυφῆς καθῆσας, Ⓦ κόσμον κατοπτεύσειε πόντου, μᾶλλον δ', εἰ 10
βούλεσθε, μίλητου τέως μεταχειρισώμεθα πάλιν. εἴ τις τοίνυν ἐφ' ὑψηλοῦ καθίσας πόντου κα-
πιδεῖν δυνηθείη ϗ ἀνθρώπινα, ἐννόησον ὅσην καταγνώσεται ἀλογίαν; ὅσα δάκρυα οἴσει; ὅ-
σων γελάσεται γέλωτα; ὅσων μισήσει μῖσος· τοιοῦτον γὰρ τεθέαται ὡς ἐγέλωτος ϗ ἀ-
νοίας ϗ δακρύων ϗ μίσους ἐστὶ) ἄξια. ὁ δεῖνα τρέφει κύνας, ἵνα θηρία ἄγρια σαγηνεύσῃ, αὐ-
τὸς εἰς θηριωδίαν ἐκπίπτων· ἕτερος οἴκους ϗ ζώνας, ἵνα μετακομίζῃ λίθους· ἀνθρώπους δ' πε- 15 κ. ἐμπίπτων
ιορᾶ λιμῷ τηκομένους. ϗ χρῆσιν μὲν ἀπείρων δαπανᾷ, ἵνα λιθίνους ἀνθρώπους ἐργάσῃ)·
οὗτοι δ' οὕτως ἀνθρώπους λίθινους ἡμιμόρους ἐκ τῆς κακουχίας, ἐκφορᾶ. ἕτερος ψηφίδας
χρώματος συλλέγων μετὰ πολλῆς τῆς ἀκριβείας τοσοῦτον τοίχον· τὰς δ' γαστέρας τῶν
πενήτων γυμνὰς ὁρῶν, οὐκ ἐπικάμπτεται. ὃ δὲ μὲν τοῖς ἱματίοις αὐτῶν ἱμάτια πάλιν ἐπι-
νοῶσιν· ἕτερος δ' οὐδὲ αὐτὸ τὸ σῶμα γυμνὸν περιβάλλειν ἔχει. οἱ δικαστηρίοις δ' πάλιν ἄλ- 20
λος ἄλλον κατέπιεν· ἄλλος εἰς πόρνας ἀναλίσκει ὃ εἰς ὀψοφαγίας· ἕτερος εἰς μίμους ϗ ὀρχή-
στρας· εἰς οἰκετῶν μυριάδας ἕτερος λαμπρὰς, εἰς ἀδοξίας ἀγρῶν ϗ οἰκιῶν. πάλιν ὁ μὲν τόκοις ἀριθ-
μῷ, ὁ δ' τόκῳ τόκων, ὁ δὲ γραμματεῖα ζωντίθησι πολλῶν γέμοντα φόνων, ϗ ἀδελφῶν τὸν ἀπὸ τῆς νυκ- κ. πήκτ.
τὸς ἀνάπαυσιν καρπούται, ὅτι τοῖς ἑτέρων κακοῖς ἀγρυπνῶν. ἡμέρας δ' ἡμοιρηκὼς, ὁ μὲν ὅτι κ. μ
κέρδος ἄδικον, ὁ δ' ὅτι δαπανῶν ἀσελγῶς, Ⓐ δ' ὅτι κλοπὴν διεδημοσιευμένην τρέχοντι. καὶ 25
τῶν μὲν πεπτωκότων ὃ κεκωλυμένων πολλὴ ἡ σπουδή· τῶν δ' ἀναγκαίων σοὶ δὲ ὁ λόγος. Ⓐ δ'
κεῖνοντες, ὃ μὲν οἴομα δικαστῶν ἔχοντι· ὃ δ' ἔργων ληστῶν ϗ ἀνδροφόνων. κἂν γὰρ δίκης τις
ἐξεπάσῃ, κἂν τὰ ἀφαιρήσῃ, μυρία πάλιν εὑρήσει ϗ ἐνεργοῦντα κακὰ, δόλους, κλοπὰς, ἐπι-
βουλὰς· ϗ πρὸς τοῦτο ἅπασα ἡ σχολὴ, τῶν δ' πυθμαπόθεν λόγος σοὶ δὲ· ἀλλὰ πρὸ ὀφ-
θαλμῶν ὑμῖν τὸ μόνον ἰδεῖν ἐνοχλοῦσιν ἅπαντες. ὃ δ' ζητούμενον δ' τοῦτο ἐστιν· ἀλλ' ἔργων 30
δεῖ ἡμῖν ϗ διανοίας καθαρᾶς. ἀνθ' ὧν πρὸ πάσαν ἡμέραν ἀναλώσης εἰς πλεονεξίαν, εἶτα
μικρὰ ῥήματα εἰσελθὼν εἴπῃς, δ μόνον οὐκ ἐπιπίπτας ἴλεω Ⓦ Θεόν, ἀλλὰ ϗ πρόξεως
μείζονος. εἰ γὰρ βάλει καταλλάξαι σε τ' δεσπότῃ, ἔργα ἐπίδειξαι, μάθε Ⓦ φορτὸν τῶν
συμφορῶν, βλέπε σοὶ γυμνοὺς, σοὶ πεινῶντας, σοὶ ἀδικουμένους. μυρίας ϗ φιλανθρωπίας ἕτερον ὁδοὺς. μὴ τοίνυν ἀπατῶμεν ἑαυτοὺς, εἰκῇ ϗ μάτην ζῶντες· μηδὲ, ὅτι νῦν ὑ- 35
γιαίνομεν, καταφρονήσωμεν· ἀλλ' ἐννοήσαντες ὅτι πολλάκις εἰς νόσον καταπεσόντες ϗ εἰς
ἔσχατον ἀῤῥωστίας ἐλθόντες, ἀπεθάνομεν παῤ δέξ ϗ τῇ προσδοκίᾳ τῶν μελλόντων, προσδοκή-
σωμεν πάλιν εἰς τὰ αὐτὰ καταπεσεῖσθαι, ἵ Ⓦ αὐτὸν κτησώμεθα φόβον, ϗ γνώμεθα βελ-
τίους· ὡς γά γε νῦν μυρίας κατηγορίας ἄξια. Ⓐ μὲν γὰρ οἱ τοῖς δικαστηρίοις λέουσιν ἐοίκασι ϗ
κυσὶν, Ⓐ δ' οἱ ταῖς ἀγοραῖς, ἀλώπηξιν, Ⓐ δ' Ⓦ ἀπροσήμονα ζῶντες βίον, σοὶ δ' ὅτοι εἰς 40
δέον τῇ ἀπροσημοσύνῃ κέχρηνται), τ' ἁπλῶν ἅπασαν εἰς θέατρα ϗ τὰ ἐκ θεάτρου κακὰ ἀναλί-
σκοντες. ϗ ὁ μὲν ὅπου μέλι πῆς γνοὺς μύρμηξ, σοὶ δὲ Ⓐ δὲ ζηλωτὰς τες ϗ δακνόμενοι, ὅτι μὴ ἴ-
σα αὐτοῖς προσπέσοι, πολλοί· ὥστε ϗ τοῦτο πάλιν κολάζεσθαι, ἵ μὴ ποιοῦντας τὰ ποιη-
Ρω.α.λϛ. τά. Οὐ γὰρ μόνον αὐτὰ ποιοῦσιν, ἀλλὰ ϗ ζηλοῦσι τοὺς προσπέσοι. ϗ γὰρ τὰ τῆς
προθυμίας

προθυμίας αὐτῶν ὁμοίως διέφθαρ). ὅθεν δῆλον, ὅτι κ γνώμης ἐστὶ σημεῖα δίκαια. Ταῦτα καθ' ἑκάστην ἡμέραν λέγω, κ λέγων ἃ παύσομαι. αἰ μὲν γὰρ πίνες ἀκούσωσι, κέρδος· αἰ δέ μηδεὶς ὁ προσέχων ᾖ, τότε ἀκούσεσθε ταῦτα, ὅτε κέρδος οὐδὲν ὑμῖν, κ μέμψεσθε ἑαυτοῖς, κ τῆς αἰτίας ἡμᾶς καθαροί. Ἀλλὰ μὴ γένοιτο· ταύτην μόνον ἡμᾶς τὴν ἀπολογίαν ἔχειν, ἀλλὰ κ καύχημα ὑμᾶς γενέσθαι ἡμῶν προθύμως ἐπὶ βήματι τοῦ Χριστοῦ, ἵνα κοινῇ τὴν ἀγαθὴν ἀπολαύσωμεν, χαίροντες κ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ πρέπει ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας. Ἀμήν.

κζ

Ομιλ. πγ. ΤΑΥΤΑ ΕΙΠΩΝ Ο ΙΗΣΟΥΣ ΕΞΗΛΘΕ ΣΥΝ τοῖς μαθηταῖς αὐτοῦ πέραν τοῦ χειμάρρου τῶν κέδρων, ὅπου ἦν κῆπος, εἰς ὃν εἰσῆλθεν αὐτὸς κ οἱ μαθηταὶ αὐτοῦ.

ΠΡΕΙΤΤΟΝ ὁ θάνατος καὶ φόβον γέμων πολλοῦ· ἀλλ' οὐ πρὸς τοὺς τοῦ λόγου φιλοσοφίαν εἰδότας. ὁ μὲν γὰρ μηδὲν πρὸ τῆς μελλόντων σοφὸς βαπτισάμενος, ἀλλὰ βλάπτουσιν ἵνα καὶ τελευτήσῃ ζωῆς ὃ προσῆκεν, ἀναμένειν νομίζων, εἰκότως φείδεται καὶ δέδοικεν, ὡς εἰς ὃ μὴ εἰσῆλθεν ἀφορῶν. ἡμᾶς δὲ τῇ τοῦ Θεοῦ χάριτι τὰ ἀόρατα καὶ τὰ κρύφια τῆς σοφίας αὐτοῦ μαθόντες, καὶ ἀποδημίαν τὸ παρὸν νομίζοντες, οὐκ ἂν εἰκότως δικαίοι γενέσθαι, ἀλλὰ κ χαίρειν κ εὐφραίνεσθαι, ὅτι τὸν βίον ἀφέντες, ἐφ' ἕτερον ἐρχόμεθα ἀμείνω πολλῷ κ λαμπρότερον κ τέλος οὐκ ἔχοντα. ἅπερ οὖν κ ὁ Χριστὸς διδάσκων ἔλεγεν· τὸ ἔργων, τὸ βία κ ἀνάγκη, ἀλλ' ἑκὼν ὅπου ὁ πόθος ἔρχεται. Ταῦτά, φησιν, ἐλάλησεν ὁ Ἰησοῦς, καὶ ἐξῆλθε πέραν τοῦ χειμάρρου τῶν κέδρων, ὅπου ἦν κῆπος, εἰς ὃν εἰσῆλθεν αὐτὸς κ οἱ μαθηταὶ αὐτοῦ.

2 Ἤδει δὲ κ ὁ Ἰούδας, ὁ παραδιδοὺς αὐτὸν, τὸν τόπον, ὅτι πολλάκις συνῆλθεν ἐκεῖ μετὰ τῶν μαθητῶν αὐτοῦ. Μέσων νυκτῶν ὁδοιπορῶν, καὶ ποταμὸν διαβαίνει, κ ἐπεὶ εἰς τὸν τῶν παραδότην γνώριμον τόπον ἐλθὼν, ἐκκόπτων τοὺς βουλομένους τὸν πόνον, κ ἀπαλλάττων ἀσφαλείας αὐτοῦ ἀπάσης, κ δίκαιος τοῖς μαθηταῖς ὅτι ἐκὼν ὅτι ὁ παθητὸς ἔρχεται· ὅπερ ἱκανὸν αὐτοῦ μάλιστα παραμυθήσασθαι ἐκεῖ. κ γὰρ καθίσησιν ἑαυτὸν, ὥσπερ ἐν δεσμωτηρίῳ, ἐν τῷ κήπῳ. Ταῦτα ἐλάλησεν αὐτοῖς. τί λέγεις; ἐμοὶ τῷ πατρὶ διελέγετο, ἐμοὶ ηὔχετο. διὰ τί οὖν μὴ λέγεις, ὅτι παυσάμενος τῆς εὐχῆς ἦλθεν ἐκεῖ; ὅτι οὐκ εὐχὴ ἦν, ἀλλὰ λαλιὰ διὰ τοὺς μαθητὰς γινομένη. κ εἰσῆλθον οἱ μαθηταὶ αὐτοῦ εἰς τὸν κῆπον. οὕτως αὐτοὺς τὸ δέος ἀπήλλαξεν, ὡς μὴ δυσπιτεῖναι λοιπὸν, ἀλλὰ κ εἰς τὸν κῆπον εἰσελθεῖν. πῶς οὖν ὁ Ἰούδας ἐκεῖ ἤρχετο; ἢ πόθεν μαθὼν ἐκεῖ ἦλθεν; ἐντεῦθεν δῆλον, ὅτι ταῦτα πολλὰ ἔξω διευκλέρευεν. ὁ γὰρ ἂν, εἶγε οἴκοι ἐμεῖνε, ὅτι τοῦ ἐρημον ὁ Ἰούδας ἦλθεν, ἀλλ' ὅτι τοῦ οἰκίου, ἐκεῖ προσδοκῶν αὐτὸν εὑρήσειν καθεύδοντα. ἵνα οὖν μὴ ἀκούσας, κῆπον, κρύπτεσθαι νομίσῃς, ἐπήγαγε, ὅτι ἤδει ὁ Ἰούδας τὸν τόπον· κ οὐχ ἁπλῶς, ἀλλ' ὅτι κ πολλάκις συνῆλθεν ἐκεῖ μετὰ τῶν μαθητῶν αὐτοῦ. κ γὰρ πολλάκις αὐτοῖς συνεγίνετο ἰδίᾳ, τοῦ ἀναγκαίων ἀπαλλάττων ἐμπόδιος, ἐν ὧν οὐθέμις ἑτέρους ἀκούσαι. ποιεῖ οὖν τοῦτο κ ἐν ὄρεσι κ ἐν κήποις μάλιστα, καθαρὸν θορύβων ζητῶν ἀεὶ χωρίον, ὥστε μὴ τοῦ ἀνοίαν ἐκκρούεσθαι τῆς ἀκροάσεως.

3 Ὁ οὖν Ἰούδας παραλαβὼν τὸν στρατὸν, καὶ ἐκ τῶν ἀρχιερέων καὶ Φαρισαίων ὑπηρέτας, ἔρχεται ἐκεῖ. Καίτοι πολλάκις καὶ ἄλλοτε ἔπεμψαν συλλαβεῖν αὐτὸν· ἀλλὰ οὐκ ἴσχυσαν. ὅθεν δῆλον, ὅτι κ τότε ἐκὼν ἑαυτὸν ἔδεδωκε. καὶ πῶς τοῦ στρατὸν ἔπεισαν; ἄνδρες ἦσαν τραπῶσαι, χειμῶν ποιῆσαι πολλὰ μεμυστηκότες.

4 Ιησοῦς οὖν εἰδὼς πάντα τὰ ἐρχόμενα ἐπ' αὐτὸν, ἐξῆλθε, καὶ λέγει αὐτοῖς· Τίνα ζητεῖτε; Τουτέστιν, οὐκ ἀπὸ τῆς προνοίας ἐκείνων ἔμαθεν αὐτὰ μαθεῖν, ἀλλ' ἀπαρέγχως ὡς πάντα εἰδὼς ταῦτα, οὕτω καὶ ἔλεγε καὶ ἐποίει. διὰ τί δὲ μὴ ὅπλων ἐπέρχονται μέλλοντες συλλαμβάνειν; ἐδεδοίκεσαν τὸν ἐπομβρίας· καὶ διὰ τοῦτο καὶ ἀωρεὶ τῶν νυκτῶν ἐπέστησαν. καὶ ἐξῆθεν λέγει αὐτοῖς· Τίνα ζητεῖτε; 5 Οἱ δὲ λέγουσιν, Ιησοῦν τὸν Ναζωραῖον. 5

Εἶδες δυνάμιν ἄμαχον, πῶς ἐν μέσῳ ὢν ἐπήρωσεν αὐτῶν τοὺς ὀφθαλμούς; ὅτι γὰρ τὸ σκότος αἴτιον ἦν, ἐδήλωσεν ὁ εὐαγγελιστής, εἰπών, ὅτι καὶ λαμπάδας εἶχον. εἰ δὲ μὴ λαμπάδες ἦσαν, ἀπὸ τῆς φωνῆς γοῦν ἔδει γνωρίσαι· εἰ δὲ καὶ ἐκεῖνοι ἠγνόουν, πῶς ὁ Ιούδας ἠγνόησεν, ὁ ζυγὸν αὐτῷ διυφασμένος; καὶ γὰρ καὶ αὐτὸς εἱστήκει μετ' αὐτῶν, καὶ τοὐναντίον ἤδει πλέον, ἀλλὰ καὶ ἔπεσε μετ' αὐτῶν ὕπτιος. ἐποίησε δὲ τοῦτο ὁ Ιησοῦς, δηλῶν ὅτι οὐ μόνον συλλαβεῖν αὐτὸν οὐ δυνάμενοι, ἀλλ' οὐδὲ ἰδεῖν ὄντα, εἰ μὴ αὐτὸς ἐνεδίδου. 10

7 Πάλιν λέγει αὐτοῖς, Τίνα ζητεῖτε; Ὧν τῆς ἀνοίας. Τὸ ῥῆμα αὐτὸ ἔβαλεν αὐτοὺς ὕπτιους, καὶ οὐδὲ οὕτως ἐπέστρεψαν τοσαύτην μαθόντες δυνάμιν, ἀλλὰ πάλιν ὑπιτιθέντας τοῖς αὐτοῖς. ἐπεὶ οὖν τὰ αὐτὰ πάντα ἐπλήρωσε, τότε λοιπὸν ἑαυτὸν παραδίδωσι.

8 Καὶ λέγει αὐτοῖς· Εἶπον ὑμῖν, ὅτι ἐγώ εἰμι. Εἰ ζητεῖτε οὖν τὸν Ιούδας ὁ παραδιδοὺς αὐτόν. Οσα δὲ ἀνεπαχθῆ τῷ εὐαγγελιστοῦ, πῶς οὐχ ὑβρίζει τὴν προδότην, ἀλλὰ δηλοῦται τὸ γεγονὸς, ἓν μόνον δεῖξαι σπουδάζων, ὅτι τὸ πᾶν τῆς αὐτοῦ συγχωρήσεως γέγονεν. Εἶτα ἵνα μή τις λέγῃ, ὅτι αὐτὸς αὐτὸν εἰς τοῦτο ἤγαγε, ἑαυτὸν ἐγχειρίσας καὶ δῆλον καταστήσας αὐτοῖς, ὑπεδεδιέναι μὲν ἅπαντα ἅπερ ἐκεῖνοι ἔμελλον αὐτοὺς ἀνακρούσασθαι, ὑπομένοντα τὴν κακίαν καὶ τὴν ἀπώλειαν εἶχον ἀπολογίαν, τότε ἑαυτὸν ἐνεχείρισε λέγων· Εἰ οὖν ἐμὲ ζητεῖτε, ἄφετε τούτους ὑπαγέτω, μέχρι τῆς ἑκάστης ὥρας τὴν εἰς αὐτοὺς φιλανθρωπίαν ἐνδεικνύμενος. Εἰ γὰρ ἐμοῦ δεῖσθε, φησι, μηδὲν ὑμῖν ἔστω πρὸς τούτους κενόν. ἰδοὺ γὰρ ἐμαυτὸν παραδίδωμι.

9 Ινα πληρωθῇ ὁ λόγος ὃν εἶπεν, ὅτι οὓς δέδωκάς μοι, οὐκ ἀπώλεσα ἐξ αὐτῶν οὐδένα.

Απώλειαν δὲ ἐνταῦθα οὐ ταύτην φησὶ τὴν τοῦ θανάτου, ἀλλ' ἐκείνην τὴν αἰώνιον. ὁ δὲ εὐαγγελιστὴς ἐπὶ τοῦ παρόντος αὐτὸ προλαβεῖν φαίνεται δι' αἰτίας, πῶς καὶ αὐτοὺς ἐσώθησαν μετ' αὐτοῦ καὶ κατέσχεν, καὶ μάλιστα τοῦ Πέτρου προξενήσαντος αὐτοῖς δι' ὧν εἰς τὸ δοῦλον ἐποίησε. Τίς οὖν αὐτοὺς κατεῖχεν; ἄλλος μὲν οὐδεὶς, ἢ ῥίψασα αὐτοὺς δυνάμις ὑπτίους. ὅπερ οὖν καὶ ὁ εὐαγγελιστὴς δηλοῖ, ὅτι οὐ τῆς ἐκείνων γνώμης ἦν, ἀλλὰ τῆς τοῦ συλληφθέντος δυνάμεώς τε καὶ ἀποφάσεως, ἐπήγαγε· ἵνα ὁ λόγος πληρωθῇ ὃν εἶπεν, ὅτι οὓς δέδωκάς μοι, οὐκ ἀπώλεσα ἐξ αὐτῶν. ὁ γοῦν Πέτρος θαρσήσας ταύτῃ τῇ φωνῇ καὶ τοῖς ἤδη γεγυμνωμένοις, ὁπλίζεται κατὰ τῶν ἐπελθόντων. Πῶς, φησιν, ὁ κελεύσας μὴ πήραν ἔχειν, μὴ δύο χιτῶνας, μάχαιραν ἔχει; ἐμοὶ δοκεῖ τοῦτο αὐτὸς δεδοικὼς προεσκευάσθαι πάλαι. Εἰ δὲ λέγεις, πῶς ὁ κελεύσας μὴ ῥαπίζειν, ἀνδροφόνος γίνεται; μάλιστα μὲν μὴ ἀμύνεσθαι παρεσκεύαζε· ἐνταῦθα δὲ οὐχ ἑαυτῷ ἤμυνεν, ἀλλὰ τῷ διδασκάλῳ. ἔπειτα δὲ οὐδὲ τέλειοί πως καὶ ἀπηρτισμένοι ἦσαν. σὺ δέ, εἰ βούλει Πέτρου φιλοσοφοῦντα ἰδεῖν, ὃν μὲν τοῦτο παραμαρτυρόμενον καὶ παρρησίᾳ φέροντα, καὶ μυρία πάσχοντα δεινὰ, καὶ οὐ προξενοῦντα. ὁ δὲ Ιησοῦς καὶ ἐνταῦθα θαυμαστουργεῖ, ὁμοῦ τε παιδεύων ὅτι οὐδὲν ποιοῦσι κακῶς βιαζόμενοι ἀρκεῖν, καὶ τὴν δυνάμιν ἐκκαλυπτόμενον τὴν ἑαυτοῦ. τούτῳ μὲν οὖν τὸ ὠτίον ἀπέδωκε, Πέτρῳ δὲ φησιν, ὅτι πάντες οἱ λαβόντες μαχαίραν ἐν μαχαίρᾳ ἀπολοῦνται· ὥσπερ καὶ ὅτι τὸ νυμφεῖον ἐποίησε, διὰ παιδὸς τὸν οἶνον αὐτὸς χαλάσας· οὕτω καὶ ἐνταῦθα. Τὸ δὲ ὄνομα τοῦ δούλου παρεσήμηνεν ὁ εὐαγγελιστὴς, ὑπὲρ πολὺ μέγα τὸ γινόμενον ἰδεῖν, καὶ οὐκ ὀπτικὸν μόνον, ἀλλ' ὅτι καὶ τὸ ἐπ' αὐτὸν ἐλθόντα, καὶ μικρὸν ὕστερον μέλλοντα ῥαπίζειν αὐτὸν, καὶ ὅτι τὸν ἐντεῦθεν μέλλοντα ἀναῤῥιπίζειν πόλεμον κατὰ τῶν μαθητῶν ἐπεκάθισε. διὰ τοῦτο δὲ τὸ ὄνομα τέθεικεν ὁ εὐαγγελιστὴς,

λιστὴς,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λιςής, ὥςε τοῖς πότε ἀναγινώσκουσιν ἐζῆναι ζητῆσαι καὶ διεργάσασθαι, εἶτε οὕτως λέγετε τὰ γεγραμμένα. οὐχ ἁπλῶς ὁ καὶ ὁ δεξιὸν ὦτίον λέγει· ἀλλ', ἐμοὶ δοκεῖ, τὴν ὁρμὴν εἰπεῖν τοῦ ἀποστόλου θέλων, ὅτι σφόδρα ἐπ' αὐτὴν ὥρμησε τὴν κεφαλήν. ἀλλ' ὁ Ἰησοῦς οὐκ ἀπειλῆ μόνον αὐτὸν κατέχει, ἀλλὰ καὶ ἕτερα προσαμφιέζεται, λέγων·

ἴσ. ἕτερος

11 Τὸ ποτήριον, ὃ ἔδωκέ μοι ὁ πατήρ, οὐ μὴ πίω αὐτό; Δείκνυσιν ὅτι οὐ τῆς ἐκείνων δυναμένους ὁ νομοθέτης, ἀλλὰ τῆς αὐτοῦ συγχωρήσεως· καὶ δηλοῖ, ὅτι οὐκ ἔστιν ἀντίθεός τις, ἀλλ' ὑπήκοος μένει θανάτῳ τῷ πατρί. 12 Τότε λοιπὸν συλλαμβάνεται ὁ Ἰησοῦς· καὶ ἔδησεν αὐτόν, 13 Καὶ ἀπήγαγον πρὸς Ἄνναν. Διὰ τί πρὸς Ἄνναν; ὑπὸ τὴν ἡδονὴν ἐνεπόμπευον τοῖς νομοθέταις, ὡς δὴ θέαμα ἐποίουν. Ἦν δὲ οὗτος πενθερὸς τοῦ 10 Καϊάφα· 14 Ὁ δὲ Καϊάφας οὗτος ἦν ὁ συμβουλεύσας τοῖς Ἰουδαίοις, ὅτι συμφέρει ἕνα ἄνθρωπον ἀποθανεῖν. Τί πάλιν ὑπέμνησεν ἡμᾶς τῆς προφητείας ὁ εὐαγγελιστής; δηλοῖ ὅλη ὑπὲρ σωτηρίας ταῦτα ἐγίνετο. καὶ τοσαύτη τῆς ἀληθείας ἡ ὑπερβολή, ὡς καὶ τοὺς ἐχθροὺς αὐτὰ προαναφωνεῖν· ἵνα γὰρ μὴ δεσμοὶ ἀκούσας ὁ ἀκροατὴς θορυβῆται, ἀναμιμνήσκει τῆς προφητείας ἐκείνης, ὅτι ἡ σωτηρία τῇ οἰκουμένῃ ὁ θάνατος αὐτοῦ ἦν.

15 15 Ἠκολούθησε δὲ Πέτρος, καὶ ὁ ἄλλος μαθητής. Τίς ἐστιν ὁ ἄλλος μαθητής; αὐτὸς ὁ ταῦτα γράψας. καὶ τίνος ἕνεκεν ἑαυτὸν οὐ λέγει; ὅτε μὲν γὰρ ὅτι ὁ ξῆλος ἀνέπεσε τῷ Ἰησοῦ, εἰκότως ἑαυτὸν κρύπτει· νῦν δὲ τίνος ἕνεκεν τοῦτο ποιεῖ; τῆς αὐτῆς ἕνεκεν αἰτίας. ὃ γὰρ καὶ ἐνταῦθα μέγα κατόρθωμα δικαίως, ὅτι πολλῶν ἀποπηδησάντων αὐτὸς ἐπηκολούθει. διὰ τοῦτο κρύπτει ἑαυτόν, καὶ προσέθηκεν ἑαυτῷ τὸν Πέτρον. καὶ εἰκὸς ὁ ἰωάννης ἐθαυμάσθη ὅτι μὴ ναὶ νῶν, ἵνα μάθῃς, ὅτι ἀκριβέστερον διηγεῖται τῶν ἄλλων διὰ τὴν αὐλήν, ἀτε ἔνδον ὤν. καὶ ὅρα πῶς ταπεινοῖ τὸ ἴδιον ἐγκώμιον. ἵνα γὰρ μή τις λέγῃ, πῶς, πολλῶν ἀναχωρησάντων, οὗτος καὶ ἐνδοτέρω τοῦ Σίμωνος εἰσῆλθε; λέγει, ὅτι καὶ τοῦ ἀρχιερέως γνώριμος ἦν· ὡς μηδένα θαυμάζειν ὅλως ἠκολούθησε, μηδὲ ὅτι ἀνδρείᾳ αὐτὸν ἀνακηρύττειν. τοῦτο δὲ θαῦμα ἐκεῖνο ἦν τοῦ Πέτρου, ὅτι οὕτω προδεὴς ὢν καὶ μέχρι τῆς αὐλῆς ἦλθε, πολλῶν ἀναχωρησάντων. τὸ μὲν οὖν ἐλθεῖν ἐκεῖ, πόθου· τὸ δὲ μὴ εἰσελθεῖν ἔνδον, ἀγωνίας καὶ φόβου. διὰ τοῦτο γὰρ καὶ ταῦτα ἀνέγραψεν ὁ εὐαγγελιστής, προδοποιῶν τὴν ἀπολογίαν τῆς ἀρνήσεως. καὶ γὰρ ὡς μέγα τι πρᾶγμα αὐτὸ φησιν, ὅτι γνώριμος ἦν τῷ ἀρχιερεῖ· ἀλλ' ὅπερ εἶπεν, ὅτι συνεισῆλθε τῷ Ἰησοῦ μόνος, ἵνα μὴ νομίσῃς ὅτι ὑψηλῆς γνώμης ἦν τὸ πρᾶγμα, φησὶ καὶ τὸν αἴτιον. ὅτι δὲ καὶ ὁ Πέτρος εἰσῆλθεν δῆλον, εἴπερ ἐπετράπη, διὰ τοῦτο ἐξῆς ἐδήλωσεν. ὅπερ ἔνδοθεν ἐξῆλθε, καὶ τὴν θυρωρὸν ἐκέλευσεν αὐτὸν εἰσαγαγεῖν, οὕτως εἰσῆλθεν ὁ Πέτρος. διὰ τί δὲ αὐτὸς αὐτὸν οὐκ εἰσήγαγε; τοῦ Χριστοῦ εἴχετο, καὶ ἐπηκολούθει. διὰ τοῦτο τὴν γυναῖκα ἐκέλευσεν εἰσαγαγεῖν αὐτόν. τί οὖν ἡ γυνή;

πρ. ἐπέτρεψεν

17 Μὴ καὶ σὺ ἐκείνῳ μαθητῇ εἶ τοῦ ἀνθρώπου τούτου; ὁ δὲ φησιν, οὐκ εἰμί.

